


NEDL TRANSFER
HN 274U /


VE RI
TAS



SOPHOCLIS TRAGOEDIÆ SEPTEM

Tribus Voluminibus comprehensæ,

Nova versione donatæ, Scholiis veteribus (quorum multa, quæ nunc primum eduntur) notisque perpetuis, & variis Lectionibus illustratæ.

Operâ Thomæ Johnson, A.M.

Vol. I.

LONDINI,
Gul. Innys, R. Manby, & Jac. Tonson,
Bibliopolas.
ETONÆ,
Apud Jos. Pote, Bibliopolam.
MDCCXLVI.





SOPHOCLIS TRAGOEDIÆ SEPTEM

Tribus Voluminibus comprehensæ,

Novâ versione donatæ, Scholiis veteribus (tam antehac quam nunc primum editis) notisque perpetuis, & variis Lectionibus illustratæ.

Operâ THOMÆ JOHNSON, A. M.

VOL. I.

LONDINI,
Apud GUL. INNYS, R. MANBY, & H. S. COX, Bibliopolas.

ETONÆ,
Apud JOS. POTE, Bibliopolam.
MDCCXLVI.

VOL. I.

AJAX, ELECTRA.

VOL. II.

ANTIGONE, TRACHINIÆ, OEDIPUS COLONEUS.

VOL. III.

OEDIPUS TYRANNUS, PHILOCTETES;

ET

TRICLINIUS DE METRIS SOPHOCLEIS.

SOPHOCLIS
TRAGOEDIÆ,
AJAX & ELECTRA.


NOVA VERSIONE DONATÆ
SCHOLIISQUE VETERIBUS
ILLUSTRATÆ.

Accedunt notæ perpetuæ, & variæ lectiones.

Operâ *THOMÆ JOHNSON*, A. M.



LONDINI,
Apud G. INNYS, R. MANBY & H. S. COX, Bibliopolas.
ETONÆ,
Apud Jos. POTE Bibliopolam.
MDCCXLVI.


HARVARD COLLEGE
Jan 18 1928
LIBRARY



Honoratissimo Domino

D. HENRICO

COMITI THOMONDIÆ,

D. OBRIEN BARONI

De JBRICKAN.

DUAS è Sophocleis, quas tandem absolvi, Tragœdias, Tuo nomine, Juvenis ornatissime, insignitas volui lectoribus commendare: neque hoc ingratum Tibi fore judico. Bonitas enim Tua dudum spectata tollit omnem timorem; animi autem erecti vera magnitudo favorem cle-

 mentiamque

mentiamque ſpondet. Sunt quos feli-
cioris vitæ ſtatio evehit quidem, & con-
ſpiciendos exhibet mortalibus; qui ta-
men in aliorum uſum neque Luminis
neque Caloris benefici quicquam con-
ferunt; non adeo infelicem Tibi con-
ceſſit fortuna copiam, neque vitæ gra-
dum tam inutiliter excelſum. Fulges
illuſtris, & benigni inſtar ſyderis foves
præſentes, & futuris læta omnia promit-
tis. Sunt ſua virtuti initia, ſunt &
incrementa, eaque maximam partem
ſatis tarda: velocitas autem Tui in-
genii & inchoavit ſimul, & curſum pro-
pe confecit. Nemo enim unquam ul-
libi eo uſque maturitatis celerius per-
venit: adeoque hanc felicitatem Æ-
tonæ gratulor, quæ tantæ virtutis teſtis
ſimul & adjutrix fuit. Non tamen
Tibi vel ſic ſiſtendum eſt: Tu ad ma-
jora natus, & majori beatus indole,
fructus eo uberiores feras neceſſe eſt.
Macte igitur, Juvenum Princeps, &
ſi

ſi eadem conſtet Tibi venuſta corporis firmitudo, ingeniique felicis vigor (quod conſtet precor) nihil non magnum de Te, nihil non egregium ſperare licebit. Sic ominatur, ſic de Te perſuaſum habet,

Illuſtriſſime Juvenis,

Tibi addictiſſimus,

& Humillimus Cliens

THOMAS JOHNSON.



ΓΕΝΟΣ ΣΟΦΟΚΛΕΟΥΣ, ΚΑΙ ΒΙΟΣ.

Σοφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλλου, ὃς οὔτε (ὡς Ἀριστόξενός φησι) τέκτων, ἢ χαλκεὺς ἦν· οὔτε (ὡς Ἴστρος) μαχαιροποιὸς τὴν ἐργασίαν· τυχὸν δὲ ἐκέκτητο δούλους χαλκέας ἢ τέκτονας. οὐ γὰρ εἰκὸς τὸν ἐκ τοιούτων γενόμενον, στρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θουκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως. ἀλλ' οὐδ' ἂν ὑπὸ τῶν κωμῳδῶν ἄδηκτος ἀφείθη, τῶν οὐδὲ Θεμιστοκλέους ἀποσχομένων. ἀπιστητέον δὲ καὶ τῷ Ἴστρῳ, φάσκοντι αὐτὸν οὐκ Ἀθηναῖον, ἀλλὰ Φλιάσιον εἶναι. πλὴν γὰρ Ἴστρου παρ' οὐδενὶ ἑτέρῳ τοῦτ' ἔστιν εὑρεῖν. ἐγένετο οὖν ὁ Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμου Κολωνῆθεν, καὶ τῷ βίῳ καὶ τῇ ποιήσει περιφανής. καλῶς τε ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ, καὶ ἐν πρεσβείαις ἐξητάζετο. γεννηθῆναι δὲ αὐτόν φασιν ἑβδομηκοστῇ πρώτῃ Ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος, ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππου. ἦν δὲ Αἰσχύλου μὲν νεώτερος ἔτη δεκαεπτά, Εὐριπίδου δὲ παλαιότερος εἰκοσιτέσσαρα. διεπονήθη δὲ ἐν παισὶ καὶ περὶ παλαίστραν, καὶ μουσικήν, ἐξ ὧν ἀμφοτέρων ἐστεφανώθη, ὥς φησιν Ἴστρος. ἐδιδάχθη δὲ τὴν μουσικὴν παρὰ Λαμπίου· καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Ἀθηναίων περὶ τρόπαιον ὄντων, μετὰ λύρας γυμνὸς ἀληλιμμένος τοῖς παιανίζουσι τῶν ἐπινικίων ἐξῆρχε. καὶ παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε, καὶ πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι· πρῶτον μὲν καταλύσας τὴν ὑπόκρισιν τοῦ ποιητοῦ διὰ τὴν ἰδίαν ἰσχνοφωνίαν (πάλαι γὰρ καὶ ὁ ποιητὴς ὑπεκρίνετο) αὐτὸς δὲ καὶ τοὺς χορευτὰς ποιήσας ἀντὶ δώδεκα πεντεκαίδεκα, καὶ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρε. φασὶ δὲ ὅτι καὶ κιθάραν ἀναλαβὼν, ἐν μόνῳ τῷ Θαμύριδι ποτὲ ἐκιθάρισεν. ὅθεν

καὶ

καὶ ἐν τῇ ποικίλῃ στοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι φασί. Σάτυρος δέ φησιν, ὅτι καὶ τὴν καμπύλην βακτηρίαν αὐτὸς ἐπενόησε. φησὶ δὲ Ἴστρος καὶ τὰς λευκὰς κρηπῖδας αὐτὸν ἐξευρηκέναι, αἷς ὑπεδύοντο οἵτε ὑποκριταὶ καὶ οἱ χορευταί· καὶ πρὸς τὰς φύσεις αὐτῶν γράψαι τὰ δράματα· ταῖς δὲ μούσαις θίασον ἐκ τῶν πεπαιδευμένων εὑρεῖν· καὶ ἁπλῶς εἰπεῖν, τοῦ ἤθους αὐτοῦ τοσαύτη γέγονε χάρις, ὥστε πάνυ πρὸς ἁπάντων αὐτὸν στέργεσθαι. νίκας δὲ ἔλαβεν εἴκοσιν, ὥς φησι Καρύστιος· πολλάκις δὲ καὶ δευτερεῖα ἔλαβε, τριτεῖα δὲ οὐδέποτε. καὶ Ἀθηναῖοι δὲ αὐτὸν ἐτῶν ὄντα ἑξήκοντα πέντε, στρατηγὸν εἵλοντο, πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν ἑπτὰ, ἐν τῷ πρὸς Ἀναίαν πολέμῳ. οὕτω δὲ φιλαθηναιότατος ἦν, ὥστε πολλῶν βασιλέων μεταπεμπομένων αὐτὸν, οὐκ ἠθέλησε τὴν πατρίδα καταλιπεῖν. εἶχε δὲ καὶ τὴν τοῦ Ἄλωνος ἱερωσύνην, ὃς ἥρως ἦν μετὰ Ἀσκληπιοῦ παρὰ Χείρωνι. ἱδρύθη δὲ ὑπὸ Ἰοφῶντος τοῦ υἱοῦ μετὰ τὴν τελευτήν. γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς, ὡς οὐκ ἄλλος, καθὰ Ἱερώνυμός φησιν ἐν τῷ περὶ τοῦ χρυσοῦ στεφάνης. ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης, κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ, λέγων τὴν οὖσαν οἰκίαν ἐν δεξιᾷ εἰσιόντι ἐρευνῆσαι, ἔνθα ἐκρύπτετο. ἐμήνυσε δὲ αὐτὴν τῷ δήμῳ, καὶ τάλαντον ἐδέξατο. τοῦτο γὰρ ἦν προκηρυχθέν. λαβὼν οὖν τὸ τάλαντον, ἱερὸν ἱδρύσατο μηνυτοῦ Ἡρακλέους. φέρεται δὲ καὶ παρὰ πολλοῖς ἡ πρὸς τὸν υἱὸν Ἰοφῶντα γενομένη αὐτῷ ποτε δίκη. ἔχων γὰρ ἐκ μὲν Νικοστράτης Ἰοφῶντα, ἐκ δὲ Θεωρίδος Σικυωνίας Ἀρίστωνα, τὸν ἐκ τούτου γενόμενον παῖδα Σοφοκλέα τοὔνομα πλέον ἔστεργε. καί ποτε ἐν δράματι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι. οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν, εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς· τότε τὸν Οἰδίποδα ἀναγνῶναι. τελευτῆσαι δὲ αὐτὸν Ἴστρος καὶ Νεάνθης φασὶ τοῦτον τὸν τρόπον· Καλλιππίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀποῦντος ἥκοντα παρὰ τοὺς χόας πέμψαι αὐτῷ σταφυλήν. τὸν δὲ Σοφοκλέα λαβόντα, καὶ βαλόντα ῥᾶγα ἔτι ὀμφακίζουσαν εἰς τὸ στόμα, ὑπὸ τοῦ ἄγαν γήρως ἀποπνιγέντα τελευτῆσαι. Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναγινώσκοντα, καὶ ἐμπεσόντα περὶ τὰ τέλη κώλῳ μακρῷ, καὶ μέσην, ἢ καὶ ὑποστιγμὴν πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείνοντα τὴν φωνὴν, σὺν τῇ φωνῇ καὶ τὴν ψυχὴν ἀφεῖναι. οἱ δὲ, ὅτι μετὰ τὴν τοῦ δράματος ἀνάγνωσιν, ὅτε νικῶν ἐκηρύχθη, χαρᾷ νικηθεὶς ἐξέλιπε. τὸν δὲ πατρῷον αὐτοῦ τάφον ἐπὶ Δεκελείᾳ κείμενον πρὸ σταδίων τοῦ τείχους ἕνδεκα, καὶ τοῦτον τὸν τόπον ἐπιτετειχικότων Λακεδαιμονίων κατὰ τῶν Ἀθηναίων, ἐπείπερ οὐκ οἷόν τε ἦν αὐτὸν ἐκεῖ θάπτειν, Διόνυσος κατ' ὄναρ ἐπιστὰς Λυσάνδρῳ, ἐκέλευσε

λῦσιν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον. ὡς δὲ ὀλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπιστὰς ὁ Διόνυσος τὸ αὐτὸ κελεύων· ὁ δὲ Λύσανδρος πυθανόμενος παρὰ τῶν φυγάδων τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς, κήρυγμα πέμψας ἐδίδου θάπτειν τὸν ἄνδρα. Φασὶ δὲ ὅτι καὶ τῷ μνήματι αὐτοῦ σειρῆνα ἐπέστησαν· οἱ δὲ χελιδόνα χαλκῆν. ἐπιγεγράφθαι δὲ τῷ τάφῳ αὐτοῦ τάδε,

Κρύπτω τῷδε τάφῳ Σοφοκλῆ, πρωτεῖα λαβόντα
Τῇ τραγικῇ τέχνῃ σχῆμα τὸ σεμνότατον.

Ἴστρος δέ φησιν Ἀθηναίους διὰ τὴν τοῦ ἀνδρὸς ἀρετὴν καὶ ψήφισμα πεποιηκέναι, κατ' ἔτος ἕκαστον αὐτῷ θύειν. ἔγραψε δὲ (ὥς φησιν Ἀριστοφάνης) δράματα ἑκατὸν τριάκοντα· τούτων δὲ νοθεύεται δεκαεπτά. συνηγωνίσατο δὲ Αἰσχύλῳ, καὶ Εὐριπίδῃ, καὶ Χοιρίλῳ, καὶ Ἀριστίᾳ, καὶ ἄλλοις, καὶ Ἰοφῶντι υἱῷ, τὸ πᾶν ὃν Ὁμηρικῶς ὠνόμαζε, τούς τε μύθους φέρει κατ' ἴχνος τοῦ ποιητοῦ· καὶ τὴν Ὀδύσσειαν δὲ ἐν πολλοῖς δράμασιν ἀπογράφεται· παρετυμολογεῖ δὲ καθ' Ὅμηρον καὶ τὸ ὄνομα τοῦ Ὀδυσσέως,

Ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς,
Πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.

ἠθοποιεῖ τε καὶ ποικίλλει, καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, Ὁμηρικὴν ἐκματτόμενος χάριν· ὅθεν εἰπεῖν λέγεται Ἰωνικόν τινα, μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου μαθητήν. καὶ ἄλλοι μὲν γὰρ πολλοὶ μεμίμηνται τινὰς τῶν πρὸ αὐτῶν, ἢ τῶν καθ' αὐτούς· μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθ' ὃ καὶ μέλιττα ἐλέγετο. ἔμιξε δὲ τοῖς αὐτοῦ ποιήμασιν εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν· οἶδε δὲ καιρὸν εὖ μετρῆσαι, καὶ πράγματα, ὥστε ἐκ βραχέος πολλοῦ ἤρκεσεν ὅλον ἠθοποιῆσαι τὸ πρόσωπον. ἔστι δὲ τοῦτο μέγιστον ἐν ποιητικῇ δηλοῦν ἦθος, ἢ πάθος. φησὶ γοῦν Ἀριστοφάνης, ὅτι κηρὸς ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ· ἄλλοι δὲ Σοφοκλέους τῷ μέλιτι τὸ στόμα κεχρισμένον. φησὶ δὲ Ἀριστόξενος, ὡς πρῶτος τῶν Ἀθήνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιΐαν εἰς τὰ ἴδια ᾄσματα παρέλαβε, καὶ τῷ διθυραμβικῷ τρόπῳ κατέμιξε.

ΤΟΥ ΑΥΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ

ΒΙΟΣ ΕΚ ΤΩΝ ΤΟΥ ΣΟΥΙΔΑ.

ΣΟφοκλῆς, Σοφίλου, Κολωνῆθεν, Ἀθηναῖος τραγικός. τεχθεὶς κατὰ τὴν ογ΄ Ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτης ἔτη ιζ΄. οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ, καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε, νέων πρότερον δυωκαίδεκα εἰσιόντων· προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ. καὶ αὐτὸς ἦρξε τοῦ δράμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ στρατολογίαν· ἔγραψεν ἐλεγεῖά τε καὶ παιᾶνας, καὶ λόγον καταλογάδην, περὶ τοῦ χοροῦ πρὸς Θέσπιν καὶ Χοίριλον ἀγωνιζόμενος. παῖδας δὲ, οὓς ἔσχεν, οὗτοι, Ἰοφῶν, Λεωσθένης, Ἀρίστων, Στέφανος, Μενεκλείδης. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ς, ἐδίδαξε δὲ δράματα ρκγ΄. ὡς δέ τινες, καὶ πολλῷ πλείω. νίκας δὲ ἔλαβε κδ΄.

ΥΠΟΘΕΣΙΣ ΑΙΑΝΤΟΣ

ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

ΤΟ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι, καὶ Αἰχμαλώτιδες, καὶ Ἑλένης ἁρπαγή, καὶ Μέμνων. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἔδοξεν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλεῖόν τι ἀριστεῦσαι περὶ τὴν τοῦ σώματος κομιδήν. καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην· ὥστε ἐφαπτόμενος τῶν ποιμνίων καὶ τέμνων, δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι, καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν. ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα· ὃν δήσας ἐμαστίγωσεν· ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται Αἴας μαστιγοφόρος· ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ Αἴαντος. Δικαίαρχος δὲ Αἴαντος θάνατον ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς Αἴας ἀναγέγραπται. ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ἄρα ποτὲ πράττει ὁ Αἴας. καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τοὐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα ὡς τῶν ἐπὶ τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν ἐξέρχεται ὡς τὸ μαστιγοῦν τὸν Ὀδυσσέα. παραγίνεται

δὲ

δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονός, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικά, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα ἡ τοῦ Αἴαντος αἰχμάλωτος παλλακίς, εἰδυῖα μὲν τὰ σφαγία τῶν ποιμνίων ὅτι Αἴας ἐστίν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. μαθόντες οὖν παρ' ἀλλήλων τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτ' ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται, καὶ μάλιστα ὁ χορός. ἐνταῦθα ὁ Αἴας προελθών, καὶ ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ τούτου Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς. ὁ δὲ ὑποκριθεὶς πεπαῦσθαι, ἔξεισι δῆθεν καθαρσίων ἕνεκεν, καὶ ἑαυτὸν διαχειρίζεται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον καὶ πρὸς Ἀγαμέμνονα οὐκ ἐῶντας θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν ὁ Τεῦκρος, ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ λύπης ἄκρας οἱ ἄνθρωποι εἰς μανίαν περιτρέπονται. ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχών.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ κεῖται πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν. οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀποῤῥήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος, θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι. περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν· οἱ μὲν γάρ φασιν, ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμοῤῥοῶν· οἱ δέ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν (σιδήρῳ γὰρ οὐκ ἦν τρωτός) καὶ οὕτω τελευτᾷ· οἱ δέ, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα (ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέους λεοντῆ) ἄτρωτον ἦν· τὸ δὲ μὴ καλυφθὲν (ὅπερ ἦν ἡ πλευρὰ) τρωτὸν ἦν. τὸ κεφάλαιον δὲ τοῦ δράματος, Αἴαντος μανία καὶ τελευτή.

ΣΟΦΟ-

ΣΟΦΟΚΛΕΟΥΣ ΑΙΑΣ Μαστιγοφόρος.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ Πρόσωπα.

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ ἐκ Σαλαμινίων ναυτῶν.
ΤΕΚΜΗΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΗΜΙΧΟΡΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

SOPHO-

SOPHOCLIS AJAX Flagellifer.

PERSONÆ Fabulæ.

MINERVA.
ULYSSES.
AJAX.
CHORUS *Senum Salaminiorum.*
TECMESSA.
NUNCIUS.
SEMICHORUS.
TEUCER.
MENELAUS.
AGAMEMNON.

A ΣΟΦ.

ΑΘΗΝΑ, ΟΔΥΣΣΕΥΣ, ΑΙΑΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Ἀθ. ΑΕΙ μὲν, ὦ παῖ Λαρτίου, δέδορκά σε
Πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
Καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,

Πάλαι

1. Ἀεὶ μὲν, ὦ π.] Πάρεστιν Ὀδυσσεὺς ἐπὶ τὴν σκηνὴν ἀγωνιῶν καὶ πολυπραγμονῶν μή τι ἀπὸ ἐχθροῦ πάθῃ. πάντα δὲ τὰ τῆς ὑποθέσεως συντελικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, πρὸς τίνα ὁ λόγος, καὶ ποῦ ἡ σκηνὴ, καὶ τί πράττει ὁ Ὀδυσσεύς. ἐν δὲ τῷ πεῖράν τιν' ἐχθρῶν, λείπει ἡ κατά. ἤδη ἴχνος τι κατέθετο τῆς ὑποθέσεως, ὡς παρ' ἐχθρὸν ἥκει. δεῖ δὲ τὰ τῆς ὑποθέσεως συντελικὰ εἶναι ἐν ἀρχῇ. Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, πείρᾳ καὶ δόλῳ μετιόντα τοὺς ἐχθρούς. πεῖρα δὲ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ, Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι, Τοῦ παιδὸς ὄντος τοῦδ', ἐγὼ διόλλυμαι. Τὸ δ' ἀεὶ εἶπεν, ἀναφέρουσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος ἐπὶ τοὺς Τρῶας, οὐκ ἔλαθεν αὐτήν. ὡς αὐτὸς μαρτυρῶν φησι, Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος, ἥτέ μοι αἰεὶ Ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω. δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. Ἄλλως. Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προϋφαρπάσαι. οἷον, ἐπιβουλεύει σοι τίς; σπουδάζεις τὴν ἐπιβουλὴν τὴν κατὰ σοῦ γινομένην αὐτῷ τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι· ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύουσι, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἐσομένην βλάβην. πεῖρα δὲ Ἀττικῶς δόλος καὶ τέχνη. ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλασσαν κακοῦργοι. Λαρτίου] κλητικὸν ἀντὶ κυρίου. 2. Θηρώμενον] ἀντὶ τοῦ ἀνιχνεύοντα. ἐπήνεγκε καὶ τὰ ἄλλα μεταφορικῶς· καὶ τὸ μετρήμενον, ἀριθμοῦντα, ζητοῦντα, ἀκολουθοῦντα τὰ ἴχνη τὰ ἐκείνου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 2. Πεῖράν τιν'] ἢ πειραθῆναι τῶν ἐχθρῶν, καὶ ὧν κατὰ σοῦ μηχανῶνται, προλαβεῖν ζητοῦντα, τῷ, πρὶν ἢ παθεῖν, μαθεῖν, καὶ φυλάξασθαι. ἢ οὕτως, ἁρπάσαι, καὶ συντόμως λαβεῖν πεῖραν τῶν ἐχθρῶν, τί κατὰ σοῦ μηχανῶνται. 4. Τάξιν ἐσχάτ.] ὅτι ἐν μὲν τῷ ἑνὶ μέρει Ἀχιλλεὺς ἦν τοῦ στρατοῦ· ἐν δὲ τῷ ἄλλῳ, Αἴας οὑτοσὶ, ἵνα ὡς κρείττους τῶν ἄλλων

τὴν

MINERVA, ULYSSES, AJAX, CHORUS.

Iambi.

Min. SEMPER quidem, o fili Laertis, vidi te
Molimen aliquod hostium deprehendere captantem,
Et nunc circa tentoria nautica te cerno
Ajacis, ubi ordinem extremum tenet,

Jampri-

τὴν ἰσχὺν φύλακες ὦσιν· ἐν δὲ τῷ μεταξὺ Ἀγαμέμνων καὶ Μενέλαος καὶ οἱ λοιποὶ στρατηγοί. ¶ Σχῆμα. Τρικλ. 1. Ἀεὶ μὲν] τὸ προοίμιον προσφωνητικὸν, καὶ ἐνταῦθα πρότασις. 3. Καὶ νῦν] ἐνταῦθα ἡ κατασκευὴ τοῦ προοιμίου.

SCHOL. INED. 1. Ὦ παῖ Λαρτίου] ὦ υἱὲ τοῦ Λαερτίου, ἀεὶ ὁρῶ σε μετιόντα τοὺς ἐχθροὺς πείρᾳ καὶ βλάβῃ· τοῦτο δὲ καλῶς ἔφη ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος ἐγένετο ἐπὶ τοὺς Τρῶας. Ἰστέον ὅτι δι᾽ οὐδὲν ἄλλο δυσχεραίνει ἡ Ἀθηνᾶ κατὰ τοῦ Αἴαντος, ἢ διότι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς, ὡς προϊὼν ὁ λόγος δηλώσει. *Bar.* Δέδορκα] δέρκω, ὁ μέλλων δέρξω, ὁ παρακείμενος δέδορχα, ὁ μέσος, δέδορκα· λαμβάνεται δὲ ὡς πλατὺς ἐνεστώς. *Bar.* Δέδορκα] οἰκείως ἔχουσιν οἱ παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνεσθαι· οὐ μὲν πάντες παρακείμενοι οὕτω λαμβάνονται. ἀλλ᾽ εἰσὶ μὲν οἱ ἐπὶ σημασίας ἐνεστῶτος ἀεὶ λαμβάνονται, ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα, καὶ ἕτεροι. εἰσὶ δὲ οἱ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ᾽ ἀεὶ ἐπὶ παρεληλυθότος, ὡς ὁ πέπονθα, πεποίηκα, καὶ ἕτεροι. εἰσὶ δὲ οἱ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται, ὡς ὁ πεποίημαι, οἷον πεποίημαι τινὰ φίλον, ἢ ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην. L. B. 2. Πεῖράν τινα] τουτέστι προσβολὴν καὶ ἐπιχείρησιν. *Bar.* Πεῖραν] πειρῶμαι σοῦ καλοῦ, ἀντὶ τοῦ, διὰ πείρας σε καταλαμβάνω καλόν· ἔτι πειρῶμαι τῆς γνώμης σου, εἰ μὴ μεταβέβληται, ἀντὶ τοῦ, θέλω διὰ πείρας καταλαβεῖν αὐτήν· καὶ πειρῶμαι βλάπτειν σε, ἀντὶ τοῦ, ἐπιχειρῶ, ἀφ᾽ ὧν πεῖρα ἣν διδωσί τις τινὶ, ἢ λαμβάνει· καὶ ἡ προσβολὴ, καὶ ἐπιχείρησις, καθ᾽ ὃ λέγεται ἐνταῦθα. L. B. 3. Ἐπὶ σκηναῖς] ἀντὶ τοῦ παρὰ ταῖς σκηναῖς. *Bar.* Ἐπὶ σκηναῖς] σκηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν Ὅμηρος κλισίην λέγει· καὶ ἡ τῶν δραματουργῶν σκευή· ἤγουν τὰ προσωπεῖα· οἱ ἐμβάται· αἱ τοιαίδε στολαὶ, καὶ τἄλλα· καὶ ἀπὸ τούτων σκηνὴ πᾶσα ὑπόκρισις καὶ ὑπουλότης. L. B. 4. Ἔνθα τάξιν ἐσχάτην ἔχει] διὰ μέσου, τὸ ἔνθα τάξιν ἐσχάτην ἔχει. *Bar.*

6. Νεοχάραχθ᾽]

Πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον
Ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
Ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
Στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
Καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
Ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
Σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.
Οδ. Ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
Ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς, ὅμως

Φώνημ'

6. Νεοχάραχθ'] εὐφυῶς, ὁπόταν γὰρ νεωστὶ αἱ διαχαράξεις τῶν ζώων γίνωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή. Νεοχάρακτα. νεωστὶ κεχαραγμένα. προσοχὴν δὲ ἐργάζεται τῷ ἀκροατῇ περὶ τῶν δηλωθησομένων. 7. Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον] οὐκ ἀναγκαῖον τὸ πολυπραγμονεῖν ἔτι εἰ ἔνδον ὁ Αἴας, ἔνδον γάρ, ἀλλὰ λέγε διά τι τὴν σπουδὴν ταύτην ἔθου, ἵνα παρ' ἐμοῦ μάθῃς τὰ ἀγνοούμενά σοι. Εὖ δέ σ' ἐκφέρει] ἔξω τῆς σκηνῆς τοῦ Αἴαντος ἐπάγεταί σε ἡ βάδισις τοῦ Αἴαντος δίκην κυνὸς εὐοσφρήτου, ἀπὸ τοῦ ἴχνους ζητοῦντα εἰ ἔνδον γέγονεν ὁ Αἴας, προέλκουσι γὰρ τοὺς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα. παρ' ὃ καὶ ἐπακτῆρας θέλουσιν ἔνιοι αὐτοὺς καλεῖσθαι, ὡς ἐπαγομένους ὑπὸ τῶν κυνῶν. Ὅμηρος, Πρὸ δ' ἄρ' αὐτῶν Ἴχνη ἐρευνῶντες κύνες ἤϊσαν. 11. Οὐδὲν ἔτ' ἔργον ἐστίν] Ἀντὶ τοῦ οὐκ ἀναγκαῖόν ἐστιν. 14. Ὦ φθέγμ' Ἀθάνας] Καὶ τοῦτο ἄριστα πεποίηται. φθέγμα γὰρ εἶπεν ὡς μὴ θεασάμενος αὐτήν, δῆλον γὰρ ὡς οὐκ εἶδεν αὐτήν, ἐκ τοῦ κἂν ἄποπτος ᾖς, τουτέστιν ἀόρατος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 10. Στάζων ἱδρ.] τοῦτο καθ' ὅλον καὶ μέρος. τὸ μὲν στάζων, ὅλον· τὸ δὲ κάρα καὶ τὸ χεῖρας, μέρος. καὶ οὐχ' ὥς τινες φασί, στάζων καὶ σταζόμενος, καὶ ἔξωθεν τὸ ἔχων λαμβάνουσι, λέγοντες οὕτω, σταζόμενος τὸ κάρα, καὶ ἔχων τὰς χεῖρας ξιφοκτόνους. 14. Φιλτάτης ἐμοὶ] εἰκότως τοῦτ' εἶπε. δεῖ γὰρ τοὺς συνετωτάτους, οἷος οὗτος, τὴν Ἀθηνᾶν περὶ πλείστου ποιεῖσθαι, Φρονήσεως ἔφοροι οὖσαν. ¶ Σχήμ. Τρικλ. 7. Εἴτ'] τοῦτ' ἐστιν, ἡ βάσις. 9. Ἔνδον γὰρ] κατασκευὴ τῆς βάσεως. 14. Ὦ φθέγ.] προοίμιον δεύτερον προσφωνητικὸν καὶ αὐτὸ, καὶ ἐνταῦθα ἡ πρότασις.

SCHOL.

Jampridem venantem & metientem
Vestigia illius recens impressa, ut videas
Intusne sit, an non intus; opportune autem educit te *tua*,
Canis Lacænæ sicut sagax aliqua venatio.
Intus enim jam vir est, caput
Stillans sudore & manus ensicidas.
Adeoque nihil te per hanc introspicere portam
Jam opus est; ede autem cujus gratia
Operam hanc susceperis, ut à me sciente *rem omnem* discas

Ul. O vox Minervæ charissimæ mihi Dearum,
Quam certum tui, licet conspectum fugias *ipsa*, tamen

Sonum

SCHOL. INED. 6. Ἴχνη] ἴχνος γίνεται, ἀπὸ τοῦ ἴω τὸ πορεύομαι σὺν τοῦ χ· ἤγουν τὸ ἐν κινήσει καὶ χνοῒ γινόμενον καὶ συντέμνον. *Bar.* 9. Ἔνδον γὰρ ἁνὴρ] Δείκνυσιν ἐνταῦθα ὅτι οὐκ ἦν ἐκεῖ ὁ Αἴας, ἀλλὰ ἀρτὶ ἦλθε. *Bar.* 10. Χέρας ξιφοκτόνους] ὅσον κατὰ τὴν ἀναλογίαν τοῦ ἀνθρωπόκτονος, καὶ ἀνθρωποκτόνος, ἀνθρωπόκτονος γὰρ τὸ προπαροξύτονον, ὁ ὑπὸ ἀνθρώπου φονευθείς. ἀνθρωποκτόνος δὲ ὁ ἄνθρωπον φονεύσας. ξιφόκτονος ὤφειλ' εἶναι, ὁ ὑπὸ ξίφους φονευθείς. ξιφοκτόνος δὲ ὁ ξίφος φονεύσας· ὅπερ ἐστὶν ἄτοπον. ἐνταῦθα δὲ ξιφοκτόνους λέγει χεῖρας, τὰς διὰ ξίφους φόνον ἐργασαμένας. L. B. 11. Παπταίνειν] ἀπὸ τοῦ ὄπτω τὸ βλέπω γίνεται παπταίνω ποιητικῶς, καὶ σημαίνει τὸ ἐπιτηρῶ, καὶ στοχάζομαι, καὶ περισκοπῶ. *Bar.* 12. Ἔργον ἐστὶν] τὸ ἔργον τρία δηλοῖ, τὴν χρείαν, τὴν δυσκολίαν, καὶ τὴν ἐνόχλησιν. *Bar.* Ἔργον] ἡ πρᾶξις, καὶ ἡ δυσκολία, καὶ ἡ χρεία. καθ' ὃ λέγεται ἐνταῦθα. καὶ ἔργον λιμοῦ ἐγινόμην· ἤγουν ἀγώνισμα, ἀφ' οὗ καὶ πάρεργον λιμοῦ ἐγενόμην, ἤγουν πάρεργον ἀγώνισμα ὡς τοῦ λιμοῦ δηλονότι δραστηριωτέρου ὄντος, ἢ κατὰ τὴν ἐμὴν ἀπώλειαν, κατὰ τοῦτο λέγεται καὶ τὸ παρανάλωμα, ἤγουν πάρεργον ἀνάλωμα. L. B. ἤγουν εἰργάσατο ἡμᾶς ἐπὶ τῆσδ' νύκτος, καὶ τὸ ἑξῆς. B. 13. Ὡς παρ' εἰδυίας] εἰδέω, εἰδῶ τὸ γινώσκω, ὁ μέλλων εἰδήσω, ὁ παρακείμενος εἴδηκα, καὶ κατὰ συγκοπὴν εἶδα, ἡ μετοχὴ ὁ εἰδὼς, τοῦ εἰδότος· τὸ θηλυκὸν ἡ εἰδυῖα, τῆς εἰδυίας. ἐκ δὲ τοῦ εἶδα, εἶδας. εἶδε, προσθέσει τοῦ ναι γίνεται εἰδέναι τὸ ἀπαρέμφατον. *Bar.* 14. Ἀθάνας] ἡ Ἀθήνη καὶ ἡ Ἀθηναία, ποιητικῶς, ἡ Ἀθηνᾶ δὲ κοινῶς. *Bar.*

16. Καὶ

Φώνημ' ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
Καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
Βάσιν κυκλοῦντ' Αἴαντι τῷ σακεσφόρῳ.
Κεῖνον γὰρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.
Νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
Ἔχει περάνας, εἴπερ εἴργασται τάδε.
Ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα.
Κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
Ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
Λείας ἁπάσας, καὶ κατηναρισμένας
Ἐκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπιστάταις.

Τὴν

16. Καὶ ξυναρπάζω φρενὶ] ἤτοι ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι. τοῦ δὲ φωνῆς μόνης αἰσθάνεται ὡς ἐθάδος αὐτῷ οὔσης. ἔστη μέντοι ἐπὶ τῆς σκηνῆς ἡ Ἀθηνᾶ. δεῖ γὰρ τοῦτο χαρίζεσθαι τῷ θεατῇ. προθεραπεύει δὲ τὴν θεὸν ὁ Ὀδυσσεὺς, καὶ οὕτω λέγει τὰ Αἴαντος. 17. Κώδωνος] ἡ κώδων θηλυκῶς, Ἀττικῶς. κώδων δὲ καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος. ἀπὸ μέρους δὲ τὴν σάλπιγγα φησί. πολλὰ δὲ εἴδη σαλπίγγων· εἰσὶ γὰρ Λιβυσικαὶ σάλπιγγες, εἰσὶν Αἰγύπτιοι, εἰσὶ Τυρσηνικαί. πρῶτος δὲ Ἀριχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. ὁ δὲ νοῦς, Καί σου τὸ φώνημα ἀκούω ἐξαιρέτως ὡς Τυρσηνικῆς σάλπιγγος ὀξυφωνοτάτης οὔσης. σακεσφόρος δὲ ὁ Αἴας, οὐχ ἁπλῶς, ἀλλὰ κατ' ἐξοχήν. Ὅμηρος, Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠΰτε πύργον. οἰκεῖον δὲ τοῦτο τοῦ Αἴαντος. 23. Τρανὲς] σαφὲς, ἀληθές. καλῶς δὲ τοῦτο ἐποίησεν, ἵνα ἐπικρεμὴς ᾖ ἔτι ἡ ὑπόθεσις, καὶ τὸ ἄπιστον εἰς ἀμφίγνοιαν ἄγηται. διὸ ἐθελοντὴς τοῦτον ὑπέστη τὸν κίνδυνον, ἵνα γνῶσι τἀληθὲς, πάντων τὴν αἰτίαν τοῦ γεγονότος εἰς αὐτὸν ἀναγόντων. Ἀλώμεθα] τῷ νῷ πλανώμεθα. 26. Λείας ἁπάσας] τὰ ποίμνια, τὰ βοσκήματα λείας φησίν. ἔνθεν καὶ λῃστὴς κατὰ τὸ κύριον. Ὅμηρος, Ληΐδα τ' ἐκ Πελίου συνελάσσαμεν. Κατηναρισμένας] ἄκυρον. τὸ γὰρ σκυλεύειν, ἐναρίζειν. ὅτι τὰ ἔναρα, σκῦλα, παρὰ τὸ ἀρηρέναι, καὶ ἐντὸς αὐτῶν εἶναι ἡμᾶς. καὶ τὸ παρ' Ὁμήρῳ, τοιοῦτόν ἐστιν, Ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν. πῶς γὰρ οἷόν τέ ἐστι σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ ἀλόγων ζώων τὸ σκυλεύειν; Καλλίμαχος ἐπὶ τῆς λεοντείας δορᾶς,— τὸ δὲ σκύλον ἀνδρὶ καλύπτρη Γιγνόμενον νιφετοῦ, καὶ βελέων ἔρυμα. 27. Ἐπιστάταις] τοῖς ποιμέσι. καλῶς δὲ τοῦτο,

ἵνα

Sonum audio, & corripio mente,
Ærei-oris tubæ veluti *sonum* Tyrrhenicæ:
Et nunc recte intellexisti me ob virum inimicum
Gressum torquere, Ajacem *dico* scutiferum.
Illum enim, nec quenquam alium, vestigo dudum.
Hâc nocte enim rem inopinatam *contra* nos
Confectam dedit; siquidem hæc *ille* perpetravit.
Scimus enim nihil certum, sed vagamur *incerti*.
Quare ego voluntarius huic me adjunxi labori.
Deletas enim modo invenimus
Prædas omnes, & trucidatas
Manu, *una cum* ipsis gregum custodibus:

Quam

ἵνα μὴ παραγένοιτό τις ἀπαγγέλλων τὸ σαφές. πόθεν οὖν αὕτη ἡ ὑπόνοια; ὅτι οὐδέ τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μετὰ τοῦ ξίφους νεωστὶ ῥαινομένου ὑπὸ τοῦ αἵματος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 17. Ὡς Τυρσην.] τούτων γὰρ αἱ σάλπιγγες κρείττους τῶν παρ' ἑτέροις εὑρημένων· ἢ ὅτι πρῶτοι Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον. βέλτιον δὲ τὸ πρῶτον. αἱ γὰρ τῶν Τυρσηνῶν σάλπιγγες ἐξαίρετόν τι τῶν παρ' ἑτέροις εὑρημένων ἀπετέλουν μέλος, ὡς μόνον ἀκούσαντά τινα γνῶναι Τυρσηνικὴν εἶναι τὴν ἠχοῦσαν σάλπιγγα. λέγει οὖν καὶ Ὀδυσσεὺς ἐνταῦθα πρὸς τὴν Ἀθηνᾶν, ὅπως ἀκούω τὸ σὸν φώνημα εὐμαθὲς καὶ εὐκατάληπτον, καὶ ὀξέως νοῶ ὅτι σόν ἐστιν, εἰ καὶ ἀθέατος ὑπάρχεις. ὥσπερ καταλαμβάνω τὸ φώνημα τῆς Τυρσηνικῆς σάλπιγγος, ἀκούων ἠχοῦσαν αὐτὴν δηλονότι. 19. Τῷ σακεσφόρῳ] οὐχ ὁπλοφόρῳ ἁπλῶς, ἀλλὰ κατ' ἐξοχήν. ἐξαίρετον γὰρ εἶχεν ὁ Αἴας τὸ σάκος. 21. Ἄσκοπον] ἀνέλπιστον, ἀπροσδόκητον· οὐ γάρ ἐστι συνιέναι τίνος χάριν ἐποίησε. 23. Τρανές] ἀληθές, σαφές, φανερόν. Ἀλλ' ἀλώμ.] τῇ διανοίᾳ. οἰόμενοι τοῦτον ταῦτα ποιῆσαι ἀπὸ τοῦ θεαθῆναι ὑπό τινος κατασκόπου ξιφηφόρον ἐν τῷ πεδίῳ νυκτός. ἔνεστι δὲ ἀπιστεῖν, διὰ τὸ μαινομένου τὸ ἔργον δοκεῖν. ἐκεῖνος γὰρ ἐν τοῖς σώφροσι. 24. Τῶνδ' ὑπεζύγων] ὑπῆλθον. ἀπὸ τῶν ζώων τῶν ὑπὸ τῷ ζυγῷ δουλευόντων. ¶ Σχῆμ. Τρικλ. 18. Καὶ νῦν] κατασκευή. 20. Κεῖνον γὰρ] κατασκευὴ ἑτέρα.

SCHOL. INED. 17. Κώδωνος] κώδων ἐτυμολογεῖται ἀπὸ τοῦ κιν[illegible] ᾠδήν. *Bar.* 22. Ἔχει περάνας] Ἰστέον δὲ ὅτι τὸ ἔχω περάνας, ἐστὶ κατὰ σύνηθες Ἀττικόν· λαμβάνεται δὲ ἀντὶ τοῦ ἐπέρανε. εἰς τὸ ῥῆμα τῆς μετοχῆς γὰρ διαλύεται ὁ λόγος. *Bar.* 22. Εἴπερ εἴργασται τάδε] τουτέστι, ἐὰν εἰσὶν εἰργασμένα ταῦτα τὰ ἔργα παρ' ἐκείνου τοῦ Αἴαντος, ὡς ἐδόθη φήμη. *Bar.* 23. Ἀλλ' ἀλώμεθα] ἀλῶμαι τὸ πλανῶμαι, ἀφ' οὗ ἄλη ἡ πλάνη, καὶ ἀλύειν τὸ ἔν τινι χρείᾳ γινόμενον τινὰ ἀπορεῖν. καὶ ἀλύουσα κόμη, ἡ ἀτακτοῦσα, καὶ πλανωμένη. L. B. *Bar.*

32. Καὶ

Τὴν δ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν τρέπει.
Καί μοι τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει,
Φράζει τε, κἀδήλωσεν. εὐθέως δ' ἐγὼ
Κατ' ἴχνος ᾁσσω, καὶ τὰ μὲν σημαίνομαι,
Τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
Καιρὸν δ' ἐφήκεις. πάντα γὰρ τάτ' οὖν πάρος,
Τά τ' εἰσέπειτα, σῇ κυβερνῶμαι χερί.
Αθ. Ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
Οδ. Ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
Αθ. Ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
Οδ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ' ἦξεν χέρα;

Αθ.

32. Καὶ τὰ μὲν σημ.] ἤγουν σημαντίζομαι, διὰ σημείων γινώσκω. οἷον, σημεῖα ἐμαυτῷ τινα συντίθημι ἀπὸ τοῦ ἴχνους. τὰ δὲ ἀπορῶ. τοιοῦτον γὰρ συμβαίνει ἐπὶ τοὺς ἰχνεύοντας, ἐπιταρασσομένων τῶν ἰχνῶν. διὰ δὲ τὴν μανίαν δυσίχνευτος καὶ ἐπιτεταραγμένη ἡ βάσις γέγονε τοῦ Αἴαντος. καὶ ὅλως Ὀδυσσεὺς ἀναμένει τὸ ἀκριβὲς γνῶναι, ἵνα μὴ δοκοίη κατ' ἐχθροῦ προπετές τι πράττειν. 34. Καιρὸν δ' ἐφήκεις] εὐφυῶς ἄρχεται τῆς ὑποθέσεως ὁ Ποιητής, ὥστε τρανῶσαι τὸ πᾶν διὰ τῆς Ἀθηνᾶς. θεραπεύει δὲ Ὀδυσσεὺς τὴν Ἀθηνᾶν, ἵνα καὶ ἐν τοῖς ἑξῆς ἔχῃ αὐτὴν εὐμενῆ. 36. Ἔγνων, Ὀδυσσεῦ] ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ θεὰ τὸ πρᾶγμα. 38. Ἦ καὶ φίλη] ἐν τοῖς ἀμοιβαίοις κατὰ βραχὺ δηλοῦται ἡ ὑπόθεσις. πυνθάνεται δὲ πρῶτον εἰ ἄρα πρὸς καιρὸν πονεῖ. εἰ γὰρ αὐτός ἐστιν ὁ τὸν φόνον δράσας, πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ Ὀδυσσεύς. τὸ δὲ ἐν τῷ, ὡς ἔστιν ἀνδρὸς, ἀντὶ τοῦ ὄντως καὶ ἀληθῶς, κεῖται. 40. Καὶ πρός τι δυσλ.] ἐπύθετο πρῶτον εἰ αὐτὸς ὁ δράσας, εἶτα καὶ τὴν αἰτίαν πυνθάνεται. τὸ δὲ δυσλόγιστον, ὅμοιον τῷ πρᾶγος ἄσκοπον. ἀγνοεῖ γὰρ ἔτι τὴν μανίαν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 32. Καὶ τὰ μὲν] κατά τινα μὲν, σημειοῦμαι ὡς αὐτός ἐστιν ὁ δράσας· κατά τινα δὲ, εἰς ἔκπληξιν πίπτω καὶ ἀπορίαν, οὐ δυνάμενος συνιέναι τὸν δράσαντα. σώφρων γὰρ ὁ Αἴας· τὸ δὲ ἔργον, μαινομένου καὶ παραπλῆγος. οἱ δὲ λέγοντες, τὰ μὲν τῶν ἰχνῶν, οὐ καλῶς λέγουσι. 39. Τἄργα ταῦτα] τὸ σοὶ, οὐ παντάπασιν ἀργὸν, ἀλλὰ καί τινα χρείαν παρέχει, εἴτις ἀκρι-

βῶς

Quam quidem in illum nemo non culpam confert.
Idque mihi quidam explorator, ipsum conspicatus solum
Exultantem *per* campos cum gladio recens madido,
Narratque & indicavit. Ego vero statim
Vestigiis incumbo, & quædam signis colligo,
Quibusdam vero perturbor, nec scire possum cujusnam *sint*.
Per tempus autem advenis. Omnia enim quæque olim *facta fuerunt*,
Quæque in posterum *erunt*, tua moderor manu.

Min. Novi *hoc*, Ulysse, & jampridem custos prodii
In viam, tuæ favens venationi.

Ul. Ergo, chara domina, tempestive hanc operam sumo?

Min. Certe sunt viri istius (*Ajacis*) hæc facta tibi *intentata*.

Ul. Aut cur insanam adeo incitavit manum?

Min.

δῶς σκοποίη. ἐπειδὴ γὰρ ὁ 'Οδυσσεὺς, ὅς ἐστιν ὁ πράξας, μαθεῖν ἐβούλετο, ἀλλὰ τοῦτο 'Αθηνᾶ πρὸς τὴν ἐρώτησιν τοῦτο φησὶν, ὡς ταῦτα τὰ ἔργα τοῦ Αἴαντός ἐστί σοι τῷ περὶ τούτων μαθεῖν ζητοῦντι. εὑρήσεις δὲ τοῦτο πολλάκις πρωϊάν. ¶ Σχήμ. Τρικ. 28. Τὴν δ' οὖν] βάσις. 31. Φράζει] κατασκευὴ τῆς βάτεως. 36. Ἔγνων] προκατάστασις καὶ διήγησις τῆς ὑποθέσεως.

SCHOL. INED. 33. Ὅτου] οἱ 'Αττικοὶ ἀντὶ τοῦ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς τῶν ἑνικῶν τοῦ οὗ, καὶ ἀντὶ τοῦ ὑποτακτικοῦ τῆς δοτικῆς τοῦ ᾧ, τὸ ὅτου λέγουσι, καὶ τὸ ὅτῳ, συντιθέντες τὰ προτακτικὰ ἄρθρα τὸ τοῦ, καὶ τὸ τῷ μετὰ τοῦ ὁ. τούτοις ἀκολουθήσαντες οἱ ποιηταὶ καὶ ἐπὶ τῶν πληθυντικῶν τοῦτο ποιοῦσι. λέγουσι γὰρ ὅτων ἀντὶ τοῦ ὧντινων, καὶ ὁτέοις ἀντὶ τοῦ οἷστισιν. ἐπὶ δὲ τῶν αἰτιατικῶν οὐδέποτε τὸ τοιοῦτο γίνεται, οὔτε παρὰ τοῖς 'Αττικοῖς οὔτε παρὰ τοῖς ποιηταῖς. L.B. *Bar.* 36. Ἔγνων 'Οδυσσεῦ] πῶς ἐξῆλθες ζητῶν ἃ ἔπραξεν ὁ Αἴας. *Bar.* 40. Καὶ πρὸς τί] καὶ πρὸς τί. οἷον πρὸς ποῖον σκοπὸν ἀφορῶν ἦξεν ἀντὶ τοῦ ἦιξε, καὶ ἐκίνησεν οὕτω χεῖρα δυσλόγιστον. B. ἤγουν δυσκατανόητον, δυσσυλλόγιστον. ἔστι δὲ ἀντὶ τοῦ ἐπιρρήματος, ἀντὶ τοῦ δυσλογίστως, ὥσπερ ταχὺς ἦλθε ἀντὶ τοῦ ταχέως. L.B. *Bar.* τουτέστι πρὸς ποῖον σκοπὸν ἀφορῶν, ἐκινήθη οὕτως ἐχθρωδῶς. *Bar.*

Αθ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.

Οδ. Τί δῆτα ποίμναις τήνδ᾽ ἐπεμπίπτει βάσιν;

Αθ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.

Οδ. Ἦ καὶ τὸ βούλημ᾽ ὡς ἐπ᾽ Ἀργείοις τόδ᾽ ἦν;

Αθ. Κἂν ἐξέπραξεν, εἰ κατημέλησ᾽ ἐγώ.

Οδ. Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;

Αθ. Νύκτωρ ἐφ᾽ ὑμᾶς δόλιος ὁρμᾶται μόνος.

Οδ. Ἦ καὶ παρέστη, κἀπὶ τέρμ᾽ ἀφίκετο;

Αθ. Καὶ δὴ ᾽πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.

Αθ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;

Αθ. Ἐγώ σφ᾽ ἀπείργω, δυσφόρους ἐπ᾽ ὄμμασι

Γνώμας

44. Ἦ καὶ τὸ βούλημ᾽.] ἐρωτᾷ πῶς μόνος ὤν, πρὸς πλῆθος ἐδύνατο μάχεσθαι. μὴ λέγε βούλημα, φησίν· οὐ γὰρ ἦν βούλημα, ἀλλὰ πρᾶγμα. 45. Κἂν ἐξεπράξατο, εἰ κατημέλησ᾽ ἐγώ] γράφεται καί, ἐξέπραξεν. 48. Ἦ καὶ παρέστη] ἀντὶ τοῦ ἐπλησίασεν ἡμῶν, καὶ ἐπὶ τὸ τέρμα τῆς ὁδοῦ δηλονότι ἀφίκετο. 49. Στρατηγίσι πύλαις] ταῖς τῶν σκηνῶν. 50. Μαιμῶσαν] γράφεται καί, διψῶσαν. 51. Ἐγώ σφ᾽ ἀπείργω] ὅτι προσκορὲς ἦν διηγηματικῷ εἴδει τὸ πᾶν διεξελθεῖν. τὸ δὲ ἑξῆς, ἐγώ σφ᾽ ἀπείργω τῆς ἀνηκέστου χαρᾶς. χαρὰν φησὶ τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρηκέναι. ταύτης οὖν αὐτὸν τῆς χαρᾶς ἀπῆρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασι. καλῶς δὲ εἶπε γνώμας· οὐ γὰρ κλέψαι φησὶ τὴν ὄψιν, ὥστε μὴ ὁρᾶν, ἀλλ᾽ ἐπ᾽ αὐτῇ γνώμην δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 42. Ἐπεμπίπτει οἱ λέγοντες τὸ ἐπεμπίπτειν ἀντὶ τοῦ ἐπιβάλλειν, ἵνα συντάξωσι τὴν αἰτιατικήν, τἀληθὲς ἀγνοοῦσιν· ἀλλ᾽ ὥσπερ φαμέν, πολεμῶ σοι πόλεμον, καὶ ἦλθον ἐνταῦθα καλλίστην πορείαν· τὸ γὰρ ἐλθεῖν ἐνταῦθα καλλίστην πορείαν λέγω· οὕτω καὶ νῦν, ἐπεμπίπτει ταῖς ποίμναις τήνδε τὴν βάσιν, τοῦτ᾽ ἔστι, τίνος ἕνεκα ἐπὶ ταύταις ὁρμᾷ ὁρμὴν τήνδε, τὸ διαφθεῖραι λέγω αὐτάς. Ἄλλως. ταῖς ποίμναις ἐπεμπίπτει, ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τοῦτ᾽ ἔστι κατὰ τῶν ποιμνίων. βάσιν, δὲ ἐποιήσατο, ὤφειλεν εἰπεῖν. ὁ δὲ καὶ τὴν ἐπίθεσιν αὐτοῦ θέλων δηλῶσαι, ἐπεμπίπτει λέγει· τοιοῦτο καὶ τὸ ἔχεις φόνον, κυκλοῦντα βάσιν. 43. Δοκῶν ἐν ὑμῖν] τοῦτο καθ᾽ ὅλον καὶ μέρος. τὸ μὲν δοκῶν, ὅλον· τὸ δὲ χεῖρα, μέρος. 44. Ἦ καὶ τὸ] τὸ πᾶν οὕτως, ἆρα αὕτη ἡ βουλὴ καὶ κατὰ τῶν Ἀργείων

ἦν,

Min. Incensus irâ propter arma Achillis *amissa.*
Ul. Cur igitur in greges hoc grassatus est impetu?
Min. Ratus se vestrâ manum tingere cæde.
Ul. Eratne ergo hoc consilium in Argivos *destinatum?*
Min. Et quidem perfecisset, si ego neglexissem.
Ul. Quibus hisce audaciis, vel quâ animorum fiduciâ *fretus?*
Min. Noctu in vos furtim egreditur solus.
Ul. An & adfuit, & ad finem pervenit?
Min. Equidem apud geminas erat imperatorias portas.
Ul. At quî inhibuit manum avidam cædis?
Min. Ego illum prohibui, ob oculos ægris

Ima-

ἦν, οὕτω μεγάλη δηλονότι οὖσα; 51. Ἐγώ σφ'] τοῦτ' ἔστιν, οὐ μόνον ἐκώλυσα τότε τοῦ φονεῦσαι ὑμᾶς, ἀλλὰ καὶ νῦν κωλύω μὴ θεωρεῖν σε. Δυσφόρους] εὔφορον τὸ ἐλαφρὸν, δύσφορον, τὸ δύσκολον φερόμενον, ἀπὸ τούτου εὐφόρως, ἀντὶ τοῦ εὐχερῶς, παρ' Ἱπποκράτει. ἀπὸ τοῦ εὔκολον φέρειν, οὗ ἐναντίον τὸ δυσφόρως, ἤγουν δυσβαστάκτως. ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φερομένας, καὶ μὴ εὐοδουμένας, ἢ παραφόρους. Ἐπ' ὄμμασιν] ἐπειδή φησιν ἡ παροιμία, νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. ὁ δὲ Αἴας ὑπ' Ἀθηνᾶς τὸν νοῦν κατεσείσθη, διὰ τοῦτό φησι τὸ δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα, τοῦτ' ἔστι τὸν νοῦν αὐτοῦ διαφθείρασα, ὥς τε ὁρῶντα μηδὲν αἰσθάνεσθαι, πάσχοντος τοῦ αἰτίου τῆς ὁράσεως, ἀλλ' οὐ τῆς ὁράσεως.

SCHOL. INED. 42. Ποίμναις ἐπεμπίπτει βάσιν] Ποίμναις ἐπεμπίπτει ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τουτέστι κατὰ τῶν ποιμνίων. ἐμπίπτει βάσιν, ἐποιήσατο ὤφειλεν εἰπεῖν, ὁ δὲ καὶ τὴν ἐπίθεσιν αὐτοῦ θέλων δηλῶσαι ἐμπίπτει λέγει. τοιοῦτο καὶ τὸ ἔκτεινε φόνον, καὶ τὸ, κυκλοῦντα βάσιν. L. B. ἤγουν ἆρα καὶ αὕτη ἡ βουλὴ κατὰ τῶν Ἀργείων ἦν οὕτω μεγάλη δηλονότι οὖσα, B. 46. Ποίαισι τόλμαις] ἐρωτᾷ ὁ Ὀδυσσεὺς ὡς μόνος ὢν πρὸς πλῆθος ἐδύνατο μάχεσθαι, ἤγουν τίνες ἦσαν αἱ τόλμαι αἷς ἐθάρρει καὶ τί ἦν τὸ θράσος τῶν φρενῶν δι' οὗ ἐθάρρει, ποιῆσαι τοῦτο. *Bar.* 50. Ἐπέχει.] Ἐπέχω τὸ κωλύω, καὶ ἐπέχει ἡ οἰκία τοσοῦτον διάστημα, ἀντὶ τοῦ ἐπικρατεῖ. καὶ ἐπέχει τὶς τοῦ διδασκάλου τάξιν. L. B. 51. Ἐγώ σφ' ἀπείργω] ἤγουν ἐγὼ αὐτὸν ἀπεῖρξα ἀπὸ τῆς ἀνηκέστου χαρᾶς, ἐμβαλοῦσα τοῖς νοητοῖς αὐτοῦ ὄμμασι γνώμας δυσφόρους. *Bar.* Δυσφόρους.] Ἀπὸ τούτου εὐφόρως παρ' Ἱπποκράτει ἀντὶ τοῦ εὐχερῶς, ἀπὸ τοῦ εὐκόλως φέρειν, οὗ ἐναντίον τὸ δυσφόρως, ἤγουν δυσβαστάκτως. ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φερομένας, καὶ μὴ εὐοδουμένας, ἤγουν παραφόρους. L. B.

Γνώμας βαλοῦσα, τῆς ἀπλήστου χαρᾶς,
Καὶ πρός τε ποίμνας ἐκτρέπω, σύμμικτά τε
Λείας, ἄδαστα βουκόλων φρουρήματα.
Ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
Κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
Δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
Ὅτ' ἄλλοτ' ἄλλον, ἐμπιτνῶν, στρατηλατῶν.
Ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις,
Ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
Κἄπειτ' ἐπειδὴ τοῦδ' ἐλώφησεν φόνου,
Τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
Ποίμνας τε πάσας, εἰς δόμους κομίζεται,
Ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
Καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.

Δείξω

53. Σύμμικτά τε] ἐστὶ τὰ ἑξῆς. περιφραστικῶς τὰ βουκόλια. 54. Ἄδαστα.] ἀδιαίρετα. ἀμέριστα. πιθανὸν δὲ καὶ πρὸς τὸ πλῆθος· ἐλάσσονα γὰρ εἶναι εἰκὸς τὰ μεμερισμένα. 55. Ἔκειρε] ἀντὶ τοῦ κείρων ἐπήει. 56. Κύκλῳ ῥαχίζων] κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων καὶ διακόπτων· διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ ῥάχιν γίνεσθαι. ἐκ μεταφορᾶς καὶ τοὺς μεγάλως κακουργοῦντας, ῥαχιστὰς φαμέν. 57. Δισσοὺς Ἀτρείδας] πιθανῶς τούτων τὰ ὀνόματα εἶπεν. κατ' αὐτῶν γὰρ πλείων ἡ ἀγανάκτησις, ὡς τῆς ἀδικίας προκαταρξαμένων. τὸ δὲ τοῦ Ὀδυσσέως ἐταμιεύσατο τῷ Αἴαντι, ἵνα καὶ μεῖζον εἴη τὸ πάθος αὐτοῦ φανερῶς παραπαίοντος. καὶ ἐπειδὴ γέλοιον προελθόντα τὸν Αἴαντα λέγειν ἐστὶ παρενοχλεῖν τοῖς θεαταῖς, εἰ προείρηκε πάντα ἡ Ἀθηνᾶ. Αὐτόχειρ κτείνειν ἔχων] γράφεται παρών. 58. Ἐμπίπτων] γράφεται ἐμπεσὼν, ἢ ἐμπιτνῶν. 59. Φοιτῶντα] ἀντὶ τοῦ μαινόμενον. φοῖτος γὰρ ἡ μανία. ἢ περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν. λέγει γὰρ, μανιάσι νόσοις. ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ. 60. Εἰς ἕρκη κακὰ] γράφεται, ἐς ἐριννὺν κακήν. 61. Ἐλώφησεν] ἐπαύσατο ἀπὸ τῶν ὑποζυγίων, ὅθεν καὶ τὸ εὐλόφως φέρειν. 62. Τοὺς ζῶντας] τοὺς ζῶντας τῶν βοῶν δήσας ὡς αἰχμαλώτους ἄνδρας, ἄγει, καὶ τὰ λοιπὰ ποίμνια, πιθανὸν δὲ ἐστὶ τοῦτο προειρῆσθαι, ἵνα ὅταν εἴπῃ ἡ Τεκμήσσα περὶ τοῦ κριοῦ, προεπισταίμεθα τοῦτο.

ΣΧΟΛ.

Imaginibus objectis, ab insanabili gaudio;
Et ad greges averto, promiscuamque prædam,
Nondum partitas bubulcorum custodias.
Ibi illatus, quasi tondendo cornigeram patravit cædem
Undiq; obtruncans; & visus est *sibi* quidem nunc
Geminos Atridas manu suâ occîdere prehensos,
Nunc alio alium, irruens, ducum.
Ego vero grassantem hominem furialibus morbis
Instigabam; & impellebam in septa mala.
Tandem ubi hac à cæde conquievit,
Superstites vinculis jam colligatos boves,
Gregesque omnes domum abducit,
Quasi homines, non prædam cornutam, nactus;
Et nunc domi vinctos flagris cædit.

Osten-

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 54. Λείας, ἄδαστα] οὐ δεῖ πρὸς τὸ λείας ἔχειν τὸ ἀπὸ λαμβάνοντος, ἀλλ' οὕτω λέγειν, πρὸς τὰ σύμμικτα φρουρήματα τῶν βουκόλων, τὰ ἄδαστα τῆς λείας, ἤτοι τὴν ἀμέριστον λείαν. 57. Αὐτόχειρ κτείνειν] αὐτοχειρίας ἰδίαις εἶπεν, πρὸς δὲ τὸ ἔχειν ἐπήνεγκε, καὶ τὸ, ὅτ' ἄλλοτ' ἄλλον δὲ, ἀσυνδέτως εἴρηκε. 58. Ἐμπίτνων] οἱ γράφοντες ἐμπίπτων, οὐ καλῶς γράφουσι. βραχὺ γὰρ ὀφείλει εἶναι τὸ πι, ὡς ἐν τῇ τετάρτῃ ὂν χώρᾳ. 59. Μανιάσιν νόσοις] τουτέστι, εἰς ἕρκη κακά. ἢ οὕτω λέγει, ἐγὼ δὲ φοιτῶντα καὶ ἀλόγως ὁρμῶντα καθ' ὑμῶν ἄνδρα, ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακὰ, ἐν μανιάσι νόσοις, τοῦτ' ἔστιν, ἵνα ἄλλως ἐποίησα αὐτὸν δυστυχῆσαι· (τοῦτο γάρ ἐστι τὸ εἰς ἕρκη κακά) ἀλλ' ἢ ἐν τῷ ποιῆσαι αὐτὸν μαινόμενον.

SCHOL. INED. 52. Χαρᾶς] χαρὰν δὲ λέγει, ἣν εἶχεν ὁ Αἴας ἐπὶ τῷ δοκεῖν ἀνῃρηκέναι τοὺς Ἕλληνας. *Bar.* 53. Σύμμικτά τε] Ἤγουν τὰ σύμμικτα βουκόλια, περιφραστικῶς. τὸ δὲ πᾶν, τὰ σύμμικτα βουκόλια, καὶ τῆς λείας τὰ ἄδαστα ἤγουν τὰ ἀμέριστα. L. 58. Ὅτ' ἄλλοτ' ἄλλον] ποτὲ δὲ ἄλλοτε ἐδόκει κτείνειν εἰσερχόμενος ἄλλον ἀπὸ τῶν στρατηλατῶν· ἤγουν τὸν Βασιλέα Ἀγαμέμνονα καὶ Μενελάου. *Bar.* 59. Φοιτᾶν] φοιτᾶν τὸ ἐπί τι συχνῶς πορεύεσθαι, καὶ τὸ μαίνεσθαι. L. 62. Συνδήσας] συνδῆσαι τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμοῦν. L. 63. Κομίζει] κομίζω τὸ φέρω, κομίζομαι δὲ τὸ λαμβάνω. L. 64. Εὔκερων] εὔκερων ἄγραν, ἤγουν εὐφυῶς ἔχουσαν ἐπὶ τοῖς κέρασι, τουτέστι κερασφόρον. καὶ εὔκερως ταῦρος ὁ καλὰ κέρατα ἔχων. L.

66. Δείξω

Δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
Ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
Θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
Τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
Αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
Οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
Δεσμοῖς ἀπευθύνοντα, προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
Οδ. Τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.
Αθ. Οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς;
Οδ. Μὴ πρὸς θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.

Αθ. Τί

66. Δείξω δὲ καὶ σοί] πιθανὴ ἡ παρείσοδος τοῦ Αἴαντος. οὕτω γὰρ μείζον γίνεται τὸ πάθος τῆς τραγῳδίας τοῖς θεαταῖς, νῦν μὲν παραφρονοῦντα, ὀλίγῳ δ' ὕστερον ἔμφρονα θεωμένων· καὶ ἵνα ἰδὼν ὁ Ὀδυσσεὺς ἐξείπῃ τοῖς ἄλλοις Ἕλλησιν· οὕτω δὲ καὶ ἡ εὔνοια τῆς Ἀθηνᾶς ἐνδείκνυται εἰς τὸν Ὀδυσσέα. 69. Ἀποστρόφους] εἰς τοὺς ὀπίσω ἐστραμμένους. διάστροφοι ὀφθαλμοί, οἱ τῶν μαινομένων, καὶ οἱ ἐπ' ἄλλο βλέποντες, εἶτα κατ' ἄλλο δοκοῦντες βλέπειν. ἀπόστροφοι δὲ, οἱ ὄπισθεν ἐστραμμένοι. 72. Ἀπευθύνοντα] ἀντὶ τοῦ, τιμωρίαν ἀπαιτοῦντα. ἢ ἐπιβάλλοντα μετὰ εὐθύνης. Προσμολεῖν] τουτέστιν ἐξελθεῖν. 75. Οὐ σῖγ' ἀνέξῃ] ἐπιστρέφει ἡ Ἀθηνᾶ, ὡς οὐδενὸς ἐσομένου κακοῦ. 76. Μὴ πρὸς θεῶν] παραιτεῖται Ὀδυσσεὺς οὐχ ὡς κωμῳδοῦντος τοῦ ποιητοῦ δειλίαν τοῦ ἥρωος (οὕτω γὰρ ἀφαιρεθείη τῆς τραγῳδίας τὸ ἀξίωμα) ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται. ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν· ὅρα γὰρ αἰσχρὸν ἦν, προσελθόντα ἐκεῖνον θεάσασθαι τὸν νεκρόν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 72. Ἀπευθύνοντα] εὐθύνω τὸ κατ' εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω· καὶ ἀπευθύνω, ἐπὶ τῶν αὐτῶν. 75. Οὐ σῖγ' ἀνέξῃ] τὸ σίγα, τὸ μὲν προστακτικὸν σπονδειακὸν ὄν, παροξύνεται, ὡς τό, Σίγα νῦν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων. καὶ παρ' Εὐριπίδῃ, Σίγα, σιώπα, νήνεμον δ' ἔστω σ' ὄχλον. τὸ δὲ ἐπίρρημα τροχαϊκὸν ὄν, προπερισπᾶται, ὡς ἐνταῦθα, καὶ παρ' Αἰσχύλῳ, Οὐ σῖγα μηδὲν τῶν δ' ἐρεῖς κατὰ πτόλιν. τὸ μέντοι ἀρεῖς, οὐκ ἄρῃς ὀφείλει γράφεσθαι ἐπὶ ἀορίστου, ἀλλ' ἀρεῖς, ἐπὶ μέλλοντος. ὁ μὲν γὰρ ἀόριστος ὡς ἐπὶ τὸ πλεῖστον φύσει ἢ θέσει μακρᾷ παραλήγεται, ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται διὰ τὸ ἐπῄνεσα, καὶ ἐγέλασα, καὶ ἤροσα, καὶ ἔφρασα, καὶ ὅσοι λοιποὶ ἀόριστοι ἀπὸ μελλόντων γίνονται, βραχείᾳ συλλαβῇ παραληγόμενοι. ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς

Ostendam vero & tibi hunc manifestum morbum,
Ut omnibus Argivis conspicatus enarres.
Confidens vero mane, nec *ut* calamitatem exspecta
Virum; ego enim oculorum aversos
Radios arcebo, ne tuum intueantur vultum.
Heus *tu*, te, qui captivas manus
Vinculis coerces, *te* accedere voco.
Ajacem appello; exi pro foribus.

Ul. Quid agis, Minerva? Nequaquam ipsum foras evoces.

Min. Non tacitus durabis, neque metum demes?

Ul. Ne *voca* per Deos, sed intus satis sit ut maneat.

Min.

λῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου. ὡς τ' ἐπειδὴ ἡ ἔχει τοῦ ἰάμβου χώρα, ἢ ἰάμβον, ἢ πυῤῥίχιον ἐκφέρεται, οὐ χρὴ ἄρης γράφειν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται (μακρὸν γὰρ ὂν τὸ α, τοῦ τοῦ μέτρου διαφθείρει κανόνα) ἀλλ' ἀρεῖς, διὰ τὸ ἴαμβον εἶναι τὸν τοιοῦτον μέλλοντα· εἰ δέ τις εἴποι, ὡς ἐπειδὴ ὁ ἦρα ἀόριστος μετέβαλε εἰς ὑποτακτικὸν συνέστειλε τὴν παραλήγουσαν κατὰ τὸν κανόνα, ἴσω, ὅτι πάντες οἱ ἀόριστοι κἄν τε δισύλλαβοι ὦσι, κἄν τε τρισύλλαβοι, τὴν μὲν κλιτικὴν ἔκτασιν κινηθέντες ἀποβάλλουσι, κἄν τε συλλαβική ἐστι, κἄν τε χρονική (οἷον ἔτυψα, ἐὰν τύψω. ἤκουσα, ἐὰν ἀκούσω. εἶδον ἰδών. ἦλθον ἐλθών. πλὴν τοῦ εἶπον εἰπὼν, καὶ ἧκον ἥκων, ἦγον ἐλθών) τὴν δὲ παραλήγουσαν μακρὰν ἔχουσι, πλὴν τῶν εἰρημένων. καὶ τὸ ἄρῃς οὖν εἰ καὶ συνέστειλε τὴν κλιτικὴν ἔκτασιν, ἀλλὰ τὴν φυσικὴν διεφύλαξε μακρότητα. οὐ μόνον δὲ τὸ ἄρῃς, ἀλλὰ καὶ τὸ ἆρον. διὸ καὶ προπερισπᾶται, ὅτι δὲ μακρά εἰσι φύσει καὶ ἀμφότερα, δῆλον ἐντεῦθεν, Μηδ' ὄγκον ἄρῃς μηδέν' εἴτινος πλέον. Ἀλλ' ἆρον ἔξω, καὶ μάλιστα μὲν μέθες.

SCHOL. INED. 67. Θροῆς.] Θροῶ τὸ λέγω ποιητικῶς, καὶ θροῶ τὸ θορυβῶ κοινῶς. *B.* 68. Συμφορὰν δέχου] τουτέστι, μὴ ἰδὼν τὸν ἄνδρα τὸν Αἴαντα δέξῃ συμφορὰν οἰκείαν. ἤγουν βλέπων αὐτὸν τοιῶσδε διακείμενον μὴ λυπηθῇς ἐπ' αὐτῷ. ἄλλοι δὲ οὕτως ἐξηγοῦσι, μὴ συμφορὰν δέχου τὸν ἄνδρα, τουτέστι μὴ οἰηθῇς παθεῖν τι κακὸν ἐξ αὐτοῦ. *Bar.* 69. Ἐγὼ γὰρ] ἐγὼ γὰρ διεστραμμένας ποιήσασα τὰς αὐγὰς τῶν ὀμμάτων αὐτοῦ ἀπείρξω θεάσασθαι τὴν σὴν πρόσοψιν. *Bar.* Ἀποστρόφους] διάστροφοι ὀφθαλμοὶ, οἱ τῶν μαινομένων, καὶ οἱ ἐπ' ἄλλο βλέποντες, εἶτα ἐπ' ἄλλο δοκοῦντες βλέπειν. Ἀπόστροφοι δὲ, οἱ ὄπισθεν ἐστραμμένοι. L. B. 71. Οὗτος] ἀποστροφὴ πρὸς τὸν Αἴαντα. *Bar.* 72. Ἀπευθύνοντα] Εὐθύνω τὸ κατ' εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω. καὶ ἀπευθύνω ἐπὶ τῶν αὐτῶν ὁμοίως. L. B. Προσμολεῖν] τὸ προσμολεῖν οὐκ ἀπὸ τοῦ μολέω μολῶ γίνεται· ἄχρηστον γὰρ τοῦτο, ἀλλ' ἀπὸ τοῦ μόλω. L. 75. Οὐ σῖγ' ἀνέξῃ] σίγα ῥῆμα, ἀντὶ τοῦ σιώπα, καὶ σῖγα ἐπίῤῥημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν. L. B.

77. Τί

Αθ. Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;
Οδ. Ἐχθρός γε τῷδε τἀνδρί, καὶ τανῦν ἔτι.
Αθ. Οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν.
Οδ. Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον εἰς δόμους μένειν.
Αθ. Μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
Οδ. Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ἰδεῖν.
Αθ. Ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
Οδ. Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
Αθ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
Οδ. Γένοιτο μέντ' ἂν πᾶν, θεοῦ τεχνωμένου.
Αθ. Σίγα νυν ἑστώς, καὶ μέν' ὡς κυρεῖς ἔχων.
Οδ. Μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
Αθ. Ὦ οὗτος, Αἴαν, δεύτερόν σε προσκαλῶ·

Τί

77. Τί μὴ γένηται] μή τι γένηται φοβῇ; οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος; ἀλλ' οὐδὲν ὑμᾶς εἰργάσατο κακὸν ἡμῶν ἐπιμελουμένων. 78. Τῷ δὲ τἀνδρί] δεικτικῶς, ἀντὶ τοῦ ἐμοὶ τῷ Ὀδυσσεῖ. 79. Οὔκουν γέλως ἥδιστος] σκληρὸν μὲν τὸ λέγειν τὸ ἐπεγγελᾶν τοῖς ἐχθροῖς, ἀλλὰ θεός ἐστιν, οὐκ εὐλαβουμένη τὸ νεμεσητόν· ἄλλως τε καὶ παροξύνουσα τὸν Ὀδυσσέα φησίν. 80. Ἐμοὶ μὲν ἀρκεῖ] μέτριον διεφυλάχθη τὸ τοῦ Ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾶν τοῖς κακοῖς. Εἰς δόμους] ποιητικῶς εἴρηται, ἀντὶ τοῦ ἐν δόμοις. 81. Μεμηνότ' ἄνδρα ὀκνεῖς] ἀντὶ τοῦ φοβῇ. πυκνῶς γὰρ τίθησι τὸ ὀκνεῖν ἀντὶ τοῦ φοβεῖσθαι. 82. Φρονοῦντα γάρ νιν] ἑκατέρῳ τὸ οἰκεῖον παράκειται, καὶ οὐ χρὴ τὰ τοῦ Ὀδυσσέως φρονιμώτερα οἴεσθαι τῶν τῆς Ἀθηνᾶς· ἀλλ' ἐκεῖνο σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παῤῥησίας διαλέγεται, ὡς θεός· ὁ δὲ, ὑπεσταλμένως, ὡς θνητός, τὸν καιρὸν ὁρᾷ, ὅτι ὁμόσε χωρῆσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐχ ἁρμόζει. φρονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέστην δι' εὐλάβειαν. τὸ δὲ νῦν ἐκστῆναι, οὐ τῷ Αἴαντι, ἀλλὰ τῇ μανίᾳ. 85. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα] εἰ καὶ βλέποντα τὰ βλέφαρα αὐτοῦ, ποιήσω μὴ δεδορκέναι. 89. Ὦ οὗτος] διὰ τοῦ οὗτος καὶ τοῦ Αἴας, δισσὴ ἡ κλῆσις· ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτόν, ὅτε καὶ Ὀδυσσεύς φησι, τί δρᾷς, Ἀθάνα; ἢ ὡς καὶ πρότερον, ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν,

ΣΧΟΛ.

Min. Quare *hoc* non fiat? an non & ante hic vir fuit?

Ul. Inimicus quidem huic homini, & nunc etiam amplius.

Min. Risus ergo dulcissimus inimicos irridere.

Ul. Mihi quidem sat est illum intus manere.

Min. Furentem manifeste virum vereris videre?

Ul. Sanum quidem illum non refugerem videre.

Min. Atqui ne nunc quidem te astantem prope viderit.

Ul. Quomodo, siquidem oculis iisdem cernit?

Min. Ego caliginem palpebris etiam videntibus offundam.

Ul. Fiant quidem omnia, deo machinante.

Min. Tacitus nunc asta, & mane quo es in loco.

Ul. Maneo. Mallem tamen hinc abesse.

Min. Heus tu, Ajax, iterum te huc voco:

Cur

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 77. Πρόσθεν οὐκ] ἡ σύνταξις, οὐκ ἦν καὶ ἔστιν ὅδε καὶ οὗτος, ἤγουν ὁ Αἴας, ἀνὴρ ὁ πρόσθεν· ἤγουν, οὐκ ἔστι τοιοῦτος οἷον ἠπίστασο πρότερον, φρενῶν καὶ λογισμοῦ μέτοχος, ἀλλὰ μαινόμενος, ὥς τε οὐκ ἂν ἐπιγνοίη σε. 85. Βλέφαρα] ἐνταῦθα τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. βλέφαρα γὰρ κυρίως οἱ τοὺς ὀφθαλμοὺς περιέχοντες ὑμένες. 87. Σίγα νῦν] τὸ νῦν τοῦτο, εἰ καὶ ἀντὶ τοῦ δὴ ἐστὶν, ἀλλ' ἔχει καί τινα ἔμφασιν καιροῦ, ὥσπερ φαμὲν καὶ τὸ ὅτι, τὸ τὴν αἰτίαν δηλοῦν. τοῦτο γὰρ οὐ μόνον ἀντὶ τοῦ ἐπεὶ ἐστὶν, ἀλλὰ καὶ καιρὸν δηλοῖ.

SCHOL. INED. 77. Πρόσθεν οὐκ ἀνὴρ] πρότερον μὲν οὐκ ἦν οὗτος ὁ ἀνὴρ αὐτὸς ἐκεῖνος ὅς ἐστι καὶ τανῦν. *Bar.* 78. Ἐχθρός γε τᾦδ' ἀνδρὶ] καὶ, αὐτὸς ἐκεῖνος ἐστὶν, ἀλλ' ὅμως ἐχθρὸς ἦν ἐμοὶ καὶ πρότερον, καὶ τανῦν ἔτι μᾶλλον ἐχθρός ἐστί μοι. *Bar.* 81. Ὀκνεῖς] ὀκνῶ τὸ φοβοῦμαι, καὶ τὸ ῥαθυμῶ. L. B. 88. Ὢν τυχεῖν.] ἰστέον ὅτι τὸ τυχεῖν καὶ τὸ τυγχάνειν μετὰ μετοχῆς τάττονται καὶ λαμβάνονται ἀντὶ τοῦ κατὰ τύχην. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ τῶν τοιούτων εἰς τὸ ῥῆμα τῆς μετοχῆς ὁ λόγος ἀναλύεται, οἷον ἔλαθε ποιήσας ἀντὶ τοῦ ἐποίησε, καὶ ἔτυχεν ἀναλώσας ἀντὶ τοῦ ἀνήλωσεν. L. B. *Bar.* Ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν] τὸ ἂν ἐνταῦθα ἀναλύεται εἰς ἀπαρέμφατον, τὸ δὲ τυχεῖν οὐ συνακούεται, ἤγουν ἤθελον δ' ἂν εἶναι ἐκτός. *Bar.*

Τί βαιὸν οὕτως ἐντρέπῃ τοῦ συμμάχου;
Αι. Ὦ χαῖρ' Ἀθάνα, χαῖρε διογενὲς τέκνον,
Ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
Στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
Αθ. Καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,
Ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
Αι. Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
Αθ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
Αι. Ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι,
Αθ. Τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
Αι. Θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
Αθ. Εἶεν. τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
Ποῦ σοι τύχης ἕστηκεν, ἢ πέφευγέ σε;

Αι. Ἦ

90. Τί βαιὸν οὐδὲν] ὀλίγον. ἀντι τοῦ οὐδὲ ὅλως. σύμμαχον δὲ αὐτὴν νομίζει, ὡς καὶ ἐν τοῖς ἑξῆς φησιν, ὡς εὖ παρέστης. 91. Ὦ χαῖρ' Ἀθάνα] ἐπέγνω μὲν τὴν Ἀθηνᾶν· τὰ δὲ ἑξῆς, τοῦ παραπαίοντος· οὕτω γὰρ ἂν προκόψειεν ἡ ὑπόθεσις. οὐ παντελῶς δὲ ἀπώλετο αὐτοῦ τὸ ἡγεμονικὸν, ἀλλ' ἡ μανία γέγονε περὶ τὸ λογιστικόν. ἐμέμνητο μὲν γὰρ ὡς ἐχθροὺς ἀνελὼν, περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀνεῖλε, καὶ διελογίζετο ἄνδρας ἀνῃρηκέναι. 96. Κοὐκ ἀπαρνοῦμαι τὸ μὴ] τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος εἰς τὸν στρατόν. 97. Ἤχμασας] σὺν αἰχμῇ ἐκίνησας. 98. Ὥστ' οὔποτ' Αἴανθ' οἵδ'] ἐὰν δασυνθῇ τὸ οἱ, ἔστιν ἐπὶ τῶν Ἀτρειδῶν. ἐὰν δὲ ψιλὸν, τὸ οἶδα ἀντὶ τοῦ ἐπίσταμαι. 100. Τἄμ' ἀφαιρείσθων] καλῶς τὰ ἐμὰ ἔφη, ἀντὶ τοῦ τὰ ἀνήκοντά μοι, οὐχ ἃ δεῖ με λαβεῖν, ὡς ἰδίων ἀπεστερημένον. 102. Ποῦ σοι τύχης ἕστ. ἢ πέφευγέ σε;] οὐχ ὡς διαπειλοῦσά φησιν, ὡς ἂν εἴποι τις, ἔθανεν, ἢ πέφευγέ σε; ἀλλὰ παροξύνουσα· φησὶ γὰρ, πέφευγε δή σε ὁ Ὀδυσσεύς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 90. Τί βαιὸν] βαιὸν τὸ μικρόν. λέγεται δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδέν. ἔχει δὲ τὸ πᾶν οὕτως, τί οὐδ' ὅλως ἐντρέπῃ, ἤγουν ἐπιστρέφῃ οὕτως ἐμοῦ, δηλονότι τοῦ συμμάχου. 92. Ὡς εὖ παρ.] ἤγουν παραστάτις καὶ βοηθὸς ὑπῆρξας ἐμοί, ἵνα τοὺς ἐχθροὺς ἀνέλω. 96. Κοὐκ ἀπαρνοῦμαι] αἱ δύο στερήσεις ἐνταῦθα ἀντὶ μιᾶς καταφάσεως, μία γὰρ στέρησις τὸ

οὐ,

Cur tantillum revereris auxiliatricem tuam?

Aj. O salve Minerva, salve Jove genita proles.
Quam opportune affuisti: & te aureis ego
Ornabo spoliis hujus capturæ gratia.

Min. Pulchre dixisti; at hoc mihi narra,
Tinxistin' hastam probe in Argivorum exercitu?

Aj. Est unde glorier; & *factum* nullo modo abnego

Min. An & adversus Atridas ferro armatam exercuisti manum?

Aj. Ita ut non amplius Ajacem hi quidem despexerint.

Min. Mortui sunt viri, quantum tuum verbum intelligo.

Aj. Mortui jam mea, *si libet*, eripiant arma.

Min. Esto. Quid vero filius ille Laertis?
Quo in statu apud te est? Num effugit te?

Aj. De

ὐ, καὶ ἑτέρα τὸ ἀπαρνοῦμαι. 101. Τί γὰρ] τὸ γὰρ οὐκ ἔστι κατασκευαστικὸν, ἀλλ' ἔστι κάλλος τοῦ λόγου, ἐν ἀρχῇ ἐννοίας τιθέμενον, ᾧ καὶ οἱ λογοποιοὶ χρῶνται πολλαχοῦ.

SCHOL. INED. 90. Τί βαιὸν] βαιὸν τὸ μικρὸν, λέγει δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδὲν, ἔχει δὲ τὸ πᾶν οὕτως, τί οὐδ' ὅλως ἐντρέπῃ ἤγουν ἐπιστρέφῃ οὕτως ἐμοῦ δηλονότι τῆς συμμάχου. L. 96. Κ' οὐκ ἀπαρνοῦμαι τὸ μὴ] Ὤφειλεν εἰπεῖν οὐ λέγω τὸ οὐχὶ, ἐπεὶ δὲ ἄρνησιν ἔχει τὸ οὐχὶ, λέγει τὸ ἀρνοῦμαι, ἵν' ᾖ, ἀρνούμενος λέγω, τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς. L. B. 100. Θανόντες ἤδη] οἱ θανόντες ἤδη ἀφαιρείσθωσαν τὰ ἐμοὶ προσήκοντα ὅπλα, αἴρομαι καὶ ὁ παρατατικὸς ἠρόμην ἦρου, καὶ τὸ προσακτικὸν ἀφαίρου ἀφαιρέσθω, ἀφαίρεσθον, ἀφαιρέσθων, ἀφαίρεσθε, ἀφαιρείσθωσαν, καὶ κατὰ συγκοπὴν ἀφαιρείσθων πλεονασμῷ τοῦ ι. ἔστι γὰρ ἡ συνήθεια αὕτη τῶν Ἀττικῶν. *Bar.* Τἄμ' ἀφαιρείσθων] ὥσπερ ἀπὸ τοῦ ἀφαιρείσθωσαν, τὸ ἀφαιρείσθων κατὰ συγκοπὴν, οὕτως καὶ ἀπὸ τοῦ λεγέτωσαν τὸ λεγόντων, καὶ ὅσα τῆς ἀκολουθίας ταύτης. L. B.

Αι. Ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
Αθ. Ἔγωγ' Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
Αι. Ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ, θανεῖν γὰρ αὐτὸν οὔτι πω θέλω.
Αθ. Πρὶν ἂν τί δράσῃς, ἢ τί κερδάνῃς πλέον;
Αι. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης.
Αθ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
Αι. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
Αθ. Μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
Αι. Χαίρειν Ἀθάνα τἄλλ' ἐγώ σ' ἐφίεμαι·

Κεῖνος

103. Τοὐπίτριπτον κίναδος] τὸ ἐξώλες θηρίον καὶ πανοῦργον· κίναδος γὰρ ἡ ἀλώπηξ. πάνυ δὲ κατατρέχει τοῦ Ὀδυσσέως ὡς ἐχθίστου. Ἐξήρου μ' ὅπου] τῆς τύχης ἐστί, δηλονότι. 104. Ἔγωγ' Ὀδυσσέα] οἱ Ἀττικοὶ ἐν τοῖς λόγοις δεομένοις ἀποκρίσεως διὰ τοῦ ναί, λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτόν τι, καὶ ἀρκοῦνται τούτοις· ἐν οἷς δὲ τὸ οὐ ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὰ ἀπωμοτικόν, καὶ ἀρκοῦνται τούτῳ. Τὸν σὸν ἐνστάτην] ἀντὶ τοῦ ἐχθρὸν καὶ ἀντίπαλον. ἤτοι, κατὰ πάντα ἐνιστάμενόν σοι. ἢ ἰδικῶς ἐπὶ τῆς κρίσεως μόνον, οἷον τὸν ἀντίδικον· κυρίως δὲ ἐνστάτης, ὁ ἐν τῇ ὁδῷ ἀντιστήκων τινί, ὡς εἰ λέγοι τις, τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγενημένον. 105. Ἥδιστος] καθ' ἡδονήν μοι. Δεσμώτης] δεσμώτης λέγεται καὶ αὐτός, ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς· καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν πυτίνῃ, Ἐπὶ τῶν δεσμοφυλάκων. ὄψει γὰρ αὐτὴν ἐντὸς οὐ πολλῷ χρόνῳ παρὰ τοῖσι δεσμώτησι καταπιτευμένην. 108. Ἑρκίου στέγης] τοῦ περιφράγματος τῆς τοῦ δώματος στέγης. ἑρκίον γὰρ τὸ δῶμα. 110. Μάστιγι πρῶτον] ἐντεῦθεν ἡ ἐπιγραφὴ τοῦ δράματος, οὐ πρότερον φονεύσω αὐτόν, πρὶν ἂν μαστίξω. 112. Χαίρειν Ἀθάνα, τἄλλα] τὸ ἦθος τῆς ἀπαγγελίας ἀρχαῖον· ἔστι δὲ νῦν τὸ χαίρειν ἀντὶ τοῦ χαρτῶς ἐμοὶ λέγεις. φησὶ δὲ ὡς κατὰ τὰ ἄλλα εἴκων τῇ θεᾷ, τοῦτο δὲ ἀντιβαίνων. ὑπεροπτικὸν δὲ τὸ ἦθος αὐτοῦ ἐντεῦθεν ἐνδείκνυται ὁ ποιητής, ἐπεὶ πάνυ πρόσκειται ὁ ἀκροατὴς τῷ Αἴαντι διὰ τὴν συμφοράν, καὶ μονονουχὶ χαλεπαίνει τῷ ποιητῇ, ἵνα δόξῃ ἀξιοπαθεῖν ὁ Αἴας, μὴ ὑποτεταγμένος τῷ δαίμονι. Ἔγωγέ σ' ἐφίεμαι] ἐφίεμαί σοι εἰς τὰ ἄλλα κελεύειν μοι καὶ χαίρειν, ὡς πειθομένου μου· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκούσομαί σου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 103. Ἦ τοὐπ.] εἰ καὶ δοκεῖ τὸ ἐπίτριπτον κίναδος, εὐθεῖα, διὰ τὸ ῥᾳδίως οὕτω συντάσσεσθαι· ἀλλ' οὐκ ἔστιν οὕτως, ἀλλ'

Aj. De perdita ista vulpe interrogas me, ubi sit?

Min. Ego quidem Ulyssem illum tuum adversarium dico.

Aj. Jucundissimus, O domina, *is* intus captivus Sedet, mori enim eum nondum equidem volo.

Min. Priusquam quid egeris? aut quid ultra lucri feceris?

Aj. Priusquam alligatus ad columnam atriensis tecti.

Min. Quid igitur infelici post infliges mali?

Aj. Flagris primum terga cruentatus moriatur.

Min. Ne, quæso, miserum adeo *graviter* saltem verberes.

Aj. Vale, Minerva. Cætera tibi ego permitto;

Ille

ἐστιν αἰτιατικὴ πρὸς εὐθεῖαν προσχωροῦσα, ὥσπερ καὶ παρὰ τῷ κωμικῷ, ἃ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἐστι πνιγεύς. καὶ πάλιν, Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας, εἰ καί τινες τῶν ἀμαθῶν τὴν διὰ πρόθεσιν λαμβάνουσιν ἔξωθεν. ἐστι δὲ τὸ οὐρανὸν, αἰτιατικὴ πρὸς εὐθεῖαν τὸ πνιγεὺς προσχωροῦσα. οὕτω δὴ καὶ τοῦτο. προϊὼν δὲ εὑρήσεις αὖθις τήνδε τὴν σύνταξιν. ἀλλὰ καὶ τὸ, Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση; καὶ τὸ, Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται, οὐχ ἑτέρα ἐστί. μὴ μόνον δὲ παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς πολλὰ τοιαῦτα εὑρήσεις. 112. Χαίρειν Ἀθάνα] ἤγουν, ἄλλα λέγε, καὶ ὑπακούσομαί σοι. εἰκότως δὲ εἶπε τὸ χαίρειν· ὅταν γάρ τις εἰπών τι εἰσακουσθῇ, διὰ τὸ θέλημα αὐτοῦ πεπληρῶσθαι ἤδη.

SCHOL. INED. 103. Κίναδος] τὸ ἐπίτριπτον κίναδος, ὡς ἐπίθετον λαμβάνεται) τὸ ἐπίτριπτον, ἤγουν τὸ κίναδος τὸ ἐπίτριπτον, τουτέστι τὸ πανοῦργον θηρίον, καὶ ἐπιτριβῆς ἄξιον. L. B. 104. Ἔγωγ' Ὀδυσσέα] οἱ Ἀττικοὶ ἐν τοῖς λόγοις τοῖς δεομένοις ἀποκρίσεως διὰ τοῦ ναὶ λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτό τι, καὶ ἀρκοῦνται τούτοις· ἐν οἷς δὲ τὸ οὐ ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὰ ἀπωμοτικὸν, καὶ ἀρκοῦνται τούτῳ. L.B. 108. Πρὶν ἂν δεθεὶς] ἰστέον ὅτι πρὶν ἂν δεθεὶς πρὸς τὸν κίονα τοῦ ἑρκίου τῆς στέγης ἀποδίδοται πρὸς τὸ, μάστιγι πρῶτον τὰ νῶτα φοινιχθεὶς θάνῃ. *Bar.* Κίον' ἑρκίου] ὁ κίων ἀρσενικῶς, παρὰ δὲ τοῖς Ἴωσιν ἡ κίων θηλυκῶς, καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα θηλυκῶς οὗτοι προφέρουσιν. L. B. 109. Τί δῆτα τὸν δύστηνον] τόδε, τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακὸν, διαμέσου· ἐνεκόπτει γὰρ ἡ Ἀθηνᾶ τὸν Αἴαντα τοῦ λόγου. τὸ δὲ ἑξῆς οὕτως, ἕως ἂν δεθεὶς πρότερον πρὸς τὸν κίονα τοῦ ἑρκίου τῆς στέγης, καὶ μάστιγι πρῶτα φοινιχθεὶς τὰ νῶτα θάνῃ τοιῷδε τρόπῳ δηλονότι. *Bar.* Ἐργάζῃ κακὸν] Ἐργάζομαί

σε

Κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην.

Αθ. Σὺ δ' οὖν, ἐπειδὴ τέρψις ὧδέ σοι τὸ δρᾷν,
Χρῶ χειρί· φείδου μηδὲν ὧνπερ ἐννοεῖς.

Αι. Χωρῶ πρὸς ἔργον. τοῦτό σοι δ' ἐφίεμαι,
Τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.

Αθ. Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
Ἢ δρᾷν ἀμείνων εὑρέθη τὰ καίρια;

Οδ. Ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν
Δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ,
Ὅθ' οὕνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
Οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
" Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν

" Εἴδωλ'

σε κακὸν μετὰ δύο αἰτιατικῶν, καὶ ποιῶ σε κακὸν, καὶ μετὰ ἐπιῤῥήματος ποιῶ σε κακῶς, καὶ ἐργάζομαί σε κακῶς. L. B. 112. Χαίρειν Ἀθάνα] Ἐγώ σοι ἐφίεμαι, ὦ Ἀθάνα, χαίρειν κατὰ τὰ ἄλλα ὅσα μοι κελεύεις, κατὰ τοῦτο μόνον δὲ οὐκ εἰσακούσομαί σου, ὦ Ἀθάνα, κατὰ τὰ ἄλλα μὲν ὑπείκω σοι ὥστε χαίρειν, ἀντὶ τοῦ ἵνα χαίρῃς. *Bar.* Ἐφίεμαι] Ἐφίεμαι τὸ ἐπιθυμῶ, καὶ ἐφίεμαι τὸ ἐντέλλομαι ποιητικῶς, ἀφ' οὗ ἐφετμὴ ἡ ἐντολὴ, ἐφίεμαι χαίρειν σε, ἀντὶ τοῦ εὐνοῶ σοι, καὶ ὑπείκω σοι, σύμβολον γὰρ ἡ προσαγόρευσις τῆς εὐνοίας. L. B.

115. Ὧν περ ἐννοεῖς] γράφεται ἐννέπεις. 118. Ὁρᾷς, Ὀδυσσεῦ] παιδευτικὸς ὁ λόγος καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων. καὶ διὰ τοῦτο ἐπίτηδες καὶ τῷ Ὀδυσσεῖ, καὶ τῷ θεατῇ ὑπέδειξε τὸν Αἴαντα, δηλῶν ὡς ὁ πρότερον φρόνιμος καὶ πρακτικὸς νῦν ἐξέστη διὰ τὸ θεομαχῆσαι. καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσί τινες, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ Θάμυρις, τῆς μουσικῆς. καὶ Νιόβη, τῶν τέκνων. 119. Προνούστερος] προνοίας μᾶλλον ἐχόμενος. 122. Ἔμπης] Ἴωνες ἔμπης φασίν, Ἀττικοὶ δὲ ἔμπας καὶ ἔμπα. 124. Ἢ τοὐμὸν σκοπῶν] οἷον ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά. 125. Ὁρῶ γὰρ ἡμᾶς] πρὸς τὸ Πινδαρικὸν, Τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωποι. ἀντὶ ἀνυπάρκτου τὸ ἀνυπαρκτότερον. ἐνταῦθα μέντοι ὁ λόγος ἐστὶν ἐγγυτέρω τῆς ἀληθείας ἤπερ

τὸ

Ille vero hanc & non aliam pœnam dabit.

Min. Proinde tu, quando ita tibi hoc facere cordi est,
Utere manu; omitte nihil eorum, quæ in animo meditaris.

Aj. Abeo ad opus; hoc autem à te peto,
Ut semper mihi talis adsis auxiliatrix.

Min. Cernis, Ulysse, Deorum potentiam, quanta sit?
Hoc viro enim quis tibi erat consultior,
Aut ad agenda potior repertus est quæ sint ex usu?

Ul. Neminem equidem novi: miseret me vero ejus
Infelicis omnino, quantumvis *mihi* malevolus sit,
Propterea quod noxæ copulatus est malæ;
Nihilo magis illius, quam meam *vicem* respiciens.
" Video enim nos nihil aliud esse quam
" Simula-

τὸ Πινδαρικόν. ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν ὑπερβολὴν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. ὁ δὲ Ὅμηρος δι' ἑνὸς αὐτάρκως τοῦτο δεδήλωκεν, Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 115. Χρῶ χειρί] ἤγουν ἀπόλαυε τῆς χειρὸς πρὸς τὸ σὸν θέλημα, ὅσον ἔξεστι, τοῦτον κολάζων. 119. Τίς ἄν σοι] τὸ ἀνδρὸς πρὸς τὸ προνούστερος, καὶ πρὸς τὸ ἀμείνων ἔχει τὴν δύναμιν. 122. Δύστηνον ἔμπης] τὸ ἔμπης οὐ πρὸς τὸ ὄπισθεν νοητέον, ἀλλὰ πρὸς τὸ ἐποικτείρω. ἔστι δὲ ἐναντιωματικὸς σύνδεσμος· ἔστι δὲ καὶ ὁ λόγος τοιοῦτος, οἷον, εἰ καὶ ἐχθρός ἐστιν, ὅμως οὕτως ἔχοντα αὐτὸν ἐλεεῖν μᾶλλον ἄξιον ἢ μισεῖν. ¶ Σχῆμα. Τρικλ. 125. Ὁρῶ γὰρ] γνωμικόν.

SCHOL. INED. 115. Φείδου μηδὲν ω. ν.] μηδενὸς φείδου ἀπὸ πάντων ὧν ἐννοεῖς. ἢ καὶ οὕτως, χρῶ τῇ σῇ χειρὶ, μηδαμῶς φείδου, καὶ ἀκριβολογοῦ τῶν ἔργων ὧνπερ ἐννοεῖς. *Bar.* 117. Παρεστάναι] παρίσταται δοῦλος δεσπότῃ, καὶ παρίσταται τίς τινι, ἀντὶ τοῦ συμμαχεῖ, ἀφ' οὗ παραστάτης, προΐσταται δὲ ὁ ἔμπροσθεν ἱστάμενος καὶ βοηθῶν τοῖς ὄπισθεν, ἀφ' οὗ προστάτης. L. B. 119. Προνούστερος] ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ νοῦς γίνεται εὔνους, καὶ ἀπὸ τοῦ ἐν καὶ τοῦ νοῦς ἔννους ὁ φρόνιμος (ἢ ὁ ἔχων νοῦν, *B.*) καὶ ἀπὸ τοῦ α καὶ τοῦ νοῦς ἄνους ἢ ὁ ἀνόητος, ἢ ὁ μηδόλως ἔχων νοῦν, ἀπὸ δὲ τοῦ πρὸ καὶ τοῦ νοῦς πρόνους ἄχρηστον, ἀφ' οὗ προνούστερος συγκριτικὸν, ὁ μᾶλλον προνοούμενος ἤ ὁ προνοητικώτερος. L. B. 122. Ἔμπης καίπερ] τὸ ἔμπης καὶ τὸ καίπερ σύνδεσμοι

" Εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.
Αθ. " Τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
" Μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
" Μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
" Ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάθει.
" Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
" Ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
" Θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλα-

σύνδεσμοι εἰσὶν ἐναντιωματικοί, καὶ λαμβάνονται ἐνταῦθα ἐκ παραλλήλου. *Bar.* 123. Ὅθ' οὕνεκ'] ὁμοίως καὶ τὸ, ὅτι, οὕνεκα, σύνδεσμοι εἰσὶν αἰτιολογικοί, καὶ λαμβάνονται ἐνταῦθα ἐκ παραλλήλου. *Bar.*

126. Εἴδωλα] ἀπεψυχασμένα. 127. Ὑπέρκοπον] ἀντὶ τοῦ ὑπερκόμπων. φασὶ τὸν Αἴαντα τρίτον ἡμαρτηκέναι περὶ τοὺς θεούς. πρῶτον μὲν, ἐκβαλεῖν τοῦ δίφρου τὴν Ἀθηνᾶν, βουλομένην αὐτῷ συμμαχεῖν· δεύτερον, ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ ἐξ ἔθους πατρῴου· τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πείθεσθαι τοῖς θεοῖς. 130. Χειρὶ] δυνάμει. 131. Ὡς ἡμέρα κλίνει] ἡμέρα γὰρ μία ἐλαττοῖ, καὶ πάλιν αὔξει. 132. Τοὺς δὲ σώφρονας] τὸ συναγόμενον, τοῦτό ἐστιν, ὅτι δεῖ θεοφιλεῖς μόνους εἶναι τοὺς σώφρονας, καὶ μὴ ἐπ' ἄλλῳ ἀλαζονεύεσθαι. 134. Τελαμώνιε παῖ] πιθανῶς αὐτῷ ὁ χορὸς ἐσκεύασται ἀπὸ Σαλαμινίων ἀνδρῶν· τοῦτο μὲν, παρρησιαζομένων ὡς ἐλευθέρων· τοῦτο δὲ, συμπαθῶς ἐχόντων, ὡς πολιτῶν, καὶ αἰδημόνως λαλούντων, ὡς ὑπηκόων· οὐ γὰρ πιθανὸν ἐξ Ἀχαιῶν εἰσάγειν, καὶ διὰ τὸ μὴ συνήχθαι, καὶ διὰ τὸ μὴ προσκρούειν τῷ βασιλεῖ. τὸ δὲ τῶν αἰχμαλώτων, κηδεμονικὸν μὲν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις· οὐ μὴν εὐπρόσωπον. ἔοικε γὰρ οἷον τοὺς αἰχμαλώτους ἐπιτιμᾶν τῷ Μενελάῳ. πιθανὴ δὲ καὶ ἡ εἴσοδος· ἀκούσας γὰρ ὁ Ὀδυσσεὺς παρὰ τῆς Ἀθηνᾶς, δείξω δὲ καὶ σοὶ τήνδε τὴν περιφανῆ νόσον, ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς, καὶ μαθὼν τὸ σαφὲς, δεδήλωκε τοῖς Ἀχαιοῖς. ταύτης οὖν τῆς φήμης ἀκούσαντες οἱ Σαλαμίνιοι παραγεγόνασι, μηδέπω ὑπὸ τῆς εὐνοίας πεπεισμένοι ὡς αὐτὸς εἴη ὁ πράξας, ἀλλ' ἀπιστοῦντες, καὶ ὑπὸ ἐχθροῦ πεπλάσθαι οἰόμενοι. ὁ δὲ νοῦς, σοῦ μὲν εὖ πράσσοντος, ἐν χαρᾷ ἐσμέν. καὶ τὸ ἀνάπαλιν.

τὸ

" Simulachra, quicunq; vivimus, & levem umbram.
Min. " Hæc igitur intuens, elatum
" Nullum unquam dixeris ipse in deos dictum,
" Neque tumore eleveris ullo, si quo plus
" Vel manu polles, vel magnarum opum pondere:
" Quippe dies deprimitque & attollit denuo
" Omnia humana: modestos vero
" Dii amant, & detestantur pravos.

ANAPÆSTI.

Cho. O fili Telamonis, qui tenes circumfluæ Sala-

τὰ δὲ ὅλως ἐν ταῖς ἐσμέν. τὰ δὲ πράγματα νῦν τῦ Αἴαντος φαῦλά εἰσι ϗ οὐκ ἐπεχώρει αὐτῷ διηγήσασθαι τὰ ἀνδραγαθήματα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 127. Τοιαῦτα] ὡς τὺς μεγαλαύχυς ὕτω θεοὶ κολάζυσι, ϗ πρὸς αὐτὺς ὐδέν ἐςι τὸ ἀνθρώπινον. ὅτι δὲ ὁ Αἴας τοιῦτος, προϊόντες εὑρήσομεν. Ὑπέρκοποι] ὑπέρκομπον ἔδει γράφειν· διὰ δὲ τὸ μέτρον ἐξεβλήθη τὸ μ. 131. Ὡς ἡμέρα] τὸ ὡς ἀντὶ τῦ ὅτι ἐνταῦθα ϗ ἀντὶ τῦ καθὰ νοητέον. ϗ τὸ μὲ ἀντὶ τῦ καθα ὕτω νοητέον, ἅπαντα τὰ ἀνθρώπινα κλίνει ϗ πίπτει, ϗ ἀνάγει ϗ ἀναφέρεται, καθάπερ ἡμέρα ἀρχομένη τε, ϗ πάλιν λήγυσα, τῦ μὲν ἡλίυ, ὁπότε πρὸς τὰ κάτω χωροίη, λήγυσαν ταύτην παρασκευάζοντος· ὁπότε δὲ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω πάλιν ἀνίεσιν, ἀρχομένην δεικνύντος ϗ φαίνυσαν. ὐδὲν γὰρ ἄλλο ἡμέρα ἢ παρυσία ἡλίυ, ὥσπερ ϗ τὐναντίον ἡ νὺξ ἀπυσία. εἰ δὲ ἀντὶ τῦ ὅτι, πρὸς τὸ ἄνω συνάψεις, ὅτι ἡμέρα ϗ καιρὸς εἰς ἅπαντα τὰ ἀνθρώπινα κλίνει ϗ μεταβάλλει, ϗ ἀνάγει ϗ ἀνορθοῖ, ὥσπερ ϗ Φίλων φησὶ, τύχης γὰρ ἀςαθμητότερον ὐδὲν, ἄνω ϗ κάτω τὰ ἀνθρώπεια πεττευύσης. ¶ Σχήμ. Τρικλ. 131. Ὡς ἡμέρα] γνωμικὸν ϗ τῦτο.

SCHOL. INED. 126. Εἴδωλ'] Εἴδωλα τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα, ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται ἄςατα ὄντα ϗ ἀβέβαια. L. B. 127. Ὑπέρκοπον] Ἔχρην λέγειν, ὑπέρκομπον, ἀλλ' ἐξεβλήθη τὸ μ, διὰ τὸ μέτρον, ἵνα ᾖ ὁ ἔκτος πῦς ἐνταῦθα πυῤῥίχιος. *Bar.* 129. Ὄγκον] Ὄγκος δηλοῖ δύο, τὴν ἔπαρσιν, ἤγυν ὑπερηφανίαν, ϗ τὸ βάρος. *Bar.* 130. Βρίθεις] τὸ βρίθω, κοινῶς, τὸ βαρῦμαι σημαίνει, ἐνταῦθα δὲ ὑπερέχεις. *Bar.* 132. Ἅπαντα τ' ἀνθρώπεια] Ἤγυν ἅπαντα τὰ ἀνθρώπεια πράγματα ἡμέρα μία κατάγει ϗ ἀνάγει. L. B. Τὺς δὲ σώφρονας] Ἤγυν, τὺς ἀρετὴν μεταχειριζομένυς (τὸ σωφρονεῖν γὰρ ἐπὶ πάσης ἀρετῆς λέγεται) οἱ Θεοὶ φιλῦσι, εἰσὶν ἀκλινεῖς δηλονότι, ϗ βέβαιοι, λέγεται δὲ τὸ σωφρονεῖν ϗ ἐναντίον ἐςὶ τῷ μαίνεσθαι· τὸ μαίνεσθαι δὲ λέγεται ϗ ἐπὶ

Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου·
Σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
Σὲ δ' ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
Λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
Μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι
Πτηνῆς ὡς ὄμμα πελείας.
Ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς,
Μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
Ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ

Λειμῶν'

τῶν ἀμέτρως χρημάτων ἐρώντων, καὶ ἐπὶ τῶν φιλοδόξων καὶ φιληδόνων, ὥστε τὸ σωφρονεῖν οὐ τῷ φιληδονεῖν μόνον ἐστὶν ἐναντίον, ἀλλὰ καὶ τῷ φιλοδοξεῖν, καὶ τῷ φιλοχρηματεῖν. τὸ δὲ τούτοις ἐναντίον, ἐφ' οἷς πᾶσα κακία συνίσταται, ἐπὶ πάσης ἀρετῆς οἰκείως ἂν λέγοιτο. L. B.

135. Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου] τὸ θεμέλιον. τὸ ἕδρασμα. ἀντὶ τοῦ δι' ὃν ἵσταται ἡ Σαλαμίς. οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν. οἵα ἐστὶ καὶ ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι. 136. Σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω] ἀντὶ τοῦ συγχαίρω. τουτέστιν, σοῦ μὲν εὖ πράσσοντος. ἢ οὕτως, εἰς σὲ μὲν εὖ πράσσοντα ἐπιχαίρω, ἵνα λείπῃ ἡ εἰς. 137. Σὲ δ' ὅταν] ἐπὶ σὲ δὲ, καὶ τὰ ἑξῆς. Ζαμενὴς] ἀντὶ τοῦ δυσμενής. 138. Ἐπιβῇ] ἀπὸ κοινοῦ τὸ ἐπιβῇ. εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. κακόθρους δὲ, οἷόν ἐστι καὶ τὸ ἑξῆς. 140. Πτηνῆς ὡς ὄμμα] ἐπεὶ περιδεὲς τὸ ζῶον. ὄμμα δὲ πελείας περιφραστικῶς ἡ πέλεια. 141. Ὡς καὶ τῆς νῦν] ὡς καὶ τῆς παρελθούσης νυκτὸς ἐν φόβῳ γεγόναμεν ἐπὶ τῇ σῇ δυσκλείᾳ. πιθανῶς δὲ, οὐκ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν δυσπραγίαν προσείληφεν ὡς ἀπὸ τῆς εἱμαρμένης. πάνυ δὲ εὖνοι ὄντες, ἀπιστοῦσι, καὶ ὑπολαμβάνουσιν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν συκοφαντεῖσθαι. ἐν δέει οὖν καθέστηκα, ὅταν ᾖ τι τοιοῦτον περὶ σέ. 143. Σὲ τὸν ἱππομανῆ] τινὲς τὸν μεγαλομανῆ ἐξεδέξαντο, ὡς βούπαινα· ἤτοι τὸν μεγάλως μαινόμενον. ἀλλ' οὐκ ἐπίστευσεν ὁ χορὸς ὅτι ἐμαίνετο ὁ Αἴας. σὲ τὸν ἵπποις μαινόμενον καὶ ἱππικόν. ἀλλ' οἱ νησιῶται οὐχ ἱππομανοῦσιν, οὐδ' ἱππήλατοί εἰσιν αἱ νῆσοι. τὸ ἱππομανῆ τοίνυν πρὸς τὸν λειμῶνα ἐκληπτέον. Ἄλλως. Ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν Αἴαντα, ὡς μεγάλως μαινόμενον, ἀπὸ μεταφορᾶς· (ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐστὶν) ἢ ἐπὶ ἵπποις μαινόμενον· τὸ γὰρ ἵππος ἐπὶ μεγάλου τάσσεται, ὡς ἱπποσέλινον, καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα· ἢ ἐπὶ τοῦ λειμῶνος, οἷον τὸ εὐανθῆ, ἐφ' ὃν οἱ ἵπποι μαίνονται. ἢ τὸν ἄγαν μεμηνότα, καὶ ἀνθοῦντα, καὶ ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος.

ΣΚΟΛ.

Salaminos sedem maritimæ;
Quando bene tecum agitur, gaudeo;
Te vero cum plaga Jovis, aut malevolus
Rumor à Danais maledicus incesserit,
Ingenti in metu sum, & trepido
Ut fugacis oculus columbæ.
Sicut & hac præterita nocte
Graves *animi* perturbationes occupant nos
Ob infamiam, te *nimirum* rabie bacchantem
Pratum

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 136. Ἐπιχαίρω] ὡς ἐπὶ τὸ πολὺ ἐπὶ καλῷ λαμβάνεται· νῦν δὲ ἐπὶ καλῷ κεῖται, τὸ ἐπὶ πρὸς τὸ σὲ συντακτέον, ὥσπερ καὶ εἰς τὸ ἐπιβῇ ποιήσεις. βούλεται δὲ δεῖξαι, ὅτι καὶ τὴν εὐτυχίαν καὶ τὴν δυστυχίαν αὐτοῦ οἰκείαν λογίζεται. 140. Πτηνῆς ὡς] τοῦτο γὰρ τὸ ζῶον πάνυ δειλόν. εἰκότως δὲ εἶπε τὸ ὄμμα. ὁπόταν γὰρ αἰσθομένη τινὸς ψόφου καμμύῃ τοὺς ὀφθαλμοὺς, παλλομένην ἐστὶν αὐτῆς τὴν καρδίαν φράσαι. 141. Ὡς καὶ τῆς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν ἐπὶ, ἀλλὰ πρὸς τὸ θόρυβοι σύνταξον, ἐπειδὴ γὰρ ταῦτα νύκτωρ γέγονεν, ἀόριστ᾽ ἂν ἔχοι λέγειν τῆς νυκτὸς τυχοῦσι τοὺς θορύβους. μὴ διστάσῃς δὲ εἰ πρὸς τὸ φθιμένης, ὅπερ ἐστὶ παρῳχημένου χρόνου, τὸ νῦν συντάσσεις. διὰ γὰρ τὸ πάνυ ἀρτίως καὶ μὴ ἐκ πολλοῦ γεγονέναι τὴν φθίσιν, τὸ νῦν τέθειται, τὸ σύνεγγυς τῆς φθίσεως παριστῶν. 143. Τὸν ἱππομανῆ] τοῦτο ἢ πρὸς τὸ λειμῶνα νόει· (ἱππομανὴς γὰρ λειμὼν, ἐν ᾧ ἵπποι μαίνονται καὶ βακχεύουσιν) ἢ μὴ σύναπτε πρὸς τὸν λειμῶνα, ἵν᾽ ᾖ τὸ ἱππομανῆ πρὸς τὸ σὲ, οὕτως, ἐπὶ τὸν λειμῶνα βάντα σέ. ποταπὸν δὲ ἱππομανῆ· ἤτοι μεγάλως καὶ σφοδρῶς μαινόμενον· καὶ θυμούμενον· ἵν᾽ ᾖ παραπλήσιον τῷ βούπαις, ἀντὶ τοῦ μέγας παῖς. ἢ ἱππομανῆ, τὸν ἱππικόν.

SCHOL. INED. 139. Πεφόβημαι] φοβοῦμαι. τὸ σχῆμα ἀλλοίωσις κατὰ χρόνον, ὃ καὶ ἀντιχρονισμὸς καλεῖται. *Bar.* 140. Πτηνῆς ὡς ὄμμα] τὸ σχῆμα, περίφρασις, περίφοβον δὲ τὸ πτηνόν. εἶπε δὲ ὄμμα, ὅτι ὁ φοβούμενος ἀπὸ τῶν ὀφθαλμῶν ἐστι δῆλος. *Bar.* 142. Μεγάλοι.] ἰστέον, ὅτι ἡ ἀληθινὴ σύνταξις τοῦ παρόντος χωρίου ἐστὶν αὕτη. Μεγάλοι θόρυβοι κατέχουσιν ἡμᾶς ἐπὶ τῇ σῇ ἀδοξίᾳ, λέγω, διὰ σὲ τὸν ἱππομανῆ τὸν βάντα, ὡς λέγουσιν, ἐπὶ τὸν λειμῶνα, ἕνεκα τοῦ ὀλέσαι τὰ βοτὰ τῶν Δαναῶν, καὶ κτείνοντα αἴθωνι σιδήρῳ τὴν λείαν, ἥτις ἦν λοιπὴ δορίληπτος. *Bar.* 143. Σὲ τὸν ἱππομανῆ] διὰ σὲ τὸν ἱππομανῆ, βάντα καὶ ἐλθόντα, ὥς φασι, τοῦ ὀλέσαι τὰ βοτὰ καὶ τὴν λείαν τῶν Δαναῶν, τουτέστιν, ἕνεκα τοῦ ὀλέσαι τὰ βοτά. ὁπόταν γὰρ εὑρήσῃς τὸ ἀπαρέμφατον μετὰ τοῦ ἄρθρου, τότε λάμβανε ἀπὸ τοῦ κοινοῦ τὸ ἕνεκα. *Bar.* 144. Λειμῶν᾽] λειμὼν ὁ ὕδασι κατάρρυτος τόπος· ἀπὸ τοῦ λείβω, ἀφ᾽ οὗ καὶ λιβάδιον. λειμωνιὰς δὲ, ἡ ἐν τῷ λειμῶνι χλόη. L. B.

Λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
Βοτὰ, καὶ λείαν,
Ἥπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
Κτείνοντ' αἴθωνι σιδήρῳ.
Τοιούσδε λόγους ψιθύρους πλάττων
Εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
Καὶ σφόδρα πείθει· περὶ γὰρ σοῦ νῦν
Εὔπειστα λέγει· καὶ πᾶς ὁ κλύων
Τοῦ λέξαντος χαίρει μᾶλλον,
Τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
" Τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
" Οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
" Τοιαῦτα λέγων, οὐκ ἂν πείθοι.
" Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
" Καίτοι σμικροὶ μεγάλων χωρὶς,
" Σφαλερὸν πύργου ῥῦμα πέλονται·

Μετὰ

147. Αἴθωνι σιδήρῳ] λαμπρῷ. 148. Τοιούσδε λόγους] ὁ νοῦς, οὐδὲν ἀνέχυρον εἰδὼς ὁ Ὀδυσσεὺς, πλάττεται ψευδεῖς λόγους, ὑποκλέπτεις μόνον ὡς ἦς σὺν νεορράντῳ ξίφει. καλῶς δὲ καὶ τὸ ψιθύρους λόγους, ἀντὶ τοῦ διαβόλους, ὡς διὰ πανουργίαν ἀδήλως οὐ λεγομένους, ἀλλὰ πρὸς ἓν ἕκαστον ἐξαπατῶντα λάθρα. 150. Περὶ γὰρ σοῦ νῦν εὔπειστα λέγει] ὅτι ἐν δυστυχίᾳ καθέστηκας δηλονότι τῆς ἥττης χάριν. οὐ ἐπεὶ μέγας εἶ, εἶχες τὸν φθόνον συμπράττοντα. 154. Τῶν γὰρ μεγάλων ψυχῶν] τροπικῶς, ὡς ἐπὶ τῶν τοξευόντων μετὰ μεγάλου σώματος, οἱ οὐχ ἁμαρτάνουσι. πιστὰ οὖν τοῖς ἀκούουσι τὰ μετὰ τῶν μεγάλων διὰ τὸν φθόνον. Πίνδαρος, ὄψον δὲ λόγοι φθονεροῖσιν, ἅπτεται δ' ἐσθλῶν, χειρόνεσσι δ' οὐκ ἐρίζει. Ἱεὶς] ἀφιείς. τοξεύων. ἀπὸ κοινοῦ δὲ τό τις. κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἱεὶς τις, οὐκ ἂν ἁμάρτοι· κατ' ἐμοῦ δὲ ἱεὶς τις, οὐ πείθοι τὸν ἀκούοντα. 155. Κατὰ δ' ἄν τις ἐμοῦ] τοῦ δημοτικοῦ καὶ εὐτελοῦς. 157. Πρὸς γὰρ τὸν ἔχονθ'] λείπει τὸ εὖ. 158. Καίτοι σμικροὶ] πάνυ εὐδημόνως ὁ χορὸς ἐξελέγχει τὴν ἀσθένειαν τῶν Ἑλλήνων· οὐ τοῦτο ἄντικρυς ποιή-

ἀλλὰ

Pratum ingressum, perdidisse Græcorum
Pecora & prædam
Quæ bello-capta adhuc reliqua erat,
Cædentem lucenti ferro.
Tales clam rumores confingens
In aures omnium insusurrat Ulysses,
Et admodum persuadet: de te enim nunc
Credibilia dicit, & quicunque audit
Dicente gaudet magis,
Tuis ærumnis insultans.
" Nam qui in magnos jaculatur viros
" Haud facile aberraverit: at contra *tenuem* siquis
" Talia dicat, fidem non inveniat.
" Ad potentem enim serpit invidia.
" Cæterum tenues potentibus sine
" Infirmum turris præsidium sunt:

" Cum

ἀλλὰ ψιλῶς γνωμολογῶν. βούλεται γὰρ ἐπισημῆναι ὅτι κακῶς πράττουσι καταφρονοῦντες τοῦ Αἴαντος, καὶ ἑαυτοῖς ἀσύμφορα. φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων, τοῦτο δὲ τείνει καὶ ἐπὶ τὸν Αἴαντα, ὅτι διηθύνεται αὐτοῦ. 159. Σφαλερὸν ῥῦμα] ἀντὶ τοῦ ἀσθενὴς φυλακή.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 150. Περὶ γὰρ] εἰκότως εἶπε τὸ νῦν, παριστῶν τὴν ἐνεστῶσαν αὐτῷ ἔχθραν πρὸς τοὺς Ἕλληνας, καὶ μάλιστα τοὺς αὐτῶν προὔχοντας, ἡλικηκότας αὐτὸν τῇ περὶ τῶν ὅπλων κρίσει. ὅτι ἃ κατ' αὐτῶν ἀκούουσιν, εἰ καὶ ψευδῆ, ἀλλ' ὡς ἀληθῆ δεχόμενοι ἥδονται. 154. Τῶν γὰρ] μὴ λάβῃς ἔξωθεν τὸ κατὰ εἰς τὸ μεγάλων, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε, οὐ γάρ τις δηλονότι ἁμάρτοι τῶν μεγάλων ψυχῶν, ἱεὶς καὶ πέμπων κατ' αὐτῶν λόγους δηλονότι ἐχθίστους. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξευόντων. ὅταν γὰρ μείζων ὁ σκοπὸς ᾖ, ἥκιστα τούτου ἀποτυγχάνουσιν. οἱ δὲ προστιθέντες τῷ ἱεὶς τὸ λόγους, ἁμαρτάνουσι, μὴ εἰδότες τὸ μέτρον τοῦ στίχου. νοεῖται δὲ τὸ λόγους κατὰ συνεκδοχὴν ἀπὸ τοῦ λέγων. 157. Ὁ φθόνος] εἰκότως τὸ ἕρπει ἐπὶ φθόνου εἴρηκε, δίκην ὄφεως. ἐπὶ τούτου γὰρ τὸ ἕρπειν λέγεται, τοὺς φθονουμένους βλάπτοντος.

SCHOL. INED. 155. Ἀμάρτοι] Ἀμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ ἀμεταβάτως. ἀμαρτάνω δὲ τὸ ἀποτυγχάνω, μεταβατικῶς, καὶ συντάσσεται γενικῇ. L. B. 159. Σφαλερὸν ῥῦμα] Ἤγουν, ἐπισφαλὴς φυλακὴ πύργου τέλουσι, ἀντὶ τοῦ τελοῦσιν, ἤγουν ὑπάρχουσιν. L. B.

161. Καὶ

" Μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
" Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικρῶν.
" Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
" Τούτων γνώμας προδιδάσκειν.
Ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ·
Χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦ-
τ' ἀπαλέξασθαι, σοῦ χωρίς.
Ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
Παταγοῦσιν, ἅτε πτηνῶν ἀγέλαι
Μέγαν αἰγυπιὸν ὑποδείσαντες·
Τάχ' ἂν ἐξαίφνης εἰ σὺ φανείης,
Σιγῇ πτήξειαν ἄφωνοι.

ΕΠΩΔΙ-

161. Καὶ μέγας ὀρθοῖθ' ὑπὸ σμικροτέρων] οὐκ ἔστιν ἐναντίος ὁ λόγος, ἀλλὰ καὶ αὔξησιν ἔχει. εἰ γὰρ ὁ μέγας ὑπὸ τοῦ ἐλάττονος διασώζεται, πόσῳ μᾶλλον τῶν μειζόνων ἔχεσθαι χρή; κοινωνικὸς δὲ ὁ λόγος καὶ φιλάνθρωπος. καὶ Ὅμηρος, Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν. 162. Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους] τοὺς Ἕλληνας, ἀνοήτους καὶ φθονερούς, καὶ διαθρέειν τὰ τοιαῦτα ἀνεπιστήμονας. κἀνθάδε δὲ τὸ θορυβῇ, σύμφωνόν ἐστι τῷ τοιούσδε λόγους ψιθύρους πλάσσων. μέχρι γὰρ νῦν, ἐν λόγοις ἐστὶν ἡ ἀδικία, καὶ θορύβῳ τῷ ἀπὸ τῆς βλασφημίας. 163. Τούτων] τῶν λεχθέντων. Γνώμας] ὀρθὰς δηλαδὴ τὰς κρίσεις. 166. Ἀπαλέξασθαι] ἀντιτάξασθαι. 168. Ἅτε πτηνῶν ἀγέλαι] θηλυκῶς τῷ ἀγέλαι ἐπήγαγεν ἀρσενικὴν μετοχὴν τὴν ὑποδείσαντες, πρὸς τὸ νοητόν. ἐν γὰρ ταῖς ἀγέλαις εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. ὁ νοῦς, διὰ τοῦτο κομπάζουσί σου ἀφανοῦς ὄντος ὡς πτηνῶν ἀγέλαι παταγοῦντες, καὶ τοῦτο εἰς τὸν κενὸν ψόφον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 162. Ἀλλ' οὐ] τοῦτο διπλῶς λέγει, ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους προδιδάσκειν γνώμας τούτων, ἤγουν τὴν περὶ τούτων διάνοιαν. τοῦτ' ἔστιν, οὐδεὶς ἂν δύναιτο διδάσκειν τοὺς ἀσυνέτους Ἕλληνας τούτους τοὺς λόγους, ὡς δεῖ περὶ πλείστου ποιεῖσθαι τοὺς μεγάλους. καὶ πάλιν, οὐ δυνατὸν προδιδάσκειν τοὺς κατὰ τὰς γνώμας ἀνοήτους τούτων· ἤγουν τοὺς μωροὺς τὴν διάνοιαν, καὶ μηδὲν τούτων ὧν ἔφην αἰσθανομένους. 166. Ἀπαλέξασθαι] ἀλέξω ἀλεξήσω, αὔξω αὐξήσω, ἕψω ἑψήσω, ἐνεστῶτες καὶ μέλλοντες. οἱ γράφοντες ἀπαλλάξασθαι, ἀμαθεῖς τοῦ μέτρου. χρὴ οὖν ἀπαλέξασθαι γράφειν, ἵν' ἔχῃ ὀρθῶς. 167. Ἀλλ' ὅτε] τὸ πᾶν οὕτως, Ἀλλὰ γὰρ ὑποδείσαντες οἱ

Ἀχαιοί

"Cum magnis enim parvus optime
"Erigat se & magnus cum parvis.
"Sed non fieri potest, ut stupidas mentes
"Hujusmodi potitias mature doceamus.
Ab hoc hominum genere nunc in te ista surgit tumultus:
Nos autem nihil valemus contra hæc
Opis afferre te sine, *O Rex noster.*
Nunc enim quia tuum aspectum effugerunt,
Perstrepunt, velut avium greges,
Magnum vulturem cum desierunt timere:
Si forte ex improviso te in conspectum dares,
Silentio trepidarent muti.

EPODI-

Ἀχαιοί σε, ἤγουν φοβηθέντες, ὅτε δὴ ἀπέδραν τὸ σὸν ὄμμα, παταγοῦσιν, ἤγουν θορυβοῦσι, καθὰ ἀγέλαι πτηνῶν, ἀποφυγοῦσαι μέγαν αἰγυπιόν. Ἄλλως. ἡ σύνταξις οὕτως. ἀλλ' εἰ φανείης σὺ τούτοις ἐξαίφνης, τάχ' ἂν πτήξειαν καὶ φοβηθεῖεν ἄφωνοι ἐν σιγῇ, τοῦτ' ἔστιν, ὑπὸ τοῦ φόβου σιγὴν καὶ ἀφωνίαν ἕξουσιν, ὑποδείσαντες, καὶ φοβηθέντες, ἅτε καὶ καθὰ ἀγέλαι πτηνῶν μέγαν αἰγυπιὸν καὶ ἀετὸν, ὑποδείσασαι δηλονότι. παταγοῦσι γὰρ καὶ θορυβοῦσιν, ὅτε ἀπέδραν καὶ ἀπέφυγον τὸ σὸν ὄμμα. καὶ μὴ νομίσῃς λέγειν τὸν χορὸν τοῦτο, διότι ἐξέφυγον οἱ Ἕλληνες τὸ τοῦ Αἴαντος ξίφος, καὶ οὐκ ἀπώλοντο; μανέντος καὶ πρὸς τὰς ποίμνας χωρήσαντος. πῶς γὰρ ἔλεγεν ἂν ὅπερ οὐκ ἠπίστατο. ἀλλ' ὕστερον ὑπὸ Τεκμήσσης καὶ αὐτοῦ Αἴαντος ἔμαθεν ἐλθόντος εἰς αἴσθησιν; ἐνδεικνύμενος δὲ τὸ τοῦ Αἴαντος, φοβερὸν τοῦτό φησιν. οἱ δὲ τὸ γὰρ ἀργὸν λέγοντες, ἀγνοοῦσι τὴν σύνταξιν. καὶ γὰρ στίζουσι μὲν πρὸς τὸ παταγοῦσι· τὸ δὲ, ἅτε πτηνῶν ἀγέλαι, ἀσυνδέτως ἐκφέρουσι. τὸ δὲ ὅτε, ἐνταῦθα ἀντὶ τοῦ ὁπότε ἐστίν· ἐπειδὴ καθολικῶς, ὡς ἔφαμεν, ὁ λόγος ἀπὸ τοῦ χοροῦ λέγεται. ἢ μὴ λάμβανε πρὸς τὸ πτηνῶν ἀγέλαι τὸ ὑποδείσασαι, ὡς ἔφαμεν, ἀλλ' ἐκ τοῦ ἀπέδραν, ἀποδρᾶσαι κατὰ συνεκδοχὴν νόει, ἵν' ᾖ, ἀποδρᾶσαι μέγαν αἰγυπιόν.

SCHOL. INED. 162. Ἀνοήτους] ἰστέον, ὅτι ἴδιόν ἐστι τοῖς ἀνοήτοις τὸ φρονεῖν. τοῖς δὲ φρονοῦσιν ἴδιον, τὸ καθαιρεῖν λήρους. *Bar.* 168. Παταγοῦσιν] πάταγος δι' ἑνὸς τ. ὄτοβος δὲ τὸ αὐτό, διὰ δύο. L. B. Πτηνῶν ἀγέλαι] ἀντὶ τοῦ ὄρνιθες. ἵνα τὸ ὑποδείσαντες καταλλήλως ἐπάγοιτο. L. B. 169 Αἰγυπιόν] εἶδος ἀετοῦ ὁ αἰγυπιὸς οὕς φασιν ἐν μεθορίῳ εἶναι ἀετοῦ καὶ γυπός· ὡς καὶ τὸ ὄνομα μαρτυρεῖ. L. B. 171. Πτήξειαν] Κανόνισον, πτήσσω, ὁ μέλλων πτήξω, ὁ ἀόριστος ἔπτηξα. ἡ μετοχὴ, ὁ πτήξας, τοῦ πτήξαντος, καὶ τὸ εὐκτικὸν κοινῶς μὲν, πτήξαιμι, αἰολικῶς δὲ πτήξεια, πτήξειας, πτήξειε. τὸ τρίτον τοῦ πληθ. πτήξειαν, ἀντὶ τοῦ φοβηθείησαν.

172 Ἡ ῥά

ΕΠΩΔΙΚΑ. Στροφή.

Ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις,
(Ὦ μεγάλα φάτις, ὦ
Μᾶτερ αἰσχύνας ἐμᾶς)
Ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
Ἦπου τινὸς νίκας ἀκάρπωτον χάριν,
Ἦ ῥα κλυτῶν ἐνάρων
Ψευσθεῖσα δώροις, ἢ τ᾽ ἐλαφηβολίαις.
Ἦ χαλκοθώραξ, ἤ τιν᾽ Ἐνυάλιος.

Μομ-

174. Ἦ ῥά σε] ὁ χορὸς, οὐδέπω πεπιστευκὼς ὅτι Αἴας τὰ τεθρυλλημένα διεπράξατο, ἀλλ᾽ οἰόμενος ἔκ τινος ὀργῆς θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, ποιεῖται πρὸς τὴν φήμην τὸν λόγον. Ταυροπόλα] ἢ ὅτι ἐν Ταύροις τῆς Σκυθίας τιμᾶται· ἢ ἀπὸ μέρους, τῶν ποιμνίων ἡ προστάτις· ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις. ἣν καὶ ταυρωπὸν ὀνομάζουσιν. τὸ ἑξῆς, ἦ ῥά σε ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας. τοὺς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ τὸ νυκτερινῶν δεσπόζειν φασμάτων. Ἄλλως. Τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ χορὸς πιστεύει ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας δὲ προνοίας. 173. Ὦ μεγάλα φάτις] διὰ μέσου ἡ ἀναφώνησις, ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην. κακὴ γὰρ (φησὶν) ὑπῆρξε περὶ τοῦ Αἴαντος. 175. Πανδάμους] ἢ τὰς παντὸς τοῦ δήμου, ἢ τὰς συνηγμένας. 176. Ἦπου τινὸς νίκας] ἢ διὰ χάριν τινὸς νίκης. ἀκάρπωτον δὲ, ἧς καρπὸν οὐκ ἐδέξατο. οἷον) ἐκ τούτων αὐτὸν ἐμμανῆ εἶναι, ἆρα οὖν (φησὶ) χαριζομένη σοι τὸ νικᾷν, καρπὸν καὶ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης· ἢ, ἀπὸ κυνηγεσίων δῶρα οὐ λαβοῦσα. ὡς καὶ Ὅμηρος ἀπολελησμένους τινάς φησι, καὶ δίκην παρέχοντας τῆς λήθης. 179. Ἦ χαλκοθώραξ, ἤ τιν᾽ Ἐνυάλιος] διαστέλλει τὸν Ἄρεα ἀπὸ τοῦ Ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ. καὶ δῆλον ἐκ τῶν συνδέσμων. δηλοῦται γὰρ ὁ Ἄρης ἐκ τοῦ χαλκοθώραξ. ἢ καὶ ὁ Ἄρης μεμφόμενός σοι ὡς ἀπαρχὰς δορὸς οὐ λαβὼν, ἐτίσατο σε τῆς λώβης τῆς εἰς αὐτὸν γενομένης λήθης· ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς ἐπὶ σοῦ ταύτης τῆς νυκτός. πιθανῶς δὲ πλείονας αἰτίους τιθέασιν ἀπορῦντες. οἱ γὰρ στοχαζόμενοι οὐ καθ᾽ ἓν ἵστανται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 172. Ἦ ῥά σε] εἰκότως Ἄρτεμιν καὶ Ἄρεα καὶ τὸν ὑπουργὸν αὐτοῦ Ἐνυάλιον αἰτίους τῶν παρόντων ἡγεῖται κακῶν, ἅτε πολεμικοὺς θεοὺς, καὶ βεβοηθηκότας ἴσως ἂν αὐτῷ πρὸς μάχην, καὶ μὴ παρ᾽

αὐτοῦ

EPODICA. Strophe.

Certe igitur te Taurivaga *filia* Jovis Diana
(O fama ingens,
Dedecoris nostri mater)
Egit in publicos boum greges,
Vel forte, ob victoriam aliquam sibi infructuosam,
Vel spoliorum inclytorum
Fraudata donis, vel præda venando capta:
Vel ferreo thorace armatus aliquam Mars
Causam

αὐτοῦ τυχόντας ἂν ἔδει. ταῦτα δὲ ἦν θυσία καὶ ἀναθήματα. αὐτὸν δὲ καὶ ἐν ἐλαφηβολίαις καὶ κυνηγεσίαις συμμαχῆσαι αὐτῷ τὴν Ἄρτεμιν (τούτων γὰρ ἔφορος ἡ θεὸς) καὶ διὰ τὸ μὴ ἀντιτυχεῖν χάριτος, ὀργισθῆναι αὐτῷ. μὴ λάβῃς δὲ ἔξωθεν εἰς τὸ χάριν, διὰ, ὥς τινες φασὶν ἀπατώμενοι, πρὸς τὴν αἰτιατικήν. οὐ γὰρ μόνον ἐψεύσθημεν τοῦδε, φαμὲν, ἀλλὰ καὶ τόδε, ὥσπερ καὶ, μέτεστί μοι τοῦδε, καὶ μέτεστί μοι τόδε· οὐ μόνον δὲ οὕτω φαμὲν τὸ ψεύδεσθαι, ἀλλὰ καὶ πρὸς δοτικὴν πλαγιάζομεν, ὡς ἔχει κἀνταῦθα· πρῶτον γὰρ εἰς αἰτιατικὴν συνέταξε, ψευσθεῖσα χάριν ἀκάρπωτον λέγων, εἶτα πρὸς δοτικὴν ἐπλαγίασε, κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις. 173. Ὦ μεγάλα] οὔπω πεπιστευκὼς ὁ χορὸς ὡς Αἴας τὸ διατεθρυλλημένον διεπράξατο ἔργον, ἀλλ' οἰόμενος ἔκ τινος μήνιδος τῶν θεῶν ταύτην τὴν φήμην γεγονέναι, πρὸς ταύτην ἀποτείνει τὸν λόγον. 176. Ἤ που] τὸ που οὐ μόνον δηλοῖ τόπον, ἀλλὰ καὶ ἀντὶ τοῦ ἴσως τίθεται, ὥσπερ ἄλλοι τε πολλοὶ μαρτυροῦσι, καὶ Φιλόστρατος, λέγων ἐν ταῖς εἰκόσιν οὕτως, Ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης.

SCHOL. INED. 172. Ἤ ῥά σε.] Διὰ μέσου οἱ δύο στίχοι οὗτοι (a) τὸ δὲ ἑξῆς, ἢ ἡ Ἄρτεμις ὥρμησε πανδήμους ἐπὶ βοῦς. τὸ πᾶν τοιοῦτόν ἐστι, ἦ ἡ Ἄρτεμις τοῦ Διὸς ἡ θυγάτηρ παρώρμησεν ἐπὶ τὰς πανδήμους βοῦς τὰς ἀγελαίας, ἢ διὰ χάριν τινὸς νίκης ἀκερδῆ. ἢ διὰ δώρων ψευσθεῖσα, ἢ ὁ Ἐνυάλιος ἐπίστατο λώβην. οὐ γὰρ οἴκοθεν ἴσως ἐπὶ τὰ ἀριστερά. L. B. 175. Πανδάμους] Πάνδημος πανήγυρις, ἡ συναθροισθεῖσα ἀπὸ παντὸς δήμου· πάνδημος πόρνη ἡ ὁ βουλόμενος σύνεισιν ἀπὸ τοῦ δήμου· πανδήμους δὲ βοῦς ἐνταῦθα, ὧν μετέχει πᾶς ὁ δῆμος τῶν Ἀχαιῶν. *Bar.* Ἐπὶ βοῦς] Ἄρα ἡ Ταυροπόλα Ἄρτεμις ἡ θυγάτηρ τοῦ Διὸς ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς ἀγελαίας τὰς πανδήμους, ἢ διὰ χάριν τινὸς νίκης ἀκερδῆ καὶ ἀχάριστον καὶ ἀθυσίαστον, ἢ ψευσθεῖσα ἡ Ἄρτεμις καὶ μὴ τυχοῦσα ἐν τοῖς δώροις καὶ κέρδεσι τῶν ἐνδόξων σκύλων, ἢ μὴ τυχοῦσα ἐν ταῖς ἐλαφηβολίαις, ἤγουν οὐ μετέσχε θυσιῶν ἐκ τῶν γινομένων ἐλαφηβολιῶν, καὶ διὰ τοῦτο ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς πανδήμους

Μομφὰν ἔχων
Ξυνοῦ δορὸς, ἐννυχίοις μαχαναῖς,
Ἐτίσατο λώβαν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ,
Παῖ Τελαμῶνος, ἔβας,
Τόσσον ἐν ποίμναις πίτνων.
Ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
Καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
Εἰ δ' ὑποβαλλόμενοι
Κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
Ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,

Μὴ

τὰς ἀγελαίας, ἢ ὁ χαλκοθώραξ Ἄρης, ψευσθεὶς δώροις κλυτῶν ἐνάρων ἢ ἐλαφηβολίαις, ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς ἀγελαίας, ἢ ποίαν μομφὴν ἔχων κατὰ σοῦ ἕνεκα κοινῆς συμμαχίας ἀπέδωκέ σοι βλάβην ὁ Ἐνυάλιος ἐν νυκτεριναῖς μηχαναῖς. *Bar.* 178. Ψευσθεῖσα] ἐψευσάμην ἐγώ τινα. ἐψεύσθην δὲ ὑπό τινος. L.B. 179. Ἐνυάλιος] φασὶ δέ τινες, ὅτι ἄλλος μὲν ὁ Ἄρης, καὶ ἄλλος ὁ Ἐνυάλιος. ἀκόλουθον δὲ τοῦ Ἄρεος τὸν Ἐνυάλιον λέγουσι. διὰ τοῦτο καὶ ἐνταῦθα ὁ Σοφοκλῆς διαιρεῖ Ἄρην καὶ Ἐνυάλιον, διὰ τοῦ ἢ διαζευκτικοῦ συνδέσμου. *Bar.*

183. Οὔποτε γὰρ φρενόθεν] οὐ γὰρ ἐπὶ τοσοῦτον ἀφρονεῖς, ὡς ἄνευ αἰτίας ἐθέλειν ἐμπεσεῖν τοῖς ποιμνίοις. Ἀριστερὰ] ἀριστερὰ οἱ παλαιοὶ τὰ μωρὰ ἐκάλουν, δεξιὰ δὲ, τὰ συνετά. 186. Ἥκοι γὰρ ἂν θεία νόσος] ἔοικε γὰρ εἶναι νόσος θεία ἡ ἐκ θεοῦ κατασκήψασα εἰς αὐτόν. τὴν δὲ νόσον αὐτοῦ, φήμην, Ἀργείων ὠνόμασεν. τὸ δὲ ἥκοι, ἀντὶ τοῦ ἦλθεν ἄν. 188. Ὑποβαλλόμενοι] πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες, ἢ ἰδιοποιησάμενοι. εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως, ἢ Ὀδυσσέως. 190. Τᾶς ἀσώτου] τῆς ἐξώλους καὶ σώζεσθαι μὴ δυναμένης. Σισυφιδᾶν] γράφεται Σισυφίδα. λέγεται γὰρ ἡ Ἀντίκλεια ἀποστελλομένη ἀπὸ Ἀρκαδίας ἐπὶ Ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμον, κατὰ τὴν ὁδὸν Σισύφῳ συνελθεῖν, ἐξ οὗ ἦν φύσει ὁ Ὀδυσσεύς. ὁ δὲ Σίσυφος, Κορίνθου βασιλεὺς, πανοῦργος ἀνήρ· περὶ οὗ φησιν Ὅμηρος, Ὃς κέρδιστος γένετ' ἀνδρῶν. ὅστις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτοῦ μονογράμματον ἔγραψε τὸ ὄνομα αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε. καὶ αὐτὰ τὰ κλεπτόμενα παρ'

αὐτοῦ

Causam querelæ habens sociis in armis,
Nocturnis machinis
Ultus est contumeliam.

ANTISTROPHE.

Nunquam enim *aliter* à *sana* saltem mente ad læva,
O fili Telamonis, *devius* isses,
Ita in greges irruendo.
Ingruat quidem fateor morbus divinitus: sed aver-
Jupiter & Apollo malam Argivorum famam. (tat
Si vero furtim
Falso suggerunt *hos* rumores magni reges,
Aut *ille* nequissimi Sisyphidarum generis,
Ne

αὐτοῦ τὴν μορφὴν ἤλλαξε. κλέψας οὖν καὶ Σισύφου θρέμματα, καὶ μεταβαλὼν ὁμοίως, οὐκ ἔλαθε τὸν Σίσυφον. ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων. ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν Σίσυφον, ἐξένισεν αὐτὸν, καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ, καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε Λαέρτῃ. διὸ Σισύφου ὁ Ὀδυσσεύς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 180. Μεμφ.] ἤγουν μεμφόμενός σοι, διὰ τὸ ἴσως ἐν πολέμῳ συμμαχῆσαι, καὶ μὴ τυχεῖν θυσίας εἰς ἀμοιβήν. τὸ δὲ ἐννυχίοις εἶπε, διὰ τὸ ἐν νυκτὶ γενέσθαι τὴν μανίαν αὐτῷ. 182. Ἐτίσατο] ἤγουν ἀντέδωκεν, ἢ ἔλαβεν, ἢ ἔδωκεν ἁπλῶς, ἢ ἐτιμωρήσατο, τοιαύτην λώβην, ἤγουν ὕβριν. 189. Βασιλῆς] τοῦτο Ἀττικῆς ἐστι διαλέκτου, τὸ τρέπειν τὴν ει δίφθογγον εἰς η. οἱ βασιλῆς γὰρ λέγουσι καὶ οἱ ἱππῆς. καὶ τὸ ᾔδη παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἠπίστατο, τῆς αὐτῆς ὂν διαλέκτου, σαφέστερον τοῦτο δείκνυσιν. 190. Ἢ τᾶς] τινὲς εἰς τὸ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς, τὸ ὁ ἄρθρον λαμβάνουσιν ἔξωθεν, λέγοντες, οἱ μεγάλοι βασιλεῖς, καὶ ὁ ὑπάρχων τῆς ἀσώτου Σισυφιδᾶν γενεᾶς Ὀδυσσεὺς, οὓς ὡς ἀγνοοῦντας αὐτὸς ἐάσας, οὕτω λέγει. ἐὰν δὲ ὑποβαλλόμενοι μύθους οἱ μεγάλοι βασιλεῖς κλέπτουσι καὶ ἀπατῶσι τοὺς ἀκούοντας, καὶ ὑπάρχουσιν οἱ μῦθοι τῆς ἀσώτου γενεᾶς τῶν Σισυφιδῶν, ἤγουν τοῦ πανούργου Ὀδυσσέως τοῦ ἐκ Σισύφου τὸ γένος κατάγοντος, καὶ τὰ ἑξῆς. κυρίως δὲ ἄσωτος, ὁ τὸν πατρῷον κακῶς δαπανήσας κλῆρον. λέγεται δὲ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα ἀπὸ Ἀρκαδίας εἰς Ἰθάκην ἐρχομένην πρὸς γάμον Λαέρτῃ, ὑπὸ Σισύφου κατὰ τὴν ὁδὸν ἐντυχόντος ἐφθάρθαι.

SCHOL. INED. 183. Φρενόθεν] ἤγουν οἴκοθεν. ἀπὸ οἰκείας γνώμης. L. B. *Bar.* ἐπὶ τὰ ἐναντία καὶ τὰ μεμπτὰ καὶ τὰ κατεγνωσμένα ἔβης; ὦ υἱὲ Τελαμῶνος, ἐμπίπτων τόσον καταφορικῶς ἐν ταῖς ποίμναις. *Bar.* 185. Πιτνῶν] ἀντὶ τοῦ ἐμπίπτων ταῖς ποίμναις. τουτέστιν ἐπιτιθέμενος. L. B. Τὸ γὰρ πιτνῶν ἔμφασιν ἔχει καταφορᾶς. *Bar.* 187.

Ζεὺς]

Μὴ μή μ' ἄναξ,
Ἔθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
Κακὰν φάτιν ἄρῃ.

ΕΠΩΔΟΣ.

Ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
Στηρίζῃ ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ.
Ἄταν οὐρανίαν φλέγων.
Ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
Ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
Πάντων καγχαζόντων γλώσσαις
Βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἕστακε.

ΤΕΚΜΗΣ.

Ζεὺς] καλεῖ γὰρ ἐνταῦθα ὁ χορὸς τὸν Δία, ἵνα ἐπανορθώσῃ τὸν νοῦν αὐτοῦ τοῦ Αἴαντος. ἀλληγορεῖται γὰρ ὁ Ζεὺς εἰς πολλά τινα, καὶ πρὸς τούτοις, εἰς τὸν νοῦν ψυχικῶς. Bar. Φοῖβος] καλεῖ δὲ καὶ τὸν Φοῖβον Ἀπόλλωνα, ἵνα τὸ λογιστικὸν τοῦ νοῦ Αἴαντος τὸ σκοτισθὲν ὑπὸ τῆς μανίας φωτίσῃ. ἀλληγορεῖται γὰρ ὁ Ἀπόλλων, εἰς τὸν ἥλιον. Bar.

191. Μὴ μή μ' ἄναξ] τὸ πλῆρες, μὴ μή μοι. ὁ δὲ νοῦς, εἰ καὶ πλάττουσι ταῦτα καὶ οὐκ ἀληθείᾳ συνέδρασας, μηκέτι κρυπτόμενος ἐν ταῖς ἐφάλοις κλισίαις κακὴν φάτιν ἄρῃ καὶ περιποιήσῃ, ἤτοι ἐπάρῃς, αὐξήσῃς ἀπὸ σοῦ, ἀλλὰ προελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν συνδείπνῳ, Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς Ἔνδηλος ἐν σοὶ πανταχοῦ μητρὸς πατήρ. Καὶ Αἰσχύλος ἐν ὅπλων κρίσει, Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, Τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο. Καὶ Εὐριπίδης ἐν Κύκλωπι, Χαῖρ' ὦ ξέν'. ὅστις δ' εἶ φράσον, πάτραν τε σήν. Ἰθακὸς Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ. Οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος. Φαίνεται δὲ τὸ κακόηθες αὐτοῦ καὶ διὰ τῆς γενέσεως. 194. Ἀλλ' ἄνα ἐξ ἑδράνων] ἀνάστα ἐκ τῶν θρόνων, ὅπου πολὺν χρόνον σεαυτὸν ἐνεστήριξας, τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ οἷον, ἐμπυρούμενος ὑπὸ τοῦ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν. Ὅπου μακραίωνι στηρίζῃ] ὅπου στηρίζῃ μακραίωνι σχολῇ. ὅ ἐστι πολυχρονίῳ, βραδὺν τὸν ἀγῶνα ἐμποιοῦσῃ σοι. μακραίων δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὔνοιαν. 196. Ἄταν οὐρανίαν] τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν. ἤγουν μετέωρον καὶ μεγάλην. φλέγων δὲ, ζωπυρῶν, ἀνεγείρων. 197. Ἐχθρῶν δ' ὕβρις] ἡ δὲ τῶν ἐχθρῶν ὕβρις τὸν ταῦτα ἐπὶ

ταὶ

Ne mihi, ne Rex amplius
Ita in maritimis tentoriis oculum tenens
Malam famam augeas.

EPODOS.

At surge è sedilibus, ubi longæva
Hæres defixus hac anxia mora,
Noxam cælitus immissam incendens.
Inimicorum petulantia hic liberrime
Grassatur, *ut flamma* ventosis in saltibus,
Dum omnes multo cum cachinno linguis
Acerbissima *de te* effutiunt: mihi autem dolor hæret ingens.

TECMES-

σοῦ λεγόντων, ὅτω μᾶλλον ἀσφαλές ἐστι καὶ ἀληθῶς εἰς τὸ βλασφημεῖν σε, διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς. Ἀτάρβητα] ἀντὶ τοῦ ἀταρβήτως, ἀνέδην. 198. Ἐν εὐανέμοις βάσσαις] ὥσπερ ἐν εὐανέμοις βήσσαις, τουτέστιν ἐν ἐκείνοις τοῖς τόποις ὅπου τὰ ὑπὸ σοῦ ἀνῃρημένα ποίμνια ὁρῶντες ἐπεγγελῶσιν. ἢ ἐν εὐανέμοις βήσσαις, οἷον ἐν εὐδίᾳ καιρὸν ἔχοντες διαβάλλουσι. 199. Καγχαζόντων] γελώντων. 200. Βαρυάλγητ'] βαρέα καὶ ἀλγεινά.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 195. Ἀγωνίῳ σχολᾷ] ἤγουν ἐναγωνίῳ. ἐνταῦθα γὰρ διατρίβοντες τοῖς Τρωσὶ πολεμοῦμεν. ἢ ἀγωνίῳ, τῇ ἀγωνίαν καὶ φόβον ἐμποιούσῃ σχολῇ καὶ διατριβῇ· διὰ τὸ εἰς μῆκος τοσοῦτον τετάσθαι τὸν πόλεμον, καὶ ὑποπτεύειν πᾶσιν ἡμῖν εἶναι τοῖς Ἕλλησιν ἐκ τούτου, ὡς οὐ πάλιν νοστήσομεν οἴκαδε.

SCHOL. INED. 194. Ἄνα] ἀπὸ τοῦ ἄνω προθέσεως, νοήσεις τὸ ἀνάστα ῥῆμα κατὰ ἀποκοπήν. Ἀνιστάω, ἀνιστῶ. καὶ ἡ μετοχὴ, ὁ ἀνιστάων, ὁ ἀνιστῶν, τοῦ ἀνιστάοντος τοῦ ἀνιστῶντος. καὶ ὁ παρατατικός, ἀνίστων, ἀνίστων. ἀνίστας, ἀνίστας, ἀνίστα, ἀνίστα. καὶ τὸ προστακτικὸν, ἀνάστηθι, ἀνάστα. καὶ κατὰ ἀποκοπὴν, ἄνα. ἀναβίβασμα. τοῦ τόνου. *Bar.* Μεθυπαλλαγή ἐστι τὸ σχῆμα ἐνταῦθα. τὸ μὲν στηρίζῃ ῥῆμα, ἀντὶ μετοχῆς λάμβανε, τὸ δὲ φλέγων μετοχὴν ἀντὶ ῥήματος· καὶ ἐστὶν ἡ σύνταξις οὕτως, ἀλλ' ἀνάστα ἐκ τῶν καθέδρων, ὅπου στηριζόμενος ἐπὶ πολὺ, φλέγεις ἄτην οὐρανίαν, ἐν τῇ δὲ τῇ ἀγωνίῳ σχολῇ. *Bar.* Μακραίωνι] ἤγουν μακροχρονίῳ, ἐπὶ πολὺ ἐπιτεινομένῃ. B. L. 195. Σχολᾷ] σχολῇ, ἡ ἄνεσις. ἀσχολίᾳ, ὁ περισπασμός. B. 196. Ἄταν οὐρανίαν] ἤγουν βλάβην. τουτέστιν εἰς ὕψος οὐράνιον ἀνάπτων τὴν βλάβην. B. L. ἤγουν μεγίστην καὶ μέχρι τοῦ οὐρανοῦ φθάνουσαν ἀνάπτων. *Bar.* 197. Ἐχθρῶν δ' ὕβρις] ἀντὶ τοῦ, ἡ γενομένη ὑπὸ τῶν ἐχθρῶν. *Bar.* 198. Βάσσαις] ἤγουν, ἐν τοῖς βαθέσι τόποις τῶν ὀρῶν. τουτέστι ταχέως. *Bar.*

201. Ναὸς

ΤΕΚΜΗΣΣΑ,

ΑΙΑΣ, ΧΟΡΟΣ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. ΝΑΟΣ ἀρωγοὶ τῆς Αἴαντος
Γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
Ἔχομεν στοναχὰς οἱ κηδόμενοι
Τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
Νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας, ὠμοκρατὴς
Αἴας, θολερῷ
Κεῖται χειμῶνι νοσήσας.

Χο.

201. Ναὸς ἀρωγοί] ἔξεισι Τέκμησσα, καὶ διδάσκει τὸν χορὸν ὅτι Αἴας ἐστὶν ὁ σφάξας τὰ ποίμνια. πυνθάνεται δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ ἦν τὰ σφαγέντα. ἑκάτερος οὖν παρ' ἑκατέρου τὸ ἀγνοούμενον μανθάνει. ἡ δὲ Τέκμησσα, αἰχμάλωτος γυνὴ τοῦ Αἴαντος. πιθανῶς δὲ ἔξεισιν. οὐ γὰρ ἐπὶ πολὺ δεῖ ἀπολοφύρεσθαι τὸν χορὸν, ἀλλὰ προκόπτειν τὰ τῆς ὑποθέσεως. ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ. ἐπεὶ γὰρ ἄπεστι Τεῦκρος, καὶ ὁ Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται. οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι. αἱ δὲ τοιαῦται γυναῖκες ὑπετίθεντο εὔνοιαν πρὸς τοὺς δεσπότας, ὡς Βρισηῒς πρὸς Ἀχιλλέα. 202. Γενεᾶς χθονίων] διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπούδαστον τοῖς Ἀθηναίοις αὐτὴν κτήσασθαι. πρὸς εὔνοιαν οὖν τῶν ἀκροωμένων τοῦτο φησίν. ἢ ἐπεὶ ἐξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος. ἡ δὲ Αἴγινα, τῆς Ἀττικῆς. 204. Τηλόθεν οἴκου] μακρὰν γὰρ Φρυγίας Σαλαμῖνος. ἢ, οἱ πρὸ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον. ἢ, οἱ τηλόθεν ὄντες, ὅ ἐστι ξένοι κατὰ γένος, καὶ ὅμως τοῦ Τελαμῶνος οἴκου φειδόμενοι, εἰ καὶ μὴ προσήκομεν. 205. Ὠμοκρατὴς Αἴας] ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος. ἢ, ὁ ὠμὸς καὶ κρατερός.

TECMESSA,

AJAX, CHORUS.

ANAPÆSTI.

Tec. O Socii navium Ajacis
Genere indigenis ab Atheniensibus,
Datur nobis gemituum causa, quicunq; curamus
Telamonis longinquam domum.
Nunc enim ille acer, ille ingens, fortisque humeris
Ajax, turbida
Jacet laborans tempestate.

Cho-

ρός. ἢ, ὁ ὑπὸ ὠμότητος κεκρατημένος. ἢ, ὁ γενναῖος, ὁ δὲ τῶν ὤμων κρατεῖν δυνάμενος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 202. Ἀπ' Ἐρεχθειδᾶν] Ἐρεχθεῖδαι οἱ Ἀθηναῖοι ἀπὸ τοῦ ἐκεῖ ἐκ γῆς γεννηθέντος κατὰ τὸν μῦθον Ἐρεχθέως· ὅθεν καὶ οἱ ναῦται αὐτοῦ. εἰκότως ἄρα Αἴας τούτους ἀπὸ τῶν Ἐρεχθειδῶν γενεᾶς κατάγεσθαι λέγει. 204. Τοῦ Τελαμῶνος τηλόθεν] ἢ πρὸς μόνον τὸν χορὸν νοητέον, διὰ μέσου τὸ ἔχομεν στοναχὰς λαμβάνοντας (οὗτος γὰρ πατρόθεν τῷ Αἴαντι ὑποχείριος ἦν, καὶ διὰ τοῦτο μάλιστα πάντων τούτου ἐκήδετο) ἢ συμπαραληπτέον καὶ τὴν Τέκμησσαν, ὡς αὐτὴν μετὰ τοῦ χοροῦ κηδομένην τοῦ Αἴαντος, ἅτε γαμετὴν οὖσαν αὐτῷ. οἱ δὲ λέγοντες τὸ τηλόθεν ἀντὶ τοῦ ἀπὸ Τροίας, φροντίζοντες Σαλαμῖνος, τἀληθὲς ἀγνοοῦσιν. οὐδεὶς γὰρ λόγος ἐνταῦθα τῆς Σαλαμῖνος. ἠπάτηνται δὲ ἀπὸ τοῦ λέγειν, τοῦ Τελαμῶνος οἴκου. τὸ δέ ἐστι τοιοῦτον, οἱ φροντίζοντες τῶν Αἴαντος πραγμάτων τοῦ Τελαμῶνος τηλόθεν ἔκπαλαι.

SCHOL. INED. 201. Ναὸς] ἰστέον, ὅτι ἀπὸ μιᾶς νηὸς, συνεκλέγεται καὶ τὰς ἄλλας ναῦς. *Bar.* 202. Ἐρεχθειδᾶν] Ἐρεχθεὺς, Ἐρεχθέως καὶ τὸ πατρωνυμικὸν, Ἐρεχθείδης. ἡ εὐθ. τῶν πληθ. Ἐρεχθεῖδαι. ἡ γενική, τῶν Ἐρεχθειδᾶν. *Bar.*

208. Τί

Χο. Τί δ' ἐνήλλακται τῆς ἀμερίας
Νὺξ ἥδε βάρος,
Παῖ τοῦ Φρυγίου Τελεύταντος,
Λέγ', ἐπεί σε λέχος δοριάλωτον
Στέρξας ἀνέχει θούριος Αἴας,
Ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.
Τε. Πῶς δῆτα λέγω λόγον ἄρρητον;
Θανάτῳ γὰρ ἴσον βάρος ἐκπεύσῃ.
Μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
Νύκτερος Αἴας ἀπελωβήθη.

Τοιαῦτ'

208. Τί δ' ἐνήλλακται] τί αὐτῷ περὶ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βάρος; οἷον, ἐν τίνι γέγονεν ὁ Αἴας βάρει, ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν; τί αὐτῇ βάρος ἐνήλλακται αὕτη ἡ νύξ. Τῆς ἀμερίας] γράφεται τῆς ἀνημερίας, ἀντὶ τοῦ, τῆς ἀηδοῦς φορᾶς. καὶ ἔστιν ὁ νοῦς, ποῖον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς προτέρας ἀηδίας. 211. Ἐπεί σε λέχος] ἐπεί σε ἔχει ὁ Αἴας, δοριάλωτον στέρξας τὸ λέχος σου. ἢ ἄλλως. ἐπεί σε ἀνέχει ὁ Αἴας, τὸ δοριάλωτόν σου στέρξας λέχος. 212. Ἀνέχει] ἀντὶ τοῦ ἔχει. παρέλκει γὰρ ἡ ἀνά. ἄμεινον στέρξασαν γράφειν. ἢ, ἀνέχει, ἀντὶ τοῦ ἀνυψοῖ, τιμᾷ. 214. Λόγον ἄρρητον] κακόφημον. μηδὲ λέγεσθαι ὀφείλοντα. 216. Μανίᾳ γὰρ] τὸ κεφάλαιον τοῦ κακοῦ πρῶτον ἐντίθεται, ὅτι ἐφύβριστα εἴργασται μανίας περιπεσών. 217. Ἀπελωβήθη] ἀντὶ τοῦ ἐφύβριστα εἴργασται. ἢ οὕτως, ἐνυβρίσθη καὶ λωβητὸς γέγονε.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 208. Τί δ' ἐνήλλ.] μὴ εἴπῃς τὸ ἐνήλλακται ἀντὶ τοῦ ἐνηλλαγμένως ἤνεγκεν, ὥς τινες οἴονται, συντάσσειν ἐθέλοντες πρὸς τὸ βάρος· ἀλλ' ἀντὶ τοῦ ἐνηλλάγη. ὥσπερ φαμὲν, ἠλλοιώθη ἀλλοίωσιν, καὶ μετεβλήθη μεταβολὴν, οὕτω κἀνταῦθα δέον εἰπεῖν, τίνα ἐναλλαγὴν ἥδε ἡ νὺξ ἐνήλλακται τῆς ἀμερίας καὶ τῆς ἡμερινῆς καταστάσεως. ὁ δὲ ἀντὶ τοῦ εἰπεῖν ἐναλλαγὴν, βάρος εἶπε, δηλοῦς τὸ τῆς ἐναλλαγῆς δυσχερές. ὥσπερ γὰρ βαρὺ φορτίον οὐ δυνάμεθα φέρειν, οὕτω καὶ τὴν ἀπροσδόκητον μεταβολήν. εἰ μὲν οὖν συνάψεις πρὸς τὸ ἀμερίας τὸ ἐνήλλακται, τὸ ἀμερίας ἀντὶ τοῦ πρὸ αὐτῆς ἡμερινῆς καταστάσεως νοήσεις. εἰ δὲ τὸ βάρος πρὸς τὸ ἀμερίας ἐρεῖς, τὸ ἀμερίας ἀντὶ τοῦ τῆς νῦν ἡμερινῆς καταστάσεως νοήσεις. τοῦτο δὲ εἴποις ἂν διὰ τὸ ἅμα πρωῒ τὴν περὶ τοῦ Αἴαντος κακὴν φήμην τούτους ἀκοῦσαι, κἀντεῦ-

θεν

Cho. Quam pro hesterno *statu*
Nox hæc adduxit gravis *infortunii* vicem,
Dic filia Phrygii Teleutantis;
Quoniam te conjugem bello-captam
Amans retinet strenuus Ajax:
Quapropter *hæc* neutiquam *ut* ignara dixeris.

Tec. Qui tandem dicere *sustineam* infandum sermonem?
Morte enim non minus grave malum audies.
Furore enim captus nobis inclytus
Hac nocte Ajax rem fœdam perpetravit.

Hasce

θὲν βάρος λύπης δεδέχθαι. ὥστε ἡ κατὰ τὴν νύκτα συμβᾶσα ἐναλλαγὴ, τῆς μετ' ἐκείνην ἡμέρας ἦν. 213. Ἄϊδρις] τὸ ὑπείποις ἀντὶ τοῦ προείποις. εἰς ταύτην γὰρ τὴν σημασίαν τῷ ὑπείποις χρῶνται ἅπαντες. ἡ γὰρ ὑπὸ ἀντὶ τοῦ πρὸ, ὡς ἔχει καὶ τὸ ὑποτίμησις. 216. Ἡμῶν ὁ κλεινὸς] τὸ ἡμῶν οὐ παντελῶς ἀργὸν, ἀλλ' ἔχει καί τινα χρείαν, εἴπερ συνάψῃς εἰς τὸ ὁ Αἴας ἡμῶν. φίλτρον γὰρ ἐμφαίνει καὶ σχέσιν τὸ ἐμοὶ καὶ ἡμῶν, ἔνθα ἂν εὕρητε οὕτωσὶ κείμενον. ὃ δὴ καὶ εὑρήσεις ἔν τε ποιηταῖς καὶ λογοποιοῖς πολλαχοῦ, ἀκριβῶς σκοπῶν. τὸ δὲ νύκτερος, ἢ πρὸς τὸ ἀπελωβήθη σύνταττε, ἢ πρὸς τὸ ἀλεύς.

SCHOL. INED. 208. Τί δὲ] ἆρα ἐνήλλακται ἥδε ἡ νὺξ, τῆς χθεσινῆς ἡμερίας κατὰ τὸ βάρος, λέγε. ἤγουν κατὰ τὴν χθὲς ἡμέραν, βαρέως διέκειτο ὁ Αἴας μαινόμενος, ὅθεν καὶ τὸ βάρος τῆς μανίας τοῦ Αἴαντος, τῆς ἡμέρας ἐπιτίθεμεν. διὸ καί φαμεν, ἆρα ἐνήλλακται ἡ παροῦσα νὺξ, τῆς χθεσινῆς ἡμέρας κατὰ τὸ βάρος. *Bar.* 209. Νὺξ ἥδε βάρος] ἤγουν, κατὰ τί βάρος ἐνήλλακται ἡ νὺξ, ἥδε ἡμέρας. L. B. 211. Δοριάλωτον] δοριάλωτος, ὁ δορὶ ἁλωτός. B. 212. Θούριος] ὁ ὁρμητικός. Θούριον δὲ οὐδετέρως, πόλις, ἡ καὶ Σύβαρις. L. B. 213. Οὐκ ἂν ἄϊδρις] ἤγουν, ὥστε οὐκ ἂν λαλήσεις ὡς ἀπαθὴς καὶ ἄγνωστος. *Bar.* 214. Λόγον ἄρρητον] τὸ μὴ δυνατὸν ῥηθῆναι εὐκόλως· καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. L.B. *Bar.* 217. Νύκτερος] ἀντὶ τοῦ, νύκτωρ. ὅμοιον τῷ, ἥσυχοι θάσσουσιν, ἀντὶ τοῦ ἡσύχως. L. B. Τὸ νυκτερινὸς ἐνταῦθα λαμβάνεται ἐπιρρηματικῶς, ἀντὶ τοῦ, κατὰ τὸν καιρὸν τῆς νυκτός. *Bar.* Ἀπελωβήθη] Κανόνισον, λωβάω, λωβῶ. ὁ μέλλων, λωβήσω. ὁ παρατατικὸς, λελώβηκα· ὁ παθητικὸς, λελώβημαι. ὁ ἀόριστος, ἐλωβήθην, ἐλωβήθης, ἐλωβήθη. καὶ μετὰ τῆς ἀπὸ προθέσεως κατὰ συγκοπὴν, ἀπελωβήθη. *Bar.*

219. Χείρο-

Τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
Χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
Κείνου χρηστήρια τἀνδρός.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

Χο. Οἵαν ἐδήλωσας ἀνδρὸς
Αἴθονος ἀγγελίαν
Ἄτλατον, οὐδὲ φευκτὰν,
Τῶν μεγάλων Δαναῶν
Ὑποκληζομέναν,
Τὰν ὁ μέγας μῦθος ἀέξει.
Ὤμοι, φοβοῦμαι τὸ προσέρπον.
Περίφαντος ἀνὴρ
Θανεῖται παραπλήκτῳ
Χερὶ, συγκατακτὰς
Κελαινοῖς ξίφεσιν βοτὰ,
Καὶ βοτῆρας ἱππονώμους.

ΑΝΑ-

219. Χειροδάϊκτα] ὑπὸ τῶν χειρῶν αὐτοῦ δαϊχθέντα. 220. Κείνου χρηστήρια] ἃ διεχρήσατο ἐκεῖνος. τὰ τολμήματα καὶ πράξεις. ἢ τὰ διεφθαρμένα ποίμνια, παρὰ τὸ διαχρήσασθαι αὐτά. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον, καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον. 222. Αἴθωνος] διαπύρου, θερμοῦ ἐν ταῖς μάχαις. ἢ τὸ θερμὸν νῦν ἐπὶ τοῦ παρακεκινηκότος κεῖσθαι. 225. Ὑποκληζομέναν] φημιζομένην ὑπὸ τῶν Ἑλλήνων, οὐ θεόθεν. 226. Τὰν ὁ μέγας μῦθος] ἣν ἀγγελίαν πᾶς λόγος αὔξει. πρώην μὲν γὰρ μόνοι οἱ Ἕλληνες ἔλεγον ταῦτα περὶ Αἴαντος, ἡμεῖς δὲ ἠπιστοῦμεν· νῦν δὲ καὶ ἡμεῖς ἔγνωμεν. 227. Ὤμοι, φοβοῦμαι] τὸ ἐκ τούτου φησὶν ἀποβησόμενον. εἰκὸς γὰρ τὸν νοῦ ἐξεστηκότα μηδὲ ἑαυτοῦ ἀνασχέσθαι. οὐ γὰρ (φησὶ) φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων. 228. Περίφαντος] φανερός ἐστιν ὅτι τοῦτο ἑαυτὸν διαθήσει. 229. Παραπλήκτῳ] τῇ μανικῇ. παραπλὴξ

γὰρ

Hasce videas modo intra tentorium
Manu cæsas pecudes cruentas,
Hujus viri facinora.

ANTISTROPHICA. STROPHE.

Cho. Qualem affers de viro
Acri ad pugnas famam
Intolerandam, nec *tamen* evitabilem,
A primoribus Danaum
Diffamatam,
Quam ingens *vulgi* vox *porro* augebit.
Hei mihi, metuo impendens *malum*.
Certum est virum
Furiosa moriturum
Manu, qui jugulavit
Cruentis gladiis pecudes,
Unaque pastores armentarios.

ANA-

γὰρ ὁ μανικός. 232. Βοτῆρας ἱππονόμους] τοὺς μεγάλους φυλάττοντας τοὺς ποιμένας. οὗτοι γὰρ ἐνόμιζον καὶ ποιμένας αὐτῶν ἀνῃρηκέναι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 223. Ἄτλατον] ἤγουν οὐ φορητὸν, ἀλλ' ἀνυπομόνητον τοῖς ἀκούουσι, καὶ μάλιστα τοῖς φίλοις. ἣν οὐ δύναταί τις φυγεῖν, καὶ μὴ καταπλαγῆναι τῷ ἀκούσματι. 232. Βοτῆρας] τοὺς τὴν ποίμνην φυλάσσοντας λέγει κύνας, ὡς καὶ προϊὼν ἐρεῖ. τὸ δὲ βοτῆρας καὶ ἱππονόμους, ἐκ παραλλήλου. καταχρηστικῶς δὲ τὸ ἱππονόμους εἶπεν. ἱππονόμος γὰρ, ὁ τῶν ἵππων νομεύς. ἢ ἱππονόμους τοὺς μεγάλους νομεῖς καὶ φύλακας τῶν ποιμνίων. ἵππος γὰρ τὸ μέγα παρ' Ἀττικοῖς, ὥσπερ καὶ τὸ βοῦς. καὶ τοῦ μὲν ἑνὸς παράδειγμα τὸ βούπαις· τοῦ δὲ ἑτέρου, τὸ ἱππόβινος καὶ ἱπποβουκολος.

SCHOL. INED. 219. Χειροδάϊκτα] ἤγουν, ἀπὸ χειρὸς διαμεμερισμένα σφάγια. *Bar.* Αἱμοβαφῆ] ἀπὸ αἵματος βεβαμμένα. *Bar.* 221. Οἵαν ἐδήλωσας] οὐ τὸ οἵαν δηλοῖ κακὴν, ἀλλ' ὁ λόγος ἐμφαίνει τοῦτο. L. B. 222. Ἀγγελίαν] ἀγγελία τινὸς λέγεται, ἣν ἂν ἀγγείλῃ τὶς ὑπ' ἐκείνου πεμφθεὶς, καὶ ἣν εἴπῃ τὶς περὶ ἐκείνου οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς. L. B. Μεγάλην ἀγγελίαν ἐκείνου τοῦ ἀνδρὸς τοῦ Αἴαντος ἐδήλωσας ἡμῖν. λέγω ἀγγελίαν ἄτλητον οὐδὲ φευκτήν. ἣν ὁ μέγας μῦθος τῶν μεγάλων Δαναῶν αὔξάνει φημιζομένην. 223. Ἄτλατον] ἤγουν, ἀνυπομόνητον, ἀφόρητον. *Bar.* 227. Ὤμοι, φοβοῦμαι τὸ προσέρπον.] οἴμοι, φοβοῦμαι

τὸ

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ὤμοι. ἐκεῖθεν ἐκεῖθεν ἄρ᾽ ἡμῖν
Δεσμώτιν ἄγων ἤλυθε ποίμναν·
Ὧν τὰ μὲν εἴσω σφάζ᾽ ἐπὶ γαίας,
Τὰ δὲ, πλευροκοπῶν, δίχ᾽ ἀνερρήγνυ.
Δύο δ᾽ ἀργίποδας κριοὺς ἀνελὼν,
Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
Ῥιπτεῖ θερίσας, τὸν δ᾽ ὀρθὸν ἄνω
Κίονι δήσας,
Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν,
Παίει λιγυρᾷ μάστιγι διπλῇ·

Κακὰ

τὸ ἑπόμενον· ὅτι ὁ περιφανὴς ἀνὴρ ὁ Αἴας, κατακτὰς καὶ φονεύσας σὺν κελαινοῖς ξίφεσι τὰ βοτὰ, καὶ τοὺς βοτῆρας, καὶ τοὺς ἱππονόμους, θανεῖται καὶ αὐτὸς δηλονότι ὕστερον παραπλήκτῳ χειρὶ, ἤγουν διὰ τῆς αὐτοῦ ἰδίας χειρὸς τῆς μανικῆς. *Bar.* 228 Περίφαντος ἀνὴρ θανεῖται] ὁ περιφανὴς καὶ γνώριμος, καὶ περίφημος ἀνὴρ, φονευθήσεται. 229. Παραπλήκτῳ] ἤγουν μανικῇ. ἔμπληκτος, καὶ ἀπόπληκτος, καὶ παραπλὴξ ταὐτόν. L. B.

233. Ὤμοι. ἐκεῖθεν] ὡς οἰκουροῦσα τὰ ἔξω ἡ Τέκμησσα ἠγνόει· δεῖ οὖν τὸν χορὸν τὰ μὲν ἔνδον ἀπ᾽ αὐτῆς γνῶναι, τὴν δὲ, ἀπὸ τοῦ χοροῦ τὰ ἔξω. 235. Τὰ μὲν] τὴν ποίμνην. 236. Πλευροκοπῶν] κατὰ τῶν πλευρῶν τύπτων. 237. Δύο δ᾽ ἀργίποδας] ἀντὶ τοῦ λευκόποδας. ἴσως τὸν μὲν ἕνα, ἐνόμιζεν Ὀδυσσέα, τὸν δὲ ἄλλον, Νέστορα, ἢ Μενέλαον. 238. Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν] ἴσως τοῦτον ἐνόμιζε Νέστορα, ὡς ψευδομαρτυρήσαντα κατ᾽ αὐτοῦ. 241. Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν, παίει] διπλώσας τὸν χαλινὸν, παίει τὸν κριὸν, ὡς λιγυρᾷ καὶ ὀξυφώνῳ μάστιγι· ἱπποδέτην δὲ ῥυτῆρα, χαλινὸν μέγαν. μέγαν δὲ, πρὸς τὸ πικρότερον καθάψασθαι τοῦ ἐχθροῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 235. Ὧν τὰ μὲν] εἰ πρὸς τὸ ποίμνην ἑνικὸν ὂν, τὰ μὲν καὶ τὰ δὲ ἀποδίδωσι, δέον ποιμνῶν εἰπεῖν· ὥσπερ γὰρ φαμὲν, αἰτίαν ἐπάγει ὁ δεῖνα, τῷ δεῖνι, τὴν μὲν ὡς προδότῃ, τὴν δὲ ὡς συκοφαντοῦντι (καὶ ἕτερα μυρία ἔχεις εὑρεῖν τοιαῦτα πανταχοῦ, ζητῶν) οὕτω καὶ ἐνταῦθα, μαρτυρεῖ δὲ καί τις τῶν λογοποιῶν οὕτω λέγων, Καὶ ζημίας,

ANAPÆSTI.

Tec. Hei mihi! inde inde igitur nobis
Captivum agens venit gregem:
Ex quibus alias quidem intus humi *ſtratas* mactavit,
Alias vero coſtis conciſis dirupit.
Duos autem arietes albis-pedibus arripiens,
Hujus quidem caput & linguam extremam
Abjicit *prius* amputatam; illum vero rectum ſurſum
Ad columnam alligatum,
Sumpto grandi loro equeſtri,
Cædit ſonoro duplici flagro:

Verba

μίας, τῆς μὲν ἀπὸ τοῦ τὴν χεῖρα ἀργεῖν, τῆς δὲ ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ καχεξίας. ἄλλως τε εἰ καὶ ποίμνην εἶπεν, ἀλλ' ἐν τῇ διαιρέσει τὸ ὧν προσέταξε, δεικνὺς τὸ ποίμνην πλῆθος δηλοῦν, καὶ ὥσπερ γένος ὂν τῶν ὕστερον. Φησὶ δέ που καὶ Λιβάνιος, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι, τὸν δὲ προσλήψομαι. οἱ οὖν γράφοντες, ὧν τὴν μὲν, καὶ τὰς δὲ πλευροκοπῶν, ἀγνοοῦσι τὰ μέτρα.

SCHOL. INED. 233. Ὤμοι, ἐκεῖθεν] ἐγγὺς ἀπ' ἐκεῖσε, ἐκ τῆς νομῆς ἀληθῶς, ἦλθεν ἄγων ἡμῶν δεσμίας ποίμνια. *Bar.* 234. Ἄγων ἤλυθε ποίμνην] ὅρα ὅπως μὴ θαυμάσῃς, εἰ πρὸς τὸ ποίμνην θηλυκὸν ὄν, τὰ μὲν, καὶ τὰ δὲ ἀποδίδωσιν· ὥσπερ γὰρ λέγομεν αἰτίαν ἐπάγει ὁ δεῖνα, τῷ δεῖνι, τὰ μὲν ὡς προδότῃ, τὰ δὲ ὡς συκοφάντῃ, κατὰ τὸν αὐτὸν τρόπον γίνεται καὶ ἐνταῦθα. καὶ ἕτερα μύρια τοιαῦτα εὑρήσεις πανταχοῦ. μαρτυρεῖ δὲ καὶ τὶς τῶν λογοποιῶν λέγων οὕτω, Καὶ ζημίας, τὴν μὲν, ἀπὸ τοῦ ἀργεῖν τὴν χεῖρα, τὴν δὲ, ὡς ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ καχεξίας. ἄλλως τε καὶ ποίμνην εἶπεν, ὅ ἐστιν εἶδος περιληπτικόν. καὶ πάλιν ἐν τῇ διαιρέσει, τὸ ὧν, προέταξε. δεικνὺς ὅτι ἡ ποίμνη πλῆθος δηλοῖ ὥσπερ γένος τῶν ὕστερον. λέγει δὲ καὶ ὁ Λιβάνιός που, κατὰ τὸ σχῆμα τοῦτο, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι, τὸν δὲ προσλήψομαι. *Bar.* 236. Δίχ'] δίχα ἀντὶ τοῦ χωρὶς, καὶ ἀντὶ τοῦ εἰς δύο μοίρας. L. B. 238. Γλῶσσαν ἄκραν] ἀντὶ τοῦ τὸ ἄκρον τῆς γλώσσης, ὅμοιον τῷ μέσος κατέχῃ, ἀντὶ τοῦ κατὰ μέσον. L. B. 239. Ῥιπτεῖ] ἀντὶ τοῦ, μετὰ σφοδρότητος ἔρριψε. ῥίπτειν γὰρ, τὸ ἁπλῶς ῥιπτεῖν. ῥιπτεῖν δὲ, τὸ μετὰ σφοδρότητος. L. B. 241. Ῥυτῆρα] ῥυτῆρες κυρίως, οἱ λῶροι τοῦ χαλινοῦ, οὓς κατέχουσι ταῖς χερσὶν οἱ ἱππεύοντες. L. B.

243. Κακὰ

Κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων,
Κοὐδεὶς ἀνδρῶν, ἐδίδαξεν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. Ὥρα τιν' ἤδη κάρα κα-
λύμμασι κρυψάμενον,
Ποδοῖν κλοπὰν ἀρέσθαι,
Ἢ θοὸν εἰρεσίας
Ζυγὸν ἑζόμενον,
Ποντοπόρῳ ναῒ μεθεῖναι.
Τοίας ἐρέσσουσιν ἀπειλὰς
Δικρατεῖς Ἀτρεῖδαι
Καθ' ἡμῶν· πεφόβημαι

Λιθό-

243. Κακὰ δεννάζων] ἀντὶ τοῦ, βλασφημῶν. περιστέλλει δὲ καλῶς τὸν λόγον, φάσκουσα τὰ ῥήματα μὴ εἶναι τοῦ Αἴαντος, ἀλλὰ θεῶν τινος ὑποβολῇ. δαίμονα δέ φησι τὴν μανίαν. δεννάζων δὲ, ἀπὸ τοῦ δηνὸν, δηνάζω καὶ δεννάζω, ὡς φαεινὸς, φαεννός. 245. Ὥρα τιν'] ὥρα τινὰ ἡμῶν (ἀντὶ τοῦ ἕκαστον ἡμῶν) προελκυσάμενον τὴν ἐσθῆτα, τοῖς καλύμμασι τὴν κεφαλὴν κρυψάμενον. ὁρῶν δὲ ὁ χορὸς, ὅτι ἐν μεγίστῳ κακῷ ἐστιν Αἴας, τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ, κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτῷ, πότερον ἐγκαλυψαμένους φεύγειν ὁποιπετοῦν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν. καὶ ἔστι μὲν μικρὸν, τὸ ἐάσαντας τὸν προστάτην ἀπαλλαγῆναι. ἀλλὰ σημαίνουσι διὰ τούτων ἔστιν ὅτι τὰ ἐν ποσὶ δεινά. εἰώθασι γὰρ οἱ ἀπορῶντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι. 250. Μεθεῖναι] μετιέναι, φεύγειν. ἕκαστον ἡμῶν (φησὶ) δεῖ μεθεῖναι, τουτέστι ῥίψαι ἑαυτὸν ἐν νηΐ, καὶ φυγεῖν. 251. Τοίας] ἀντὶ τοῦ μεγάλας. Ἐρέσσουσιν] εὐτόνως κινοῦσιν. ἀπὸ ἐρεσσόντων· ἀντὶ τοῦ ἐλαύνουσι, κινοῦσι. 252. Δικρατεῖς] οἱ δισσοί. 253. Πεφόβημαι] εὐλαβοῦμαι τὸ λευσθῆναι, καὶ ἄλλως μετ' αὐτοῦ, ὃν δὴ μοῖρά τις κακὴ κατέχει· λέγει δὲ τὴν μανίαν. φησὶν οὖν ἡ Τέκμησσα πεπαῦσθαι, ἀντὶ τοῦ συμπαθεῖν αὐτῷ τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως.

ΣΧΟΛ.

Verba infrendens mala, quæ genius *tantum malus*,
Nemoque mortalium, docuit.

ANTISTROPHE.

Cho. Tempus *est igitur* jam ut quisque capite
Velis involuto,
Clam pedibus fugam arripiat,
Vel celeri *potius*, unde remigatur,
Transtro conscenso,
Pontivagæ navi *habenas* immittat.
Tales torquent minas
Gemini Atridæ, qui rerum potiuntur,
In nos: *nunc* metuo

Martem

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 243. Κακὰ δεινάζων] τὸ δεινάζω ἀπὸ τοῦ δεινὸν γέγονε, τροπῇ τοῦ ι εἰς ν. δεῖνος γὰρ ἡ λοιδορία. 245. Κάρα] οἱ γράφοντες κρᾶτα, οὐ καλῶς γράφουσιν. ἔχει γὰρ τὸ μὲν κρᾶτα τὸ κρα μακρόν· τὸ δὲ κάρα, τὸ κα βραχὺ, τὸ δὲ ρα μακρόν. 249. Ζυγὸν ἑζόμενον] μὴ λάβῃς εἰς τὸ ζυγὸν ἔξωθεν τὸ εἰς. ἀλλ' οὕτω λέγε, ἑζόμενον ζυγόν. καθῆσθαι γὰρ καθέδραν φαμέν. 251 Ἐρέσσουσιν] ἤγουν κινοῦσιν. εἰκότως δὲ εἶπε τὴν λέξιν ὡς ναῦται.

SCHOL. INED. 243. Δεινάζων] μετὰ δεινοπαθείας λέγων. ἀπὸ τοῦ δεινὸν, δεινάζω καὶ δεννάζω, ὡς φαεινὸς φαεννός. *Bar*. L. B. 245. Ὥρα] ὥρα τινὰ ἤδη τοι κρᾶτα κρυψάμενον, κλοπὴν ποδοῖν ἀρέσθαι· ἤγουν καιρός ἐστιν ἤδη τινὰ, τουτέστιν ἕκαστον ἡμῶν, κρυψάμενον καλύμμασι τὴν κεφαλὴν, ἀρέσθαι κλοπὴν διὰ τῶν ποδῶν. ἤγουν καιρός ἐστιν ἤδη φυγεῖν ἡμᾶς διὰ ξηρᾶς· ἢ ἑζόμενον ἕκαστον ἡμῶν, κατὰ τὸν ταχὺν ζυγὸν τῆς κωπηλασίας, μεθεῖναι διὰ νηὸς ποντοπόρου· ἤγουν, ἢ μεθεῖναι καὶ ἀπολῦσαι ἐμὲ αὐτὸν καθεζόμενον κατὰ τὸν αἴτιον τῆς ταχύτητος ζυγὸν τῆς κωπηλασίας, διὰ νηὸς ποντοπόρου. μεγάλας ἀπειλὰς κωπηλατεύουσιν, ἤγουν κινοῦσι, καθ' ἡμῶν οἱ δύο βασιλεῖς. φοβοῦμαι τὸν λιθοβολίσιμον θάνατον, ταχθεὶς συλλυπεῖσθαι μετὰ τοῦδε Αἴαντος. ὅν τινα κρατεῖ μοῖρα ἀμέτρητος. ἢ μεθεῖναι καὶ ἀπολῦσαι ἐμὲ αὐτὸν διὰ νηὸς ποντοπόρου, καθεζόμενον κατὰ τὸν ταχὺν ζυγὸν τῆς κωπηλασίας. *Bar*. 249. Ζυγὸν] ζυγὸν, ἔνθα καθήμενοι κωπηλατοῦσιν. L. B. 252. Δικρατεῖς Ἀτρεῖδαι] οἱ δύο ἄρχοντες οἱ Ἀτρεῖδαι. L. B.

254. Λιθό-

Λιθόλευστον Ἄρην,
Ξυναλγεῖν μετὰ τοῦδε τυ-
πείς, ὃν αἶσ' ἄπλατος ἔχει.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
Ἄϊξας ὀξὺς νότος ὥς, λήγει.
Καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
" Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
" Μηδενὸς ἄλλου παραπράξαντος,
" Μεγάλας ὀδύνας ὑποτείνει.

ΙΑΜΒΟΙ.

Χο. Ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

Τε-

254 Λιθόλευστον Ἄρην] τὸν θάνατον. καὶ Ὅμηρος, Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι. 256. Αἶσ' ἄπλατος] ἀντὶ τοῦ μεγάλη. οὐκέτι κατέχει αὐτὸν ἡ μανία. ἀλλὰ λήγει, ὡς ὀξὺς νότος, ταχέως λήγει, ὡς γενομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν, ὥς τε παρατείνειν αὐτά, ἢ ταχέως πεπαῦσθαι. οἷόν ἐστι καὶ ἐν τῇ κωμῳδίᾳ, Ἀλλ' ἴστε ταχέως· δειλινὸς γὰρ ἤρξατο. 259. Καὶ νῦν φρόνιμος] ἔμφρων γενόμενος, ἤρξατο συμπαρακολουθεῖν τῇ συμφορᾷ, καὶ ἀλγεῖν. 261. Μηδενὸς ἄλλου] οἷον, μηδενὸς συμπράξαντος, καὶ μετασχόντος τῶν ἁμαρτημάτων. ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τινὰ παραμυθίαν. περισσὴ δὲ ἡ παρὰ πρόθεσις. 264. Φρούδου γὰρ] δηλονότι ὄντος. Μείων λόγος] ἀντὶ τοῦ οὐδεὶς λόγος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 256. Ἄπλατος ἔχει] ἀπέλατος, καὶ κατὰ συγκοπὴν ἄπλατος, ἢ ἀπλησίαστος, τοῦτ' ἔστιν ἡ κακὴ ἡ μὴ παρέχουσα πλησιάζειν αὐτῇ τινα. τοῖς γὰρ μαινομένοις οὐδεὶς πλησιάζει, ἵνα μή τι κακὸν ὑπ' αὐτῶν πάθῃ. 257. Ἄτερ στεροπᾶς] φασὶ δὲ οἱ περὶ ταῦτα δεινοὶ ὡς εἰ μὴ τύχοι οὖσα ἀστραπή, ἡνίκα ὁ νότος ἐξ-

ξεται

Martem lapidatorem,
Ne cum illo simul patiar ictus,
Quem Parcæ vis inimica urget.

ANAPÆSTI.

Tec. Non amplius *urget*: namque *desiit*, corusco sine fulgure
Velut vehemens notus coortus desinit.
Et nunc sanus novo dolore angitur.
" Quippe contemplari propria mala,
" Cum nemo alius perperam commissi sit particeps,
" Graves subdit dolores.

IAMBI.

Cho. At si quievit *furor*, omnino felix videor:
Minor enim sublati jam mali cura est.

Tec.

ξηται πνεῖν, ταχέως παύεται. ¶ Σχῆμα. Τρικλ. 260. Τὸ γὰρ ἐσλεύσσειν] γνωμικόν.

SCHOL. INED. 256. Αἴσ' ἄπλαστος ἴσχει] οὐκέτι ἴσχει αὐτὸν τὸν Αἴαντα ἔτι ἄπλετος μοῖρα. διότι ἀΐξας ὥσπερ νότος ὀξὺς, χωρὶς λαμπρᾶς ἀστεροπῆς, ἔπαυσε. ἤγουν, ὥσπερ νότος ὀξὺς μετὰ πολλῆς ἀχλύος καὶ σκοτεινότητος ἀΐξας ὁ Αἴας, τουτέστιν ὁρμητικῶς χωρὶς τῆς λαμπρᾶς φρονήσεως ὁρμήσας ὁ Αἴας, ἔπαυσε νῦν, καὶ ἔχει τώρα νέον ἄλγος φρόνιμον. ἤγουν λυπεῖται μετὰ αἰσθήσεως καὶ φρονήσεως νῦν. τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει. ἤγουν ἡ ἀπόβλεψις καὶ ἡ στόχασις εἰς πάθη οἰκεῖα, μεγάλας ὀδύνας ὑποβάλλει μηδενὸς ἄλλου συμπράττοντος. ἡ κοινωνία γὰρ τῶν παθῶν φέρει μεγάλην παρηγορίαν καὶ παραμυθίαν. *Bar.* 262. Ὑποτείνει] ἐξέτεινεν, ἀντὶ τοῦ ἐξήπλωσεν. ὑπέτεινεν ἀντὶ τοῦ κάτωθεν εἰς ὕψος ἔτεινεν. διατείνεσθαι δὲ τὸ διϊσχυρίζεσθαι. L. B. 263. Εἰ πέπαυται] εἰ πέπαυται ὁ Αἴας τῆς μανίας, τουτέστιν, εἰ πέπαυται ἡ μανία τοῦ Αἴαντος, λίαν δοκῶ εὐτυχεῖν. διότι φροῦδον τοῦ κακοῦ ἤδη γενομένου, ὀλίγη καὶ οὐδεμία ἡ φροντὶς περὶ ἐκείνου. *Bar.* 264. Μείων λόγος] ἐλάττων, καὶ οὐδεὶς, ἤγουν οὐδεμία φροντίς. L. B.

Τε. Πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
Ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
Χο. Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
Τε. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες, ἀτώμεσθα νῦν.
Χο. Πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
Τε. Ἀνὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
Αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
Ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
Νῦν δ' ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
Κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
Ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος·

Ἀρ'

265. Πότερα δ' ἄν, εἰ νέμοι] εἰ δοίη τις αἵρεσιν, πότερον ἂν προκρίνειας, λυπῶν τοὺς φίλους αὐτὸς ἥδεσθαι, ἢ λυπᾶν τοὺς φίλους, καὶ αὐτὸς λυπεῖσθαι. ἄριστα δὲ ἔχουσιν αἱ ἀντιθέσεις, τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγονέναι, εἰ πέπαυται τὸ κακόν. τῆς δὲ, βουλομένης παραστῆσαι, ὅτι ἐν χείροσί ἐστι τὰ τοῦ Αἴαντος νῦν, ὁπότε καὶ παρακολουθεῖ τοῖς ἁμαρτήμασιν. εἰπόντος δὲ τοῦ χοροῦ ἐν εὐτυχίᾳ εἶναι, εἰ πέπαυται ὁ Αἴας τοῦ κακοῦ, ἐπάγει ἡ Τέκμησσα ὅτι κακόν ἐστι τῷ οὕτως πράξαντι, καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν παρακολουθῶν γὰρ τοῖς πεπραγμένοις, ἐν ὀδύνῃ πλείονι γίνεται. καὶ Εὐριπίδης, Τὸ γὰρ ὀρθοῦσθαι γνώμην, ὀδυνᾷ. πρὸς δὲ τὸ ὑπ' ἐκείνων εἰρημένον, ὅτι ἐν εὐτυχίᾳ ἂν εἴημεν εἰ πέπαυται, ἀντιτίθησιν οὕτως, πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους, αὐτὸς ἐν ἡδονῇ διάγειν· ἢ κοινωνεῖν τοῦ παντὸς, καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν; οἷον, ὁ μὲν Αἴας ἐν τῇ μανίᾳ ὢν, ἐτέρπετο, οἰόμενος τιμωρεῖσθαι τοὺς ἐχθροὺς, ἐγὼ δὲ ἐλυπούμην ὁρῶσα αὐτόν. νῦν δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις, λυπεῖ δὲ πάλιν καὶ τοὺς φίλους. νυνὶ οὖν διδιπλασίασται τὸ κακόν. τοῦτο δὲ ἀνεπλήρωσεν ὁ χορὸς διὰ τῶν ἐπιφερομένων, Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακὸν, οἷον τὸ ἀμφοτέρους λυπεῖσθαι. 266. Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν] ὥσπερ ὁ Αἴας ἐν μανίᾳ ὢν, λυπῶν ἡμᾶς, αὐτὸς ἥδετο. 269. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες] ἡμεῖς, ἀντὶ τοῦ ὁ Αἴας νῦν μὴ νοσῶν, ὀδυνᾷ ἑαυτὸν διὰ τὰ πεπραγμένα.

Tec. Utrum vero, si quis optionem det, eligeres,
Amicos contristans ut ipse lætus agas,
An pariter in communibus versans malis doleas?
Cho. Geminum nimirum malum, O mulier, gravius est.
Tec. Nos igitur morbo liberi *tamen* nunc affligimur.
Cho. Quid hoc dicti est? non novi quomodo dicis.
Tec. Vir ille quamdiu fuit in morbo,
Ipse quidem lætabatur, quibus tenebatur malis,
Nos vero sanos sua præsentia tristes reddebat:
Nunc autem ut desiit *furere*, ac respiravit a morbo,
Et ille mærore totus agitatur gravi,
Nosq; pariter nihilo minus quam antea, *angimur*.

An

m. 273. Ἡμᾶς δὲ τοὺς φρονοῦντας] γράφεται βλέποντας. 276. Ἡμεῖς θ' ὁμοίως] ἐμοὶ (φησὶ) κατ' ἄμφω τοὺς καιροὺς συμβέβηκεν ἀνιᾶσθαι, αὐτοῦ μὲν τότε ἐξεστηκότος καὶ τερπομένου, νῦν δὲ σωφρονοῦντος καὶ τυπτομένου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 269. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες] τοῦτο ἡ Τέκμησσα λέγει διὰ τὸν Αἴαντα. δέον δὲ εἰπεῖν, ὁ Αἴας οὐ νοσῶν βλάπτεται, ἡμεῖς εἶπε, διὰ ταῦτα ὅτι εἰώθαμεν, ὁπηνίκα περί τινος τῶν γνωρίμων διηγούμεθα ἀκόντες, ἐκ τοῦ οἰκείου προσώπου τοὺς λόγους ποιεῖσθαι, καὶ εἰς ἑαυτοὺς τὸ ἐκείνου πρόσωπον ἀναδέχεσθαι. καὶ ὅτι αὕτη ἡ Τέκμησσα τοῦ Αἴαντος ἦν, καὶ τὸ ἐκείνου κακὸν, οἰκεῖον ἐνόμιζεν. ὅθεν σκοτεινῶς εἰρῆσθαι δοκοῦν, ἐξεπίτηδες ἀπορούντα τὸν χορὸν ὁ ποιητὴς δείκνυσιν, ἵνα δῆλον διὰ τῶν ἑξῆς γένηται. 275. Λύπῃ πᾶς] τὸ πᾶς εἶπεν, ἵνα δείξῃ ὡς ὅλος τῆς λύπης γέγονε. τὸ δὲ ἐξ ἁπλῶν, ἀντὶ τοῦ μονοειδῶν φησί. πρότερον γὰρ ἐλυπούμεθα ἡμεῖς μόνοι, νῦν δὲ καὶ ὁ Αἴας μεθ' ἡμῶν.

SCHOL. INED. 265. Εἰ νέμοι τις] ἆρα ἂν εἰ νέμοι σοί τις πρόκρισιν, προτιμήσειας ἂν σὺ αὐτὸς λυπῶν τοὺς φίλους σου ἔχειν ἡδονὰς, ἢ συνυπάρχων κοινὸς ἐν κοιναῖς φίλοις προτιμήσειας λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν; *Bar.* 267. Κοινὸς ἐν κοινοῖσι. λυπ.] ἀντὶ τοῦ, κοινῇ λυπεῖσθαι ἐν φίλοις κοινῇ λυπουμένοις. τουτέστιν, ὁμοῦ τοῖς φίλοις λυπεῖσθαι. L. B. 268 Μεῖζον κακὸν] τουτέστι, τὸ λυπεῖν καὶ λυπεῖσθαι. *Bar.* 269. Ἡμεῖς ἄρ' οὐ] τοῦτο λέγει ἡ Τέκμησσα, ὡς ἀπὸ προσώπου τοῦ Αἴαντος. ἤγουν, ὁ Αἴας μὴ ὢν μαινόμενος τόσα βλάπτεται. *Bar.* L. B. 272. Οἷσιν εἴχετ'] ἤγουν, ἐπὶ τοῖς κακοῖς, οἷς εἴχετο, τουτέστιν ἐκρατεῖτο. L. B.

277. Ἀρ'

Ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
Χο. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
Πληγή τις ἥκει. πῶς γὰρ, εἰ πεπαυμένος,
Μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
Τε. Ὡς ὧδ' ἐχόντων τῶνδε δ' ἐπίστασθαί σε χρή.
Χο. Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
Δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
Τε. Ἅπαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι
Λαμπτῆρες οὐκέτ' ᾖθον, ἄμφηκες λαβὼν
Ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
Κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλητος, οὔθ' ὑπ' ἀγγέλων
Κληθεὶς, ἐφορμᾷς πεῖραν, οὔτε του κλύων
Σάλ-

277. Ἄρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν] ἁπλοῦν μὲν, τὸ τοὺς φίλους ἀνιᾶν. δὶς τόσα δέ, ὅτι καὶ αὐτὸς συναλγεῖ. 279. Πῶς γὰρ, εἰ πεπαυμένος] πῶς γὰρ οὐ θεῖόν τι εἴη τὸ κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ, μᾶλλον ἐν ἀνίᾳ διάγει; Πεπαυμένος] ἀντὶ τοῦ σωφρονῶν. 281. Ὡς ὧδ' ἐχόντων] ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει. 282. Τίς γάρ ποτ' ἀρχή] ἀντὶ τοῦ τίς ἡ προσβολὴ τοῦ κακοῦ ὄντος αὐτὸν θεοῦ; 285. Κεῖνος γὰρ ἄκρας νυκτὸς] περὶ πρῶτον ὕπνον. πιθανῶς δὲ καὶ τὸ τοῦ χρόνου πρόσκειται. οἱ γὰρ ἐπιβουλεύοντες, τότε τὰς ἐξόδους ποιοῦνται ὥς τε λαθεῖν τὰς παραφυλακάς. Ἡνίχ' ἕσπεροι] οἱ κατὰ τὴν ἑσπέραν. ἢ, ὅτε οὐκ ἔφαινον ἔτι οἱ ἕσπεροι ἀστέρες. ἢ, ὅτε ἐσβέσθησαν οἱ λύχνοι. συνετῶς δέ, καὶ οὐ κατὰ μαινόμενον. καὶ ἐκ τοῦ τοῦ καιροῦ γὰρ ἐννοίας ἐπιβουλεύοντος, ἐπιθέσθαι περὶ πρῶτον ὕπνον. 286. Λαμπτῆρες] οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι. Ἦθον] ἀντὶ τοῦ ἤθοντο. 287. Ἐμαίετ'] ἐζήτει. Ἐξόδους κενὰς] τὰς οὐκέτι χρησίμους γινομένας. 288. Ἐπιπλήσσω] ἐνίσταμαι. 290. Πεῖραν] πορείαν. ὁδόν. 290. Οὔτέ του] ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρ' Ἀττικοῖς τὸ οὔτέ του, ὅταν οὕτως συντάσσεται, κοινῶς λέγεται.

ΣΧΟΛ.

An non ſunt hæc duplicia ex ſimplicibus mala?
Cho. Aſſentior jam tibi, & vereor ne à Deo
Plaga aliqua venerit. Quidni enim? ſiquidem laxato morbo
Nihilo magis quam cum ægrotaret, lætetur.
Tec. Hæc ita ſe habere, ſcire te oportet.
Cho. Quodnam ergo mali initium advolavit?
Ede nobis doloris ſociis eventum omnem.
Tec. Rem totam cognoſces, ipſe particeps cum ſis.
Is enim ſumma nocte, cum veſpertinæ
Non amplius ardebant lucernæ, ancipiti ſumpto
Tentabat telo exitus egredi frivolos.
Ego adeo increpo, & dico, quam rem agis,
Ajax? cur hoc invocatus? neque *enim* a nunciis
Accerſitus moliris inceptum, neque ullam audiens tubam;

Quin

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 280. Μηδὲν τι μᾶλλον] ἤδη γὰρ νῦν μᾶλλον εὐφραίνεσθαι παυσάμενον τῆς μανίας, ἢ ὅτε ταύτῃ συνείχετο, εἰ καὶ ἄλογος ἦν ἡ τότε χαρά. διόπερ ἀπορῶν ὁ χορὸς, εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ παρ' ἐκείνων ἐλθεῖν αὐτῷ φησι τὰ δεινά· ἵνα καὶ μετὰ τὴν νόσον χεῖρον διακέηται τῇ λύπῃ. 282. Τίς γάρ ποτ'] τοῦτο τὸ γὰρ ὅμοιον, ὡς ἄνω ἔφημεν, τῷ, Τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου; ἢ τὸ γὰρ ἀντὶ τοῦ δὲ νοητέον, διαποσπᾶσθαι ἔξωθεν σχετλιάζοντος τοῦ χοροῦ. κἂν εἰ ὁ ποιητὴς εἴασε τοῦτο δηλῶσαι. 285. Ἄκρας νυκτὸς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν τὸ ἐπὶ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἄκρα. Ἑσπέροι] οὓς εἰώθαμεν ἐν ἑσπέρᾳ ἅπτειν διὰ τὴν τοῦ σκότους παρουσίαν. 290. Οὔτέ του κλύων] εἰώθασιν οἱ Ἀττικοὶ τὰ θηλυκὰ ἄρθρα ἀρσενικῶς ἐκφέρειν, ἀντὶ τοῦ τῆς τοῦ λέγοντες. ἔστι δὲ τοῦτο ὅμοιον τῷ παρ' Εὐριπίδῃ, τῷ, Οὔτέ του δόξης ἐρῶ. εὕρηται δὲ καὶ παρ' Ἰσοκράτει πολλὰ τοιαῦτα, καὶ κοινῶς (ὡς ἔπος εἰπεῖν) παρὰ πᾶσι λογοποιοῖς, τὰ χείρω. ¶ Σχόλ. Τρικλ. 285. Κεῖνος γὰρ] προκατάστασις καὶ διήγησις τοῦ πραχθέντος ἔργου τῷ Αἴαντι.

SCHOL. INED. 278. Ξύμφημι] συνομολογῶ σοι, καὶ φοβοῦμαι ἵνα μὴ ἦλθε πληγή τις ἐκ θεοῦ. πῶς γὰρ οὐχὶ, ἐπεὶ πεπαυμένος ὁ Αἴας δηλονότι τῆς μανίας, μηδέν τι εὐφραίνεται. ἀλλὰ μᾶλλον λυπεῖται, ἢ ὅτε ἦν μαινόμενος. *Bar.* 280. Μηδέν τι μᾶλλον εὐφραίνει] ἀν-

τὶ

Σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
Ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα,
"Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
Κἀγὼ μαθοῦσ', ἔληξ'. ὁ δ' ἐσσύθη μόνος.
Καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν τύχας·
Ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
Ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν,
Καὶ τοὺς μὲν ηὐχένιζε· τοὺς δ' ἄνω τρέπων,
Ἔσφαζε, κἀῤῥάχιζε· τοὺς δὲ δεσμίους
Ἠκίζεθ' ὥστε φῶτας, ἐν ποίμναις πίτνων.
Τέλος δ' ἐπαΐξας διὰ θυρῶν σκιᾷ τινι

Λόγους

τὶ τοῦ, ἐν μεγάλῃ λύπῃ διάγει. *Bar.* 283. Ξυναλγοῦσιν] ἤγουν, συναχθομένοις κατὰ τὰς δυστυχίας. L. B. 285. Ἄκρας νυκτὸς] τουτέστιν, τὸ ἄκρον τῆς νυκτὸς, ὅμοιον τῷ, μέσος κατέχῃ. L. B. 287. Ἐξόδους] ἔξοδος, ἡ ἐξέλευσις, ἐκφορὰ δὲ ἐπὶ νεκροῦ. 288. Κἀγὼ 'πιπλήσσω] ἀντὶ ἐπέπληξα· ἐπετίμησα. L.

292. Ἀεὶ δ' ὑμνούμενα] ἀεὶ θρυλλούμενα ὑπὸ πάντων ἀνθρώπων, καὶ κοινά. ἢ ἀεὶ ὑπ' αὐτοῦ λεγόμενα πρὸς ἐμέ. ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ. Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε. 294. Κἀγὼ μαθοῦσ', ἔληξ'] φοβηθεῖσα αὐτὸν οὐ διεκώλυσα. 295. Καὶ τὰς ἐκεῖ μὲν] τοῦτο μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν. τοῦτο δὲ προεῖπεν αὐτῷ ὁ ποιητὴς, καὶ ἐνοχλεῖν οὐ δεῖ τὸν θεατὴν ταυτολογοῦντα. 297. Κύνας βοτῆρας] τοὺς ποιμενικοὺς κύνας. οὐ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον, ἀλλ' ὡς ἔξω τινὰς ἀνεῖλεν. 298. Ηὐχένιζε] τὸν τράχηλον ἀπέκοπτεν. ἐλαιμοτόμει. 299. Ἔσφαζε, κἀῤῥάχιζε] ὅπερ Ὅμηρος αὐερύειν φησίν. ὥστε κατὰ τοῦ λαιμοῦ γίνεσθαι τὴν σφαγήν. 300. Ἠκίζεθ' ὥστε φῶτας] δηλονότι κύνας βοτῆρας. 301 Ἐπαΐξας] ἡ μὲν Τέκμησσα ἀγνοεῖ τινι διήλεκται ἐκ τοῦ προλόγου, ὅτι Ἀθηνᾶ ἦν ἡ λαλήσασα αὐτῷ. τὸ δὲ, Σκιᾷ τινι, ὅτι οὐ συνέβαλε τὰ περὶ τὴν θεὸν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις καὶ τοῖς ματαίοις λαλεῖν. ἀγνοοῦσα δὲ ὅτι ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσε διὰ τοῦ ἐπαΐξας, τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 293. Γύναι] οἱ τιθέντες ἐπὶ τῷ γύναι περισπωμένην, ἀμαθεῖς τῶν μέτρων. ἐντεῦθεν οὖν μανθανέτωσαν ὀξεῖαν τιθέναι. βραχὺ γάρ ἐστι τὸ γυ. εἰ γὰρ καὶ ἀπὸ τοῦ γυνὴ τὸ μέλος γίνεται, ἀλλ' ἐκ-

βληθέντος

Quin & nunc universus exercitus dormit.
Ille autem mihi dixit pauca quidem, sed semper celebrata;
" Mulier, silentium affert decus mulieribus.
Quo audito destiti; ipse autem proruppit solus.
Neque quid ibi quidem evenerit narrare possum.
Intro autem rediit colligatos agens simul
Tauros, canes pastorales, cornutamque prædam;
Et hos quidem decollavit; illos vero sursum vertens
Mactavit, ac dissecuit: vinctos autem alios
Flagris cædebat tanquam viros, gregibus irruens.
Tandem per fores procurrens cum umbra quadam

Sermo-

ἐκβληθέντος τοῦ ι, ἔμεινε βραχύ. αἱ γὰρ παραγωγαὶ τῶν πρωτοτύπων βραχύτεραι. ¶ Σχόλ. Τρικλ. 293. Γυναιξὶ] γνωμικόν.

SCHOL. INED. 293. Γύναι, γυναιξὶ] Ἰστέον ὅτι ἀπὸ τοῦ γυῖον ὃ δηλοῖ τὸ μέλος τοῦ σώματος, τῇ ἐκβολῇ τοῦ ι, παράγεται τὸ γύναιξ ὄνομα. ὅθεν καὶ τὸ γυ βραχύ ἐστιν· αἱ γὰρ παραγωγαὶ τῶν πρωτοτύπων βραχύτεραι. διὸ καὶ ἐπὶ τῷ γυ, ὀξεῖαν τίθεμεν. ἐπάνω γὰρ βραχείας οὐ τίθεμεν περισπωμένην. *Bar.* Κόσμον ἡ σιγὴ] Ἐκ τῶν τοῦ Καλλιστράτου. ὥσπερ γὰρ τὰ φύλλα κόσμον τοῖς δένδρεσι φέρει, τὰ δὲ ἔρια τοῖς προβάτοις, ἡ δὲ χαίτη τοῖς ἵπποις, ἡ δὲ γενειὰς τοῖς ἀνδράσιν· οὕτω καὶ ἡ σιωπὴ κόσμον ταῖς γυναιξὶ φέρει. *Bar.* 296. Συνδέτους] τοὺς πόδας καὶ τὰς χεῖρας δεδεσμευμένους. L. B. 300. Ἐν ποίμναις πιτνῶν] Ἀντὶ τοῦ ἐμπιπτῶν ταῖς ποίμναις. τουτέστιν, ἐπιτιθέμενος. L. B. Εὗρον ἔν τινι παλαιοτάτῳ τῶν ἀντιγράφων βίβλων, τὸν παρόντα στίχον οὕτω γραφόμενον· τοὺς δὲ δεσμίους ᾐκίζεθ' ὥστε φῶτας, ἐν πημοναῖς πιτνῶν. τουτέστιν, ἐν βλάβαις ἐμπίπτων. ἀπὸ τοῦ πημονὴ, ἡ βλάβη. καὶ τῇ ἀποβολῇ τοῦ ο, πημνή. τὸ δὲ πᾶν τοῦ λόγου τοιοῦτόν ἐστιν. ἦλθε δὲ ὁ Αἴας ἄγων ὁμοῦ συνδέτους ταύρους, κύνας βοτῆρας, εὔκερων ἄγραν. καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δὲ ἄνω τρέπων ἔσφαζε καὶ ἐρράχιζε. τοὺς δὲ δεσμίους ᾐκίζεθ' ὥστε φῶτας. ἐν πημοναῖς τε καὶ βλάβαις τοιαύταις ἐμπίπτων, ἐκ[illegible] δηλονότι. *Bar.*

303. Συντι-

Λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα,
Τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,
Ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών.
Κἄπειτ' ἐπαΐξας αὖθις ἐς δόμους πάλιν
Ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
Καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
Παίσας κάρα, θώϋξεν· ἐν δ' ἐρειπίοις
Νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
Κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
Καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον.
Ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
Εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος·
Κἀνήρετ' ἐν τῷ πράγματος κυρεῖ ποτέ.

Κἀγὼ

303. Συντιθεὶς γέλων πολὺν] τουτέστι ῥήματα καταγέλαστα λέγων. κατὰ τῶν κριῶν ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν. 307. Καὶ πλῆρες ἄτης] οὐχ' ὅτι τοῦτο ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια, ἀλλ' ὅτι διήμαρτε τῆς τιμωρίας τῶν ἐχθρῶν. 308. Θώϋξεν] ἐβόησε. Ἐν δ' ἐρειπίοις] τὸ ἑξῆς, ἐν δὲ τοῖς ἐρειπίοις τῶν νεκρῶν τοῦ ἀρνείου φόνου ἐρειφθεὶς, ὅ ἐστιν, ἐν δὲ τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἕζετο. θαυμαστῶς δὲ ὑπ' ὄψιν ἤγαγε τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνύς· οἷον καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος, τανυσσάμενος διὰ μήλων. 309. Ἐρειφθεὶς] ἀντὶ τοῦ καταπεσὼν, ἐρριμμένος. πάντα γὰρ τὰ ἐπὶ τὴν ἔραν πίπτοντα, ἐρείπια καλοῦνται. καὶ αἱ ῥιπαὶ ἐντεῦθεν ὡς τὰ ἐρείπια. τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, οἷον ἐπεριστάμενος. 310. Ἀπρὶξ] ὅλῃ δυνάμει, ἰσχυρῶς. ἀσφαλῶς. προσπεφυκότως. ὃ οὐχ' οἷόν τε πρίσαι διὰ τὴν σύμφυσιν. 312. Ἔπειτ' ἐμοὶ] οὐκ ἔχων ἐπιβολὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἠρώτα τὸ συμβάν. πάνυ δὲ περιπαθὴς, τὸν ἐμφρονέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι τίνα ἐστὶν ἃ ἔπραξεν αὐτός. 314. Κυρεῖ ποτε] τὸ κυρῶ περισπωμένως φησὶν ἡ συνήθεια καὶ Ἀττικοί· ἐν δὲ εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετ' ἐκτάσεως τοῦ υ, κύροι λέγοντες, ἀντὶ τοῦ κυροίη. νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ κεῖται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 306. Ἔμφρων μόλις] τὰ τρία ταῦτα

παρεξ

Sermones profudit: partim contra Atridas
Partim de Ulysse, magno non sine risu,
Quantam in ipsos vicissim retulisset contumeliam egressus.
Deinde cum rursus in domum irrupisset retro,
Mentis compos vix tandem longo tempore constituitur.
At plenum noxa simul ac undique cernit tectum,
Pulsato capite exclamavit, inque ruinis
Cadaverum stratus sedit agninæ cædis,
Coma tenaciter unguibus correpta manus.
Et sic quidem diu tacitus sedit.
Postea mihi dira comminatus est verba,
Si non ederem rem, quæ accidisset, omnem:
Interrogavitque quo demum in statu res erat.

Atque

παριστῶσιν ὡς πάνυ βραδέως εἰς τὸ καθεστηκὸς ἥκειν. 309. Ἀρνείου φόνου] τοῦτο πρὸς τὸ νεκρῶν σύναπτε. εἴρηται δὲ τοῦτο ἀπὸ μέρους τὸ πᾶν. οὐ γὰρ ἄρνες μόνον ἦσαν, ἀλλὰ καὶ κριοὶ καὶ βόες.

SCHOL. INED. 302. Ἀνίσσων] Ἤγουν, μετὰ βίας καὶ δυσπαθείας ἀνέπεμπε. τὸ γὰρ σχῆμα τοῦ λόγου ἐνταῦθα, μεθυπαλλαγή ἐστι. τὸ μὲν ἀνίσσων ῥῆμα, ἀντὶ μετοχῆς λάμβανε, τὸ δὲ συντιθεὶς μετοχὴν, ἀντὶ ῥήματος, ἵνα ᾖ ὁ λόγος οὕτω. τέλος δὲ ὑπαίξας διὰ τῶν θυρῶν τῆς σκηνῆς, καὶ λόγους ἀνασπῶν σκιᾷ τινι, τοὺς μὲν, κατὰ τῶν Ἀτρειδῶν, τοὺς δὲ, κατὰ τοῦ Ὀδυσσέως, συντίθησι πολὺν γέλων, ἤγουν ἐποίει πολὺν γέλων ταῖς ἀκούουσι δηλονότι, διηγούμενος τὴν ὕβριν ὅσην ἐκτίσατο κατ' αὐτῶν. 306. Ἔμφρων καθίσταται] ἀντὶ τοῦ ἐν καταστάσει φρονήσεως ἐγένετο. L. B. ἤγουν, ἔννους γίνεται. ἔμφρων δὲ καθίσταται μόλις πως σὺν χρόνῳ. καὶ ἐπεὶ διώπτευσε τὸ στέγος τῆς σκηνῆς, πλῆρες ἄτης, τύψας τὴν κεφαλὴν αὐτοῦ ἐβόησεν. καὶ ἐν τοῖς δέμασι τῶν νεκρῶν ζώων πεσὼν ἐκαθέζετο ἐπάνω τοῦ προβατικοῦ φόνου, συλλαβὼν χειρὶ καὶ τοῖς ὄνυξι τὴν κόμην αὐτῶν δηλονότι. *Bar.* 310. Ἀπρὶξ] τὸ στερρῶς κρατεῖν, καὶ μὴ ἀπολύειν. L. ἀκαταστάτως, ἰσχυρῶς. καὶ τὸν μὲν πλεῖστον χρόνον ἐκάθητο ἄλαλος. L. B. *Bar.* Ὄνυξι χειρὶ] τὸ σχῆμα τοῦτο λέγεται, ὅλον κατὰ μέρος. ὅλον μὲν, ἡ χείρ. μέρος δὲ, οἱ ὄνυχες. *Bar.* 311. Ἧστο] ἤγουν ἐκάθητο· κανόνισον, ἕω, ὁ μέλλων ἕσω. ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς, ἧμαι. ὑποτακτικὸς, ἥμην, ἧσο. *Bar.* 313. Εἰ μὴ φανείην]

Κἀγὼ φίλοι δείσασα, τοὐξειργασμένον
Ἔλεξα πᾶν ὅσον περ ἐξηπιστάμην.
Ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
Ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
Πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
Τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν.
Ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων,
Ὑπεστέναζε ταῦρος ὡς μυκώμενος.
Νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
Ἄσιτος ἁνήρ, ἄποτος, ἐν μέσοις βοτοῖς
Σιδηροκμῆσιν, ἥσυχος θακεῖ πεσών·
Καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν·
Τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.

Ἀλλ'

ἤγουν, ἂν μὴ ἐγὼ δηλώσαιμι ἐκείνῳ τῷ Αἴαντι πᾶν τὸ συμβάν. *Bar.* 314. Κἀνήρετ'] ἀντὶ τοῦ, ἤρετο ἔν τινι πράγματι ὑπάρχει. L. B.

317 Ἐξῴμωξεν] ἐξάκουστον ᾤμωξεν. 318. Ἃς οὔποτ' αὐτοῦ] οὐκ εἰώθει (φησὶν) ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι, ἀλλ' ἦν καρτερικός. ἔλεγεν οὖν (φησὶν) ἀεί, κακοῦ ἀνδρὸς τὸ ὀλοφύρεσθαι. ὁποῖον φησὶ καὶ Ἡρακλῆς ἐν Τραχινίαις, Ἀλλ' ἀστένακτος αἰὲν εἱπόμην κακοῖς· ὁ οὖν Αἴας πρὸ τούτου, εἰ συνέβη τι αὐτῷ δεινόν, ὡς ταῦρος ἀνεβρυχᾶτο ἀνεξάκουστον, οὐδέποτε δὲ εἰς προφανῆ γόον ἐξέπιπτεν. 319. Κακοῦ] δειλοῦ. Βαρυψύχου] μικροψύχου. καταπεπτωκότος τὴν ψυχήν. οἱ λέγοντες δὲ τὸ βαρύψυχον ἀντὶ τοῦ γενναίου. καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ, τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον. 320. Ἐξηγεῖτο] ἡρμήνευεν. ἡ γὰρ ἐξήγησις, ἐπὶ θείων. ἑρμηνεία, ἐπὶ τῶν τυχόντων. 321. Ἀψόφητος ὀξέων κωκυμάτων] ἤγουν ὑψηλῶν, ὅμοιον τῷ ἄστικτον ἀσπίδος τε καὶ στρατοῦ. τὸ ὀξὺ, ἐπὶ μὲν φωνῆς ἔχει ἐναντίον τὸ βαρύ· ἐπὶ δὲ ὀφθαλμοῦ καὶ ξίφους, τὸ ἀμβλύ. ἐπὶ δὲ χυμῶν, τὸ γλυκύ. 325. Σιδηροκμῆσιν] τῷ σιδήρῳ φονευθεῖσιν· ὡς ἀνδροκμῆσιν. καὶ δῆλός ἐστι προσεκτικὰ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέχῃ ἀκριβέστερον, προσδοκῶν τὸ συμβησόμενον. 327. Τοιαῦτα γάρ πως] ἐοικότα κατά τινα τρόπον.

Atque ego, amici, *mihi* metuens, rem ut acta erat
Narravi omnem, quantum quidem noram.
Ipſe vero ſtatim exululavit ululatus triſtes,
Quos antehac nunquam ex eo audivi ego.
Ignavi enim hominis *eſſe* & abjecti animi
Semper antea narrabat ejulatus tales edere.
At ſine ſtrepitu acutorum lamentorum
Subingemiſcebat, ut taurus mugiens.
Nunc vero in hac jacens miſera fortuna,
Impaſtus ille, impotus, media inter pecora
Ferro conciſa, quietus reſidet lapſus,
Et manifeſte aliquid inceptat mali;
Idque fere verbis luctuque ſuo indicat.

σιν. Καὶ λέγει κἀδύρεται] τῷ βούλεσθαι δράσειν δηλονότι κακόν τι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 319. Πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου] ἀμφότερον ἀντὶ τοῦ δειλοῦ νοητέον. οἱ δὲ λέγοντες τὸ βαρυψύχου ἀντὶ τοῦ γενναίου, καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ, τἀληθὲς ἠγνοήκασι. βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκίνητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ὁρμητικὴν καὶ πρόθυμον. 320. Ἐξηγεῖτ' ἔχειν] οἱ λέγοντες τὸ ἔχειν ἀντὶ τοῦ ὑπάρχειν, ἁμαρτάνουσιν. ὥσπερ γάρ φαμεν, τὰ δίκαια ποιεῖν καλοῦ ἀνδρὸς ἔχει, οὕτω καὶ τοῦτο· ἔλεγε γὰρ ὁ Αἴας ὡς ἔχει τὸ τοιοῦτο δειλοῦ ἀνδρὸς, τὸ καθάπερ γυναῖκα κλαίειν, καὶ θρήνους εἰς ὕψος αἴρειν. 322. Μυκώμενος] οἱ γράφοντες βρυχώμενος, καὶ μεγεθύνοντες τὸ χω, διὰ τὸ μέτρον, ἴσως ἀμαθεῖς εἰσι καὶ γραμματικῆς καὶ μέτρων· κάλλιον γὰρ τὸ μυκώμενος πρὸς τὸ ταῦρος.

SCHOL. INED. 319. Βαρυψύχου γόους] ἤγουν, κατεπτηλωκότος τὴν ψυχήν· τουτέστι, μικροψύχου. L. B. Ὁ Αἴας ἐξηγεῖτο, εἶναι τοὺς τοιούσδε γόους, ἰδίους ἀνδρὸς δειλοῦ μικροψύχου. *Bar.* 320. Ἐξηγεῖτ' ἔχειν] ἤγουν, ἡρμήνευεν εἶναι, ἤγουν, τοὺς γὰρ τοιούσδε γόους, ἀεί ποτε ἡρμήνευεν εἶναι, ἰδίους δηλονότι ἀνδρὸς κακοῦ καὶ βαρυψύχου. ἐξήγησις, ἐπὶ θείων. ἑρμηνεία δὲ, ἐπὶ τῶν τυχόντων. L. B. 326. Δρασείων] ἀντὶ τοῦ θέλων καὶ μέλλων ποιῆσαι. τὸ γὰρ δρασείω, τυψείω, πολεμησείω, καὶ τὰ τοιαῦτα, ἀπὸ ἐνεστώτων καὶ μελλόντων τινῶν ἄλλων ῥημάτων παράγονται. ἐκ μὲν τοῦ δράσω μέλλοντος, τὸ δρασείω. καὶ ἐκ τοῦ τύψω τὸ τυψείω. καὶ ἐκ τοῦ πολεμήσω, τὸ πολεμησείω. ἐκ δὲ τοῦ χρῶ ἐνεστῶτος, τὸ χρείω. καὶ ἐκ τοῦ κίχω τὸ κιχείω. καλοῦνται δὲ ἐφετικὰ, καὶ σημασίαν ἔχουσιν ἀεὶ μέλλοντος. *Bar.*

Ἀλλ', ὦ φίλοι (τούτων γὰρ οὕνεκ' ἐστάλην)
Ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
Φίλων γὰρ οἱ τοιοίδε νικῶνται φίλοι.

Χο. Τέκμησσα, δεινά, παῖ Τελεύταντος, λέγεις
Ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

Αι. Ἰώ μοι μοι.

Τε. Τάχ', ὡς ἔοικε, μᾶλλον. ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοήν;

Αι. Ἰώ μοι μοι.

Χο. Ἁνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
Νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

Αι. Ἰὼ παῖ, παῖ.

Τε. Ὤμοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.

Τί

328. Ἀλλ', ὦ φίλοι] τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς. πιθανὴν δὲ τὴν πρόφασιν τῆς ἐξόδου φησὶν, ἵνα μὴ δόξῃ τὸν Αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι. Ἐστάλην] κυρίως ἐπὶ θαλάσσης, οἷον, ἐστείλατό τις τὸν πλοῦν. 330. Φίλων γὰρ οἱ τοιοίδε] οἱ τοιοίδε φίλοι, ὁποῖοι ἐστὲ ὑμεῖς, νικῶνται φίλων. ἤγουν ἡττῶνται· ἡττᾶται δὲ ὁ ἐρῶν τινὸς, καὶ πολλὴν ἀνάγκην ἔχει αὐτὸν τρέφειν· κρατεῖ δὲ ὁ ἐρώμενος. Ἄλλως. φίλων γὰρ οἱ τοιοίδε δηλονότι, καὶ οἱ κακοπραγοῦντες ἀπονέμουσιν αἰδῶ τινα τοῖς φίλοις. ἡ οὖν Τέκμησσα, ἅτε δὴ γυνὴ οὖσα καὶ αἰχμάλωτος, οὐχ οἵα τε αὐτὸν παραμυθεῖσθαι, ἀλλὰ τὸν χορὸν προτρέπεται εἰσιέναι. ἐπειδὴ δὲ ἄτοποι τὸν χορὸν ἀπολιπεῖν τὴν σκηνὴν, ἀναβοᾷ ἔνδοθεν ὁ Αἴας, ἵνα μείνῃ ἐπὶ χώρας ὁ χορός· τοῦτο γὰρ ἐπόθει θεατής. 332. Διαπεφοιβάσθαι] ἐκμεμηνέναι παρὰ τὸν φοῖβον· ἢ ἀπὸ τῶν φοιβωμένων καὶ ἐνθουσιώντων. καὶ γὰρ ἐκεῖνοι μανίᾳ τινὶ ὅμοιον πάσχουσί τι. 334. Τάχ' ὡς ἔοικε] τάχα ὡς φαίνεται, μᾶλλον νοσεῖ, ὡς νῦν αὐτοῦ μᾶλλον παροξυνομένου ἢ πρότερον. εἶτα πρὸς τὸν χορὸν τὰ ἑξῆς, ἢ οὐκ ἠκούσατε Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν; ἐμφαντικῶς δὲ τὸ θωΰσσει. καὶ γὰρ δεῖ τὸν ὑποκρινόμενον τὸ τοῦ Αἴαντος πρόσωπον, ἀγριωτέρῳ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαΰζειν. διὰ τοῦτο εἶπε θωΰσσει. 337. Ἁνὴρ ἔοικεν] ἢ ἔτι νοσῶν ἀπολέσθαι ἢ μανιώδης ὢν τοῖς προϋπηργμένοις ἀπὸ τοῦ παλαιοῦ νοσήματος.

At, O amici (hanc enim ob causam huc prodii)
Ferte opem ingressi, si quid potestis:
Ab amicis enim tales flecti solent amici.

Cho. Gravia, Tecmessa, filia Teleutantis, narras nobis,
Virum nempe illum malis redactum ad insaniam.

Aj. Hei mihi!

Tec. Forsan, ut videtur, magis furit; annon audistis
Ajacem, quali jam vociferatur clamore?

Aj. Hei mihi!

Cho. Videtur homo vel jam in morbo esse, vel prioribus
Malis, quæ aderant, affligi in præsentia.

Aj. Heu nate, mi nate!

Tec. O me miseram, Eurysaces, de te clamat.

Quidnam

νοσήματος. 339. Ἰὼ παῖ, παῖ] παρέλκει τὸ παῖ. ἡ δὲ Τέκμησσα ἐνόμισεν αὐτὸν τὸν παῖδα καλεῖν. 340. Ἀμφὶ σοί] περὶ σοῦ. Ὤμοι τάλαιν'] ἀπηρύθμησε τὸ ἦθος· τὸ μὲν, ἀποιμώζει, τὸ δὲ, καλεῖ τὸν παῖδα. εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, Τί ποτε μερμηρίζει; καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται· λανθάνουσα δὲ ἐνεφάνισε καὶ τὸ τοῦ παιδὸς ὄνομα. ἔδεισε δὲ μὴ ἀνέλῃ αὐτὸν μαινόμενος. Ἄλλως. Τί ποτε μερμηρίζει; ἀντὶ τοῦ προθυμεῖ· πρὸς τὸν Αἴαντα λέγει τοῦτο.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 328. Οὕνεκ' ἐστάλην] καταχρηστικῶς τὸ ἐστάλην, ἀντὶ τοῦ ἐπορεύθην εἴρηται. κυρίως γὰρ τὸ ἐστάλην ἐπὶ θαλάσσης λέγεται, οἷον ἐστάλησαν τις τόνδε τὸν πλοῦν. 331 Τέκμησσα] λέγεις ἐν τοῖς τῶν κακοῖς μεμαντεῦσθαι τὸν ἄνδρα ἀφρονεῖν. τοῦτ' ἔστιν, ἐξ ὧν διηγῇ, παρεστῶς πρᾶγμα γενόμενον αὐτὸν ὡς εἰκὸς ἐργάσεσθαι τι κακὸν, ἃ γὰρ ἔπραξεν ἀναλογιζόμενος κρεῖττον τὸ θανεῖν ἡγήσεται.

SCHOL. INED. 331. Τελεύταντος] οἱ μὲν λέγουσιν, ὅτι τοῦ τελεύταντος ἀντὶ τοῦ τελευτήσαντος τοῦ ἐν τῇ καταστροφῇ τῆς Τροίας φονευθέντος καὶ ἀποθανόντος. οἱ δὲ λέγουσιν, ὅτι κύριον ὄνομά ἐστιν. ὃ καὶ ἀληθές. *Bar*. 332. Διαπεφοιβάσθαι] μεμαντεῦσθαι, καὶ ἐξεστάσθαι. φοιβάζομαι, φοιβῶμαι, τὸ μαντεύομαι. ὅθεν καὶ φοῖβος ὁ μάντις. *Bar*. 337. Ἀνὴρ ἔοικεν] ὁ ἀνὴρ ὁ Αἴας, ἢ παρὼν καὶ συνιστάμενος τοῖς ξυνοῦσιν, ἤγουν τοῖς πλησίον ἐκείνοις κειμένοις πλήμμασιν τοῖς συμβᾶσιν ὑπὸ τοῦ πάλαι νοσήματος, ἔοικε λυπεῖσθαι. ἰδίου δὲ, τῷ λυπουμένῳ, κουφίζον καὶ ἐλάσσῃ λέγει τὸν λόγον. *Bar*. 339. Παῖ, παῖ] τοῦτο εἰπὼν μεταπίπτει εἰς τὴν ζήτησιν τοῦ Τεύκρου, ὑπὸ ἀμηχανίας ὥσπερ ἐπιλαθόμενος ἐκείνου. L. B. *Bar*.

341. Παῖ

Τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
Αι. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
Λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.
Χο. Ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
Τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.
Τε. Ἰδοὺ διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
Τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ. α'.

Αι. Ἰὼ μοι φίλοι ναυβάται,
Μόνοι ἐμῶν φίλων, μόνοι
τ' ἐμμένοντες ὀρθῷ νόμῳ·
Ἴδεσθέ μ' οἷον ἄρτι κῦ-

μα

341. Ποῦ ποτ' εἶ] πρὸς τὸν Εὐρυσάκην. ὁ γὰρ παιδαγωγὸς αὐτὸν ἔξω εἶχε. 342. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος;] μεταβαίνει ὁ Αἴας ἐπὶ πολλὰ, ἵνα δὴ πλείονες αἱ ἀγωνίαι γίγνωνται. Ἄλλως, ἴδιον τοῦ κακῶς ἔχοντος, τὸ μὴ ἐφ' ἓν τῶν λυπούντων ποιεῖσθαι τὴν ἀναφοράν. ἐπιζητεῖ δὲ Τεῦκρον, ἵνα παραθῆται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῷ χορῷ, μὴ εὑρὼν τὸν Τεῦκρον. τὸ δὲ ἀπεῖναι Τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ. παρὼν γὰρ ἐκώλυεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο, νῦν δὲ μόνης τῆς γυναικὸς ἐγένετο κρείττων. Ἄλλως. παῖ παῖ εἰπὼν, μεταπίπτει εἰς ζήτησιν τοῦ Τεύκρου ὑπὸ ἀμηχανίας, ὥσπερ ἐπιλαθόμενος ἐκείνου. Ἢ τὸν εἰσαεὶ] ἤγουν κατὰ τὸν ἑξῆς χρόνον πάντα. τὸ ἀεὶ λέγεται ἐπὶ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος. τὸ δὲ εἰσαεὶ ἐπὶ ἀεὶ μέλλοντος. 343. Λεηλατήσει] λείαν ἐλάσει, λαφυραγωγήσει. λῃστεύσει· πορθήσει· ἁρπάσει. 344. Ἀνὴρ φρονεῖν ἔοικεν] ἐκ τοῦ καλεῖν τὸν Τεῦκρον στοχάζονται, καὶ ἀνοίγειν κελεύουσιν, ἵνα αἰδεσθείη θεασάμενος. οἷον, τάχ' ἂν αἰδεσθείη με. ἢ οἷον, τάχα ἂν ἐφ' ἡμῖν αἰδεσθῇ, ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ὑποχειρίους τοῖς ἐχθροῖς. 346. Διοίγω] ἀνοίγω. Προσβλέπειν δ' ἔξεστί σοι] ἐνταῦθα ἐγκύκλημά τι γίγνεται, ἵνα φανῇ ἐν μέσοις ὁ Αἴας ποιμνίοις. εἰς ἔκπληξιν γὰρ φέρει καὶ ταῦτα τὸν θεατὴν τὰ ἐν τῇ ὄψει περιπαθέστερα. δείκνυται δὲ ξιφήρης ἡματωμένος, μεταξὺ τῶν ποιμνίων καθήμενος. 347. Τὰ τοῦδε πράγη] τὰς πράξεις ἃς οὗτος εἰργάσατο.

Quidnam molitur? ubinam es? O misera ego!
Aj. Teucrum voco. ubi est Teucer? an ille perpetuo
Prædas agit? ego vero *interim* pereo.
Cho. Sapere videtur homo. sed aperite *fores:*
Fortasse enim me conspectum verebitur.
Tec. Ecce aperio: licet autem tibi intueri
Hujus facinora, atque ut ipse se habeat.

ANTISTROPHICA. STROPHE. I.

Aj. O mihi cari socii navales,
Soli ex meis amicis, solique
Rectis immanentes *amicitiæ* legibus;
Aspicite me, qualis modo fluctus

Cruento

εἰργάσατο. Ὡς ἔχων κυρεῖ] τουτέστιν ὡς διάκειται. 348. Ἰώ μοι φίλοι ναυβάται] τάχιστα τὸ πᾶν ἀπήγγειλε τῷ τροπικῷ. βούλεται δὲ σημαίνειν ὅτι ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κινήσεως ἀνέμων κῦμά τι ὑπολειφθὲν ἀπὸ τοῦ γεγονότος χειμῶνος κυκλοῖ αὐτόν. μετὰ γὰρ τὸν χειμῶνα εἴωθε τὸ κῦμα ἐπὶ πλέον ῥοθεῖν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς ἀμφίδρομον, οἷον τὸ πανταχόθεν περιτρέχον. ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει, ὅτι κατ' οὐδὲν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα. 350. Ὀρθῷ νόμῳ] ὀρθὸν νόμον τὸν τῆς φιλίας φησίν. νόμος, ἐστὶν ἔγγραφος συνήθεια· συνήθεια δὲ, ὁ ἄγραφος νόμος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 341. Ποῦ ποτ' εἶ] τοῦτο ἢ πρὸς τὸν παῖδα, ἢ πρὸς τὸν Αἴαντα. οὕτως, ποῦ ποτε νῦν εἶ, καὶ τί ταῦτα βοᾷς; 350. Ὀρθῷ νόμῳ] ἤγουν ὀρθότητι νόμου, ὥσπερ οὖν τις εἴποι, εὐθείᾳ στάθμῃ, ἤγουν ἐν εὐθύτητι. ἔστι δὲ κυρίως νόμος, ἔγγραφος συνήθεια. συνήθεια δὲ, ἄγραφος νόμος. ¶ Σχήμ. Τρικλ. 348. Ἰώ μοι φίλοι] Αἴαντος θρῆνος.

SCHOL. INED. 344. Ἀνοίγετε] ταῦτα πρὸς τὴν Τέκμησσαν λέγει ὁ χορὸς, χρώμενος τοῖς πληθυντικοῖς, ἤγουν τὸ ἀνοίγετε, τιμῆς ἕνεκα καὶ σεμνότητος. *Bar.* 350. Ὀρθῷ νόμῳ] ἤγουν, ἐν ὀρθότητι. ὥσπερ εἴ τις εἴποι, ἐν εὐθείᾳ στάθμῃ, ἀντὶ τοῦ ἐν εὐθύτητι. νόμος ἐστὶν ἔγγραφος συνήθεια. συνήθεια δὲ νόμος ἄγραφος. L. B. 351. Ἴδεσθέ μ'] σκοπήσατε, ὁποῖον κῦμα περίδρομον γενόμενον ὑπὸ μανίας φονικῆς, κυκλεῖται ἤγουν ποντίζει ἐμὲ ἄρτι. *Bar.*

353. Ἀμφί-

μα φοινίας ὑπὸ ζάλης
Ἀμφίδρομον κυκλεῖται.
Χο. Οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν;
Δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Αι. Ἰώ μοι γένος ναΐας
Ἀρωγὸν τέχνας, ἁλίαν
Ὃς ἐπέβας ἑλίσσων πλάταν.
Σέ τοι σέ τοι μόνον δέδορ-
κα ποιμένων ἐπαρκέσον-
τ'. ἀλλά με συνδάιξον.
Χο. Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς

Ἄκος

353. Ἀμφίδρομον] τὸ ἑλικοειδὲς, ὃ βυθίζει τὰς ναῦς. Κυκλεῖται] στρέφει. κυκλέω κυκλῶ, τὸ στρέφω· κυκλέω δὲ κυκλῶ, τὸ περιλαμβάνω. 354. Οἴμ', ὡς ἔοικας] ὁ χορός ἐστιν ὁ λέγων. ὁ γὰρ ἐντρεπὴς τὴν Τέκμησσαν τὸν λόγον ὑφαρπάζειν λεγόμενον πρὸς τὸν χορόν. ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τοῦ ἤθους στοχάζεσθαι, καὶ διαστέλλειν τὸ πρόσωπον. ἔοικας οὖν (φησὶν) ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας. τὸ γὰρ ἀφροντίστως, οἷον, διὰ τὸ μηδένα ἐπιμεληθῆναί σου, ἐν χειμῶνι γέγονας. ἢ οὕτω πρὸς τὴν Τέκμησσαν ὁ λόγος, νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας τοῦ Αἴαντος. οὕτως γὰρ τὸ πρᾶγμα δείκνυσιν ἡμῖν, ὅτι μανικῶς διετέθη. τὸ δὲ ὡς, καὶ τὸ ἄγαν, οὐ παράλληλα. 355. Ἀφροντίστως] μανικῶς. 356. Ναΐας] τῆς ναυτικῆς. ἐπεὶ ναυτικοὶ δοκοῦσιν οἱ νησιῶται. 358 Ἐπέβας] τῶν νεῶν δηλονότι. Ἑλίσσων πλάταν] κωπηλατῶν. εἴρηται δὲ παρὰ τὸ ἀμφιελίσσας. κωπηλατῶν δὲ, ἀντὶ τοῦ κωπηλάτης, ἵν' ᾖ τὸ πᾶν, ὃς κωπηλάτης ἐπέβης τῶν νεῶν. 360. Ποιμένων] τῶν κηδεμόνων, τῶν βοηθῶν. ὡς καὶ ποιμαίνειν τὸ φροντίζειν. ποιμένων οὖν τῶν ἐμοὶ ποιμαινόντων καὶ θαλπόντων. τὴν αὐτὴν ἂν μοι προαίρεσιν λάβε, καὶ εὖξαί με ἀποθανεῖν. ἢ σφάζων με σὺν τοῖς θρέμμασιν. ὁ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ἂν βούλεται ἀναιρεθῆναι, ἀλλὰ τὸ εἶδος ὑφορώμενος τῶν ποιμνίων. ἐν τούτῳ δὲ τὸ ἦθος καὶ ἡ μεγαλοφροσύνη δείκνυται τοῦ Αἴαντος. Ἐπαρκέσοντα.] ὑπηρετήσοντα. 361. Συνδάιξον] ὁμοῦ διαφθείρατε καὶ σφάζετε σὺν τοῖς θρέμμασι. 362. Εὔφημα φώνει]

τὸ

Cruento è turbine
Circumfluus me cingit.
Cho. Hei mihi, quam videris vera testari nimis?
Indicatque ipsa res, quam insanus sit.

ANTISTROPHE I.

Aj. O Gens nautica mihi
Auxiliatrix in arte, marinum
Qui conscendisti naves torquens remum:
Te te quidem video solum
E curatoribus *mihi* inservire paratum.
At me simul interfice.
Cho. Bona verba loquere: ne, malum malo afferens
Reme-

τὸ ἑξῆς, μὴ κακὸν κακῷ διδοὺς ἄκος, μεῖζον ποίει τῆς ἄτης τὸ πῆμα. ἄτην δὲ τὴν μανίαν· πῆμα δὲ τὸν θάνατον, ὅ ἐστι χεῖρον τῆς μανίας. τοῦτο δέ φησιν ἐπεὶ ὁ Αἴας λέγει τῷ χορῷ, ἀλλά σύν με δάϊξον. Ἄλλως. μὴ θεραπείαν κακοῦ ἕτερον κακὸν ἐπεισαγάγῃς· ἤγουν μὴ τῷ θανάτῳ διαλύσῃς τὸ ὄνειδος· πῆμα δὲ ἄτης, κατὰ περίφρασιν, τὴν ἄτην. μὴ τὴν ἄτην πλείονα ποιήσῃς. ἀρκεῖ γὰρ ἡ παροῦσα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 355. Δηλοῖ δὲ τοὔργον] τοῦτο λέγει, ὅτι τὰ παρόντα ὑπὸ μανίας γενέσθαι παρίστησι. ἢ οὕτως, τὸ ἔργον, τουτ' ἔστι τὸ ἐν τούτοις εἶναι τὸν Αἴαντα, ὡς ἄδοξον, καὶ παῖδα ἀνακαλεῖσθαι, καὶ τὴν αὐτοῦ τύχην πρὸς ἡμᾶς ἀνακλαίεσθαι, δηλοῖ ὡς ἀφροντίστως καὶ ἀπιστατικῶς ἔχει τῆς μανίας. ὅπερ εἰ λέγεις, πρὸς μόνην τὴν Τέκμησσαν τὸν λόγον ἐρεῖς. ἢ οὕτω, τὸ ἔργον δὲ ἤγουν τὸ τοσοῦτον αὐτὸν λυπεῖσθαι καὶ δυσχεραίνειν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαραμύθητον τοῦτο δείκνυσι, ὡς ἀφροντίστως τῆς οἰκείας σωτηρίας ἔχει, καὶ δεινὰ καθ' αὐτοῦ μελετᾷ. 356. Ἰώ μοι γένος] τὸ ναΐας τέχνης, ἢ πρὸς τὸ γένος συναπτέον, οὕτω, ὦ γένος ναΐας τέχνης, ἤγουν ὦ ναῦται· ἢ πρὸς τὸ ἀρωγὸν, λαμβανομένης ἔξωθεν τοῦ ἕνεκα, οὕτω, ὦ γένος ἀρωγὸν ἕνεκα τῆς ναΐας τέχνης. τουτ' ἔστι συμπλέον ἐμοὶ καὶ πρὸς πάντα κίνδυνον συνεπιλαμβανόμενον. 360. Ποιμένων] μὴ λάβῃς εἰς τὸ ποιμένων ἔξωθεν τὸ ἀπό. ἀλλ' οὕτω λέγε, σὲ μόνον δέδορκα καὶ βλέπω φροντιστῶν ἐπαρκέσοντα. τουτ' ἔστι, σὺ μόνος ἐφάνης ἐμὸς φροντιστὴς εἰς τὸν παρόντα καιρόν. τὸ δὲ ποιμένων μεταφορικῶς εἴρηται, ἀντὶ τοῦ κηδεμόνων. καὶ γὰρ ὁ ποιμὴν κηδεμὼν τῶν προβάτων ἐστίν.

SCHOL. INED. 354. Ἄγαν] πρὸς τὴν Τέκμησσαν λέγει ὁ χορὸς, τὸ λίαν ἄγαν ἔοικας μαρτυρεῖν. τὸ δὲ ἔργον δηλοῖ, ὅτι ἀφροντίστως διάκειται ὁ Αἴας δηλονότι. *Bar.*

Χο. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Αι. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
Κακῶν ὄργανον τέκνον Λαρτίου,
Κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
Ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
Χο. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ, κὠδύρεται.
Αι. Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι, μοι.
Χο. Μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Αι. Ἰὼ Ζεῦ προγόνων πάτερ.

Πῶς

377. Ἐπεξειργασμένοις] ἐπιτετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσι. κατὰ τὸ Σιμωνίδου, τὸ γὰρ γεγενημένον, οὐκ ἔτ' ἄρρεκτον ἔσται. 378. Ὅπως οὐχ ὧδ' ἔχειν] ὅπως ταῦτα μὴ οὕτως ἔχοιη. οὐχ οὕτως διακεῖσθαι. 379. Ἁπάντων κακῶν ὄργανον] ἀντὶ τοῦ πανοῦργε, καὶ περίεργε. 381. Κακοπινέστατον] τὸν πῖνον, ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους. ἐνταῦθα οὖν τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα. τρίμμα κακορύπαρον. πινώδης γὰρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν. ἄλλοτε ἄλλα νοῶν. πίνα, ὁ ῥύπος, διὰ ἑνὸς ν. πίννα, τὸ ὄστρεον, διὰ δύο ν. 382. Πολὺν γέλωθ'] τοῦτο μάλιστα αὐτοῦ ἅπτεται, τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι. 383. Σὺν τῷ θεῷ] κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα. ἐὰν νομίζωμεν φάσκειν τὸν χορὸν ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον, καὶ ἐφήδεσθαί σοι. τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι. ἀκουστέον οὖν οὕτως, οὐχ ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον. ἀλλ' ὅτι θεῶν βουλομένων, καὶ τὰ κακὰ μεθίστανται εἰς τέρψιν· εἰκὸς οὖν καὶ ἡμῖν (φησὶν) βοηθῆσαι τὸ θεῖον· ἢ οὕτως, θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι. πῶς οὖν σοῦ ἔχει καταγελάσαι Ὀδυσσεὺς, αἴτιός σοι γεγονὼς τῆς ἀτυχίας, ὅπουγε παρὰ θεῶν δίδοται; 384. Ἴδοιμι δή νιν] τοῦ χοροῦ τὸν περὶ θεοῦ λόγον ἐμβαλλομένου, οὐκ ἐφίεται ὁ Αἴας, ἀλλ' ἀπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται. φησὶν οὖν,

ἴδοιμι

Cho. Quid te vero excrucias ob res confectas? Neque enim fieri poteſt ut hæc non ita ſe habeant.

ANTISTROPHE 2.

Aj. O ad omnia perſpicax, omniumque ſemper Malorum inſtrumentum, fili Laertis, Impuriſſimeque impoſtor exercitus. Certe alicubi effuſum *tu* riſum præ lætitia edis.

Cho. " Deo dante, omnes & rident & plorant.

Aj. Conſpicerem ipſum modo, quamvis ita afflictus. Hei mihi, mihi!

Cho. Nequid elate dixeris. an non vides quo es in malo?

ANTISTROPHE 3.

Aj. O Jupiter majorum *meorum* progenitor.

Quomo-

ἴδοιμι αὐτὸν, καίπερ οὕτως κακούμενος. δῆλον γὰρ ὅτι ἀμύνομαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ. Ἀτώμενος] ἄτῃ πεπληρωμένος. 386. Μηδὲν μέγ' εἴπῃς] ὁποῖον καὶ τὸ ἐν Ἠλέκτρᾳ, μηδὲν μέγ' ἀΰσῃς. τοῦτο δὲ πρὸς τὸ ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος. 387. Ἰὼ Ζεῦ] αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν, παραλαμβάνουσαι τὸ μέλλον, ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ, προσδοκῶντι πῶς τὸ δεινὸν ἀπαιτήσειεν. Προγόνων] πρόγονος, πατήρ, πάππος, καὶ οἱ ἀνωτέρω. ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι, καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεννωμένους. ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 387. Προγόνων πάτερ] οἱ γράφοντες προγόνων προπάτωρ, οὐκ ἴσασι τὰ περὶ τὸ μέτρον. δεῖ οὖν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται.

SCHOL. INED. 377. Ἀλγοίης] κανόνισον, ἀλγέω, ἀλγῶ· καὶ ἡ μετοχὴ, ὁ ἀλγέων ὁ ἀλγῶν, τοῦ ἀλγέοντος, τοῦ ἀλγοῦντος· καὶ τὸ εὐκτικὸν, ἀλγέοιμι, ἀλγοῖμι, καὶ τροπῇ τοῦ μι εἰς ην, ἀλγοίην, ἀλγοίης ἀλγοίη. λέγεται δὲ τὸ σχῆμα τοῦτο μεταπλασμός. μεταπλασμὸς δέ ἐστιν, ὅτε τέλος τινὸς ῥήματος εὐχρήστου, μεταβάλλοις εἰς τέλος ἑτέρου ῥήματος εὐχρήστου. οἷόν ἐστι καὶ τὸ κλῦθι. ἔδει γὰρ εἶναι κλύε, ἀπὸ τοῦ ἔκλυον, ἔκλυες, ἔκλυε. ἀλλὰ τὸ τέλος μετέβαλεν, εἰς τέλος ἑτέρου ῥήματος προστακτικοῦ, οἷον ἐστὶ τύπτε. *Bar.* 378. Οὐ γὰρ γένοιτ' ἂν] ἤγουν, οὐκ ἔστι γὰρ τρόπος ὅπως γέ-

νοιτ

Ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθης.

ΣΤΡΟΦΗ β΄.

Αι. Ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
Τὸν ἐν δαΐαις ἄτρεστον μάχαις,
Ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
Ὤμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα;
Τε. Μὴ, δέσποτ' Αἶαν, λίσσομαί σ', αὔδα τάδε.
Αι. Οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα;
Αἶ, αἶ, αἶ, αἶ.
Χο. Ὦ πρὸς θεῶν ὕπεικε, καὶ φρόνησον εὖ.

ΣΤΡΟΦΗ γ΄.

Αι. Ἰὼ δύσμορος, ὃς χεροῖν
Μεθῆκα τοὺς ἀλάστορας,
Ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
Κλυτοῖς πεσὼν αἰπολίοις,
Ἐρεμνὸν αἷμ' ἔδευσα.

Χο.

366. Ἐν ἀφόβοις με θηρσὶ] τοῖς μὴ φόβον ἐμποιοῦσι προβάτοις. Δεινὸν] φοβερόν. Χέρας] κατὰ τὴν ἰσχύν. 367. Οἷον ὑβρίσθην ἄρα] ὅτι οὐδὲν αὐτοῦ ἄλλο ἅπτεται ὡς τὸ τῆς ἀσχημοσύνης, ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἐνεδείξατο. 368. Μὴ, δέσποτ' Αἶαν] τοῦτο Τεκμήσσης ἐστὶ, καὶ παρὰ μέρος γίγνονται αἱ παραμυθίαι· οἷα τὰ τῶν φίλων ἐστὶν ἐν ταῖς τοιαύταις συμφοραῖς παραμυθουμένων. ἵνα ἐκεῖνος μὲν ἀπαράλειπτον ἔχῃ τὴν παραμυθίαν, οἱ δὲ ἐν μέρει τυγχάνωσιν ἀναπαύλης. 369. Οὐκ ἐκτός; οὐκ ἄψορρον] πρὸς τὴν Τέκμησσαν φησίν. ἐκείνοις μὲν γὰρ διαλέγεται Αἴας δεόμενος αὐτῶν. ἐνταῦθα δὲ τῇ Τεκμήσσῃ ἐπιπλήσσει (εἰώθασι μὲν γὰρ τοῖς ἐγγυτέροις παρρησιάζεσθαι) οὐχ' ὡς αἰχμάλωτον ἐξουθενῶν. ἄψορρον δὲ, ὀπισθόρμητον. Ἐκνεμῇ] ἐξάξεις. νέμω τὸ βόσκω, καὶ δίδωμι.

καὶ

Remedium, calamitatis damnum majus redde.

STROPHE 2.

Aj. Viden' illum ferocem, illum magnanimum,
Illum in bellicis intrepidum præliis,
Inter placidas me feras horribilem manus?
Eheu risum! jam quantum in probrum incidi?
Tec. Ne, here Ajax, quæso te, ista dicas.
Aj. Non tu foras? non retrogadum efferes pedem?
Væ, væ *mihi*, væ, væ!
Cho. O per Deos obsequere, & recta ratione utere.

STROPHE 3.

Aj. O *ego* infelix, qui manibus
Emisi illos sceleratos dæmonas,
Inque nigros boves,
Et eximios greges incursans
Ignobilem sanguinem profudi.

Cho.

ϗ διοικῶ ποιητικῶς. νέμομαι δὲ, τὸ βόσκομαι. ϗ νέμεται τὴν ὕλην τὸ πῦρ. ἀπὸ τούτου ϗ νέμομαι, τὸ πορεύομαι, ποιητικῶς. 371. Ω πρὸς θεῶν] τοῦτο ὁ χορὸς, τῆς Τεκμήσσης σιγησάσης διὰ τὴν ἐπιτίμησιν. οὐ μὴν πρὸς τοῦτο ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν. ἔστι γὰρ ϗ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι. 374. Ἑλίκεσσι βουσὶ] ἕλικας, τὰ περὶ τοὺς καρποὺς ψέλλια ἢ ἐνώτια λέγουσι. ϗ ἑλικώτατον ὕδωρ, τὸ ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν, ἢ διαυγές: ἑλικῶπις ϗ ἑλίκωψ, εὐόφθαλμος. 375. Κλυτοῖς] κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς ϗ φωνάς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 373. Μεθῆκα τοὺς ἀλάστορας] ἀλάστορας ἐνταῦθα λέγει, ἢ τοὺς κακοὺς καταχρηστικῶς, ἢ τοὺς φονεῖς. ϗ γὰρ τρόπον τινὰ ϗ οἱ Ἕλληνες αὐτὸν ἀπεκτόνασιν, ἀπεστερηκότες τὰ ὅπλα, ϗ τῶν παρόντων αὐτῷ γεγονότες αἴτιοι, δι' ἅπερ οὐκ ἀνέξεται ζῆν, ἀλλὰ ἐθελήσει τεθνήξεσθαι. ὃ δὴ ϗ γέγονε.

SCHOL. INED. 369. Ἐκνεμοῦ] νέμω, τὸ βόσκω, ϗ τὸ δίδωμι, ϗ τὸ διοικῶ ποιητικῶς. νέμομαι δὲ τὸ βόσκομαι. ϗ νέμεται τὴν ὕλην τὸ πῦρ. ἀπὸ τούτου ϗ νέμομαι, τὸ πορεύομαι, ποιητικῶς. L.

Χο. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Αι. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
Κακῶν ὄργανον τέκνον Λαρτίου,
Κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
Ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
Χο. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ, κὠδύρεται.
Αι. Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι, μοι.
Χο. Μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Αι. Ἰὼ Ζεῦ προγόνων πάτερ.

Πῶς

377. Ἐπεξειργασμένοις] ἐπιτετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσι. κατὰ τὸ Σιμωνίδου, τὸ γὰρ γεγενημένον, οὐκ ἔτ' ἄρρεκτον ἔσται. 378. Ὅπως οὐχ ὧδ' ἔχειν] ὅπως ταῦτα μὴ οὕτως σχοίη. οὐχ οὕτως διακεῖσθαι. 379. Ἁπάντων κακῶν ὄργανον] ἀντὶ τοῦ πανούργου, καὶ περιέργου. 381. Κακοπινέστατόν] τὸν πίνον, ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους. ἐνταῦθα οὖν τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα. τρίμμα κακορύπαρον. κιβδηλὲς γάρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν. ἄλλοτε ἄλλα νοῶν. πίνα, ὁ ῥύπος, δι' ἑνὸς ν. πίννα, τὸ ὄστρεον, διὰ δύο ν. 382. Πολὺν γέλωθ'] τοῦτο μάλιστα αὐτοῦ ἅπτεται, τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι. 383. Σὺν τῷ θεῷ] κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα. ἐὰν νομίζωμεν φάσκειν τὸν χορὸν ὅτι θεοῖς ἀρέσκει γελᾶν ἐκεῖνον, καὶ ἐφήδεσθαί σοι. τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι. ἀκουστέον οὖν οὕτως, οὐχ ὅτι θεῷ ἀρέσκει γελᾶν ἐκεῖνον. ἀλλ' ὅτι θεῶν βουλομένων, καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν· εἰκὸς οὖν καὶ ἡμῖν (φησὶν) βοηθῆσαι τὸ θεῖον· ἢ οὕτως, θεὸς καὶ τὸ γελᾶν καὶ τὸ κλαίειν δίδωσι. πῶς οὖν σοῦ ἔχει καταγελάσαι Ὀδυσσεύς, αἴτιός σοι γεγονὼς τῆς ἀτυχίας, ὅπουγε παρὰ θεῶν δίδοται; 384. Ἴδοιμι δή νιν] τοῦ χοροῦ τὸν περὶ θεοῦ λόγον ἐμβαλλομένου, οὐκ ἐφίσταται ὁ Αἴας, ἀλλ' ὑπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται. φησὶν οὖν,

ἴδοιμι

Cho. Quid te vero excrucias ob res confectas? Neque enim fieri potest ut hæc non ita se habeant.

ANTISTROPHE 2.

Aj. O ad omnia perspicax, omniumque semper
Malorum instrumentum, fili Laertis,
Impurissimeque impostor exercitus.
Certe alicubi effusum *tu* risum præ lætitia edis.

Cho. " Deo dante, omnes & rident & plorant.

Aj. Conspicerem ipsum modo, quamvis ita afflictus.
Hei mihi, mihi!

Cho. Nequid elate dixeris. an non vides quo es in malo?

ANTISTROPHE 3.

Aj. O Jupiter majorum *meorum* progenitor.

Quomo-

ἴδοιμι αὐτὸν, καίπερ οὕτως κακούμενος. δῆλον γὰρ ὅτι ἀμύνομαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ. Ἀτώμενος] ἄτης πεπληρωμένος. 386. Μηδὲν μέγ' εἴπῃς] ὁποῖον καὶ τὸ ἐν Ἠλέκτρᾳ, μηδὲν μέγ' ἀΰσῃς. τοῦτο δὲ πρὸς τὸ ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος. 387. Ἰὼ Ζεῦ] αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν, παραλαμβάνουσαι τὸ μέλλον, ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ, προσδοκῶντι πῶς τὸ δεινὸν ἀπαντήσειεν. Προγόνων] πρόγονος, πατὴρ, πάππος, καὶ οἱ ἀνωτέρω. ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι, καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γενομένους. ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 387. Προγόνων πάτερ] οἱ γράφοντες προγόνων προπάτωρ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. δεῖ οὖν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται.

SCHOL. INED. 377. Ἀλγοίης] κανόνισον, ἀλγέω, ἀλγῶ· καὶ ἡ μετοχὴ, ὁ ἀλγέων ὁ ἀλγῶν, τοῦ ἀλγέοντος, τοῦ ἀλγοῦντος· καὶ τὸ εὐκτικὸν, ἀλγέοιμι, ἀλγοῖμι, καὶ τροπῇ τοῦ μι εἰς ην, ἀλγοίην, ἀλγοίης ἀλγοίη. λέγεται δὲ τὸ σχῆμα τοῦτο μεταπλασμός. μεταπλασμὸς δέ ἐστιν, ὅτε τέλος τινὸς ῥήματος εὐχρήστου, μεταβάλλεις εἰς τέλος ἑτέρου ῥήματος εὐχρήστου. οἷόν ἐστι καὶ τὸ κλῦθι. ἔδει γὰρ εἶναι κλύε, ἀπὸ τοῦ ἔκλυον, ἔκλυες, ἔκλυε. ἀλλὰ τὸ τέλος μετέβαλεν, εἰς τέλος ἑτέρου ῥήματος προστακτικοῦ, οἷόν ἐστι τύπτε. *Bar.* 378. Οὐ γὰρ γένοιτ' ἂν] ἤγουν, οὐκ ἔστι γὰρ τρόπος ὅπως γέ-

νοιτ

Πῶς ἂν τὸν αἱμυλώτατον,
Ἐχθρὸν ἄλημα, τούς τε δισ-
σάρχας ὀλέσας βασιλῆς,
Τέλος θάνοιμι καὐτός;

Τε. Ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
Εὔχου. τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;

ΣΤΡΟΦΗ δ'.

Αι. Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεβος
Ὦ φαεννὸν ὡς ἐμοί,
Ἕλεσθ', ἕλεσθ' οἰκήτορα,
Ἕλεσθέ μ'. οὔτε γὰρ θεῶν
Γένος, οὔθ' ἁμερίων
Ἔτ' ἄξιος βλέπειν τι-
ν' εἰς ὄνησιν ἀνθρώπων.

Ἀλλά

νοεῖτ' ἂν ταῦτα οὐχ οὕτω διαγκειᾶτο. L.B. 384. Ἀτάσθαλοι] ἀπὸ τῆς ἄτης τῆς βλάβης, γίνεται ἀτηρὸς, καὶ ἀταρτηρὸς, ὁ βλαπτικὸς, γίνεται καὶ ῥῆμα ἀτάω, ἀτῶ, τὸ βλάπτω, καὶ τὸ παθητικὸν ἀτάομαι, ἀτῶμαι, καὶ ἡ μετοχὴ, ἀτώμενος. *Bar.* 387. Πάτερ] Ἀρχηγὸς τοῦ γένους τοῦ Αἴαντος ὁ Ζεύς. οὕτως ὁ Αἰακὸς ἐλέγετο υἱὸς τοῦ Διὸς, ἐξ οὗ Πηλεὺς καὶ Τελαμών. ὧν Ἀχιλλεὺς καὶ Αἴας. L. B.

389. Ἄλημα] πλάνη καὶ παραλογιστικὸν πανούργημα. ἢ περίτριμμα παρὰ τὸ λέπειν. 392. Ὅταν κατεύχῃ] ἐπειδὴ τῆς παραμυθίας οὐκ ἠδυνήθη αὐτὸν μεταθεῖναι, δοκεῖ ἐκ τούτων αὐτῶν μεταθεῖναι. κἀμοὶ οὖν εὔχου ἀποθανεῖν. εὔχομαι δὲ τῷ θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι. κατεύχομαι δὲ, τὸ καταρῶ. 395. Ὦ φαεινότατον ὡς ἐμοὶ] τουτέστιν, ὡς ἐμοὶ φαεινότερον τοῦ ἡλίου, ἐμοὶ χρῆναι κριτῇ. ἢ παρέλκει τὸ ὡς. λέγει δὲ σκότος, ἐμὸν φάος, ὡς εἴτις τὸν θάνατον σωτηρίαν νομίσειεν. 396. Ἕλεσθε] ἀντὶ τοῦ ἁπλῶς λάβετε. ἔσθ' ὅτε δὲ καὶ ἀντὶ τοῦ προτιμῆσαι

Quomodo loquacissimo isto
Inviso impostore, bipotentibusque
Regibus prius perditis,
Deinde & ipse moriar?

Tec. Quando hæc imprecaris, simul & mihi mortem
Opta: quo enim mihi vita, te mortuo?

STROPHE 4.

Aj. O Caligo, mea Lux; Orcus
O lucidissimus, mihi saltem,
Capite, capite *me* incolam,
Capite me. neque enim Deorum
Genus, neque in Diem viventium
Amplius dignus sum intueri
Hominum. meum quod ad commodum.

Quippe

μῦσαι. 397. Οὔτε γὰρ θεῶν] οὔτε θεῶν οὔτε ἀνθρώπων γένος ὁρᾷν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν. ἄριστον τοίνυν ἐξιέναι τοῦ βίου. ἢ οὕτως, εἰς ὄνησιν ἀνθρώπων. ὠφέλεια οὐκ εἰσί μοι οἱ ἄνθρωποι, οὔτε οἱ θεοί. τί οὖν ζῶ;

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 394. Ἔρεμβος] ἔρεμβος χρὴ γράφειν διὰ τὸ μέτρον, καὶ φαεινὸν, οὐ φαεινότατον· ὅμοιον γὰρ χρὴ εἶναι τῷ τῆς ἀντιστροφῆς κώλῳ. 399. Βλέπειν τιν' εἰς ὄνησιν] τό τινα, ἢ πρὸς τὸ ἁμερίων συντακτέον. ἢ τὸ μὲν γένος κατὰ κοινοῦ λάμβανε πρὸς τοῦτο, σύναπτε δὲ τό τινα πρὸς τὸ ὄνησιν· ὥσπερ καὶ τὸ ἀνθρώπων, ἢ πρὸς τὸ ἁμερίων, ἵν' ᾖ τὸ αὐτό. ἢ πρὸς τὸ ὄνησιν, οὕτως, οὔτε γὰρ ἄξιός εἰμι βλέπειν τὸ γένος τῶν θεῶν, οὔτε τῶν ἁμερίων εἰς τινὰ ὄνησιν ἀνθρώπων. τοῦτ' ἔστιν, οὐ δεῖ με ἀπὸ τοῦδε ζῆν, εὐχόμενον τοῖς θεοῖς, καὶ μετὰ τῶν ἄλλων διάγοντα, ἵν' ἀνθρωπίνως εὐτυχῆσαί μοι γένοιτο. ὅπου γε καὶ τὸ ἀνθρώπων εἰς τὸ ἁμερίων συνάπτων, οὕτω τὸ ὄνησιν ἐρεῖς. ¶ Σχήμ. Τρικλ. 397. Οὔτε γὰρ θεῶν] ἐν τῷ θεῶν συνίζησις.

SCHOL. INED. 392. Κατεύχῃ] εὔχομαι τῷ Θεῷ ἀντὶ τοῦ ὑπίσχομαι· ὅθεν καὶ εὐχὴ ἡ ὑπόσχεσις. ὡς τὸ, τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω. *Bar.*

401. Ἀλλά

Ἀλλά μ' ἁ Διὸς γ' ἀλκίμα θεὸς
Ὀλέθριον αἰκίζει.
Ποῖ τις οὖν φύγῃ;
Ποῖ μολὼν μενῶ;
Εἰ τὰ μὲν φθίνει, φίλοι,
Τοῖσδ' ὁμοῦ πέλας,
Μωραῖς δ' ἄγραις προσκείμεθα.
Πᾶς δὲ στρατὸς δίπαλτος
Ἄν με χειρὶ φονεύοι.
Τε. Ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
Φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν;

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Αι. Πόροι ἁλίρροθοι, πάραλά τ' ἄντρα,

Καὶ

401. Ἀλλά μ' ἁ Διὸς] καὶ ταῦτα χρησίμως κατὰ τὸν χορὸν, ἵνα ἐπίσταιντο καὶ ὅθεν ἡ καταρχὴ τῆς μανίας. ἔδει μὲν ὡς παρὰ ἄλλου μαθεῖν ἢ παρ' ἐκείνου τοῦ πεπονθότος. συνίησι γὰρ πεπλανημένος ὑπὸ τῆς Ἀθηνᾶς. ἡ γὰρ Τέκμησσα τὸ ὅλον ἀγνοεῖ. 402. Ὀλέθριον] μέχρι θανάτου. Αἰκίζει] ἀντὶ τοῦ αἰκίζεται, ἤγουν μαστίζει. 403. Φυγῇ] γράφεται τρέπῃ. 404. Ποῖ μολὼν] ποῖ ἐλθὼν παραμενῶ· πανταχοῦ γὰρ ἐπίκειται ἡ θεὸς αἰκιζομένη. 405. Εἰ τὰ μὲν φθίνει] ἤγουν ἡ ἐμὴ εὐτυχία φθείρεται διὰ τὴν κρίσιν τῶν ὅπλων. 407. Μωραῖς δ' ἄγραις] διὰ τὴν ἀναίρεσιν τῶν βοτῶν, ἃ λαβὼν μωρῶς διεχρήσατο. 408. Δίπαλτος] ἀμφοτέραις ταῖς χερσὶν, οἷον περιδεξίως με φονεύοι. παντὶ σθένει, ὡς Δίδυμος. ἵνα ὁ στρατός με φονεύοι λαβὼν τὰ δίπαλτα δοράτια, ὡς Πίος φησὶ, ἀπὸ τοῦ πάλλειν. ἀφ' οὗ ἐν ἄλλοις οὗτος παλτὸν λέγει πῦρ τὸν κεραυνὸν, ὡς ἄνωθεν παλλόμενον. 409. Χειρὶ φονεύοι] τὴν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν προβάλλεται. 410. Τοιάδ' ἄνδρα χρήσιμον φωνεῖν] τοιαῦτα φωνεῖν ἃ πρότερον οὐκ ἂν ἔτλη γενναιότατος ὤν. χρήσιμον, τὸ ἐπιτήδειον εἰς χρείαν, ἤ-

γουν

Quippe me filia Jovis, potens Dea,
Ad mortem usque flagris castigat.
Quo igitur quis fugerit?
Quo profectus manere potero?
Siquidem periit omnis felicitas mihi,
Meisque qui adsunt prope,
Stultis autem in prædis jacemus.
Fiat etiam ut omnis exercitus utrinque vibrata
Manu me *quamvis nolentem* interficiat.
Tec. Heu me miseram! talia virum *ad omnia* idoneum
Loqui, quæ antehac nunquam sustinuit?

ANTISTROPHE 4.

Aj. O fluvii in mare labentes, antraque maritima,

Et

γουν τὸ συντελοῦν εἴς τι. θέλει οὖν ἐνταῦθα δεῖξαι, ὅτι ἀσυντελὴς φανεῖν τοιάδε ἄνδρα, ἃ οὐδέποτε οὗτος πρότερον ὑπέμεινεν ἂν φωνῆσαι. 412. Πόροι] ποταμοί. Ἀλίροθοι] εἰς θάλασσαν ῥέοντες μετὰ ἤχου. οὐ τοὺς ἐν Σαλαμῖνι δέ φησιν, ἀλλὰ τοὺς ἐν Τροίᾳ. Πάραλα] ἤγουν παράλια, τουτέστι παραθαλάσσια.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 402. Ὀλέθριον] ὀλεθρίως εἰπεῖν ἔδει· ἀλλὰ πρὸς τὸ ἐμοὶ ἐπήγαγε. καί ἐστιν ἀρσενικὸν, οὐχ (ὥσπερ τινὲς οἴονται) οὐδέτερον. 405. Εἰ τὰ μὲν] τινὲς λέγουσι τὴν περὶ τῶν ὅπλων κρίσιν, καὶ τὸ φθίνει πρὸς τὴν Ἀθηνᾶν ἀποδιδόασι, καὶ ὕστερ' ἄτλα· ἐγὼ δὲ αὐτὸς οὕτω, τὰ μὲν τῶν ἡμετέρων φθίνει καὶ φθείρεται· λέγω δὴ τὸ τιμᾶσθαι, καὶ παρὰ πάντων αἰδέσιμον εἶναι, καὶ μετὰ τοῦ λελογισμένου πράττειν ὅσα καὶ θέλοιμι. ἅπερ ἐμοὶ πρῶτα ἀνθοῦντα, νῦν καταρρεῖ, καὶ εἰς οὐδὲν χωρεῖ, παραπλησίως τοῖς προχειμέροις θρέμμασιν. ἢ τὸ φθίνει ἀντὶ τοῦ φθείρουσιν. οὕτω τὰ μὲν ἤτοι τὰ συμβάντα μοι κακὰ φθείρουσί με, εἰς μνήμην ἐρχόμενα. 408. Δίπαλτος] ἤγουν διπλῇ χειρὶ καὶ πάσῃ δυνάμει. δηλοῖ δὲ διὰ τούτου τὴν κατ' αὐτοῦ σφοδρὰν ὀργὴν τοῦ στρατοῦ. 412. Πόροι ἁλ.] ποταμοὶ οἱ πρὸς τὴν ἅλα ἐμβάλλοντες, καὶ ῥόθον ποιοῦντες τῷ ῥεύματι. λέγει δὲ τοὺς ἐν Τροίᾳ.

Καὶ νέμος ἐπάκτιον,
Πολὺν πολὺν δαρόν τε με
Κατείχετ' ἀμφὶ Τροίαν
Χρόνον· ἀλλ' οὐκέτι μ' οὐ-
κέτ' ἀμπνοὰς ἔχοντα·
Τοῦτό τις φρονῶν ἴστω.
Ὦ Σκαμάνδριοι γείτονες ῥοαὶ
Εὔφρονες Ἀργείοις,
Οὐκέτ' ἄνδρα μὴ
Τόνδ' ἴδητ', ἔπος
Ἐξερέω μέγ', οἷον οὔ
Τινα Τροία στρατοῦ
Δέρχθη, χθονὸς μολόντ' ἄπο
Ἑλλανίδος· τανῦν δ' ἄ-
τιμος ὧδε πρόκειται.

IAMBOI.

Χο. Οὔτοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν

Ἔχω

413. Καὶ νέμος ἐπάκτιον] τὸ ἄλσος τοῦ ὄρους τῆς Ἴδης τὸ παράλιον. ἀκτὴ δέ, ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ· αἰγιαλός, ὁ ἐπίπεδος καὶ ὁμαλός. 415. Κατείχετ'] εἴχετε. κατέχειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει τὸ ἐναντίον τὸ ἀπολύειν. 416. Ἀλλ' οὐκέτι] ἔξεστι δηλονότι. 417. Ἀμπνοὰς ἔχοντα] ἤγουν ζῶντα. 418. Ἴστω] ὅτι οὐκ ἔχω ἔτι ζῆν. 419. Ὦ Σκαμάνδριοι] οὐκ ἔστιν ἡ διαστολὴ πρὸς τοὺς Τρῶας, ὡς τοῦ Σκαμάνδρου μᾶλλον τὰ τῶν Ἑλλήνων αἱρουμένου, ἀλλ' οἷον, ἐμοὶ ἐχθραὶ ῥοαί, εὔφρονες δὲ τοῖς Ἀργείοις τοῖς ἐμοῖς ἐχθροῖς. ταῦτα δὲ πάντα ἐστὶ τοῦ ἀνακρουομένου τὸν θάνατον. εὔφρονες Ἀργείοις διὰ τὸ ποτόν. ἔμφρων μὲν γάρ, ὁ φρόνιμος. εὔφρων δέ, ὁ ἡδὺς καὶ εὐφραντικός. 421. Οὐκέτ' ἄνδρα] οὐ νεμεσητὸν τῷ Αἴαντι μέγα λαυχῶσθαι. ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ ᾖ, τότε εὔσχημον περιστέλλειν τὰ ἑαυτοῦ πλεονεκτήματα

ἀπηχὲς

Et nemus littorale,
Longo longo tempore, diuque me
Detinuistis ad Trojam :
Sed non amplius me
Auras carpentem tenebitis.
Hoc, qui intelligit, sciat.
O Scamandri vicina fluenta
Benevola Argivis
Non amplius virum
Hunc videbitis (verbum
Eloquar magnum) qualem neminem
Troja in exercitu vidit
Terra profectum Græca:
Sed nunc inhonoratus
mdeo abjectus jacet.

IAMBI.

Cho. Neq; cur prohibeam, neq; cur sinam te *ita* loqui Inve-

ἀπηυδηκότα δι' ἄνδρα οὐκ ἄν τις μέμψαιτο εἰ μεγαλαυχεῖται. ὁποῖα καὶ Ἡρακλῆς ἐν τῷ τέλει ὤν, περὶ τῆς ἀνδρίας αὐτοῦ διέξεισι. καὶ γίγνεται ἐπίτασις τοῦ πάθους, ὁπόταν τὸ τοιοῦτο διαφθείρηται. ἔτι δὲ αὔξεται τὸ πάθος οὐκ ὑπὸ ἄλλου λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ. 423. Ἐξερέω] κομπάσω. Οὔτινα] οὐδένα ἄλλον δηλονότι εἶδεν ἀπὸ στρατοῦ. 427. Πρόκειμαι] προκείμενός εἰμι εἰς ὄψιν πάντων δηλονότι. 428. Οὔτοι σ' ἀπείργειν] ὁ χορός ἐστιν ὁ λέγων. ἐνδίδωσι γὰρ τῷ χορῷ κάμνοντι. ὅπερ ἐστὶν εἶδος παραμυθίας. οὐ Τέκμησσα τοῦτο σὺν ἐποίει. ἀπείργω τινὰ βουλόμενον ἐνεργεῖν τι· ἀνείργω δὲ τὸν ἀρξάμενον, καὶ ὁσονοῦν τοῦ ἔργου ἀνύσαντα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 413. Νέμος] ἤγουν παραθαλάσσιον ἄλσος, ὅπερ ἐστὶ πλησίον Σκαμάνδρου καὶ τοῦ Ξάνθου. 420. Εὔφρονες] εὐφραντικοί, διὰ τὸ λοῦσαι καὶ πίνειν καὶ τἄλλα χρῆσθαι ὑμῖν. ¶ Σχῆμ. Τρικλ. 423. Ἐξερέω] συνίζησις.

SCHOL. INED. 413. Νέμος] τὸ χωρίον τὸ ἔχον νομὴν εἰς βόσκησιν. *Bar.* Ἐπάκτιον] ἀκτὴ, ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ. αἰγιαλὸς δὲ ὁ ἐπίπεδος καὶ ὁμαλός. L. B. 420. Εὔφρονες] ἤγουν ἡδεῖς. εὐφροσύνην ποιοῦσαι διὰ τὸ ποτόν. L. 428. Ἀπείργειν] ἤγουν κωλύειν, ἢ ἀντὶ τοῦ ἀνασείειν. L. B.

Ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.
Αι. Αἰ, αἴ· τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον
Τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ,
Καὶ τρίς. τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.
Ὅτου πατὴρ μὲν τοῦδ᾽ ἀπ᾽ Ἰδαίας χθονὸς
Τὰ πρῶτα καλλιστεῖ᾽ ἀριστεύσας στρατοῦ,
Πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
Ἐγὼ δ᾽ ὁ κείνου παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
Οὐδ᾽ ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
Ἄτιμος Ἀργείοισιν ὧδ᾽ ἀπόλλυμαι.

Καὶ

429. Ἔχω] ἀντὶ τοῦ δύναμαι. 430. Αἰ, αἴ.] ἐντεῦθεν μακρὰν ῥῆσιν μηκύνει ὁ Αἴας. ἔστι καὶ τοῦτο ἀρχαιότροπον, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. καλῶς μὲν οὖν πράττων οὐκ ἂν ἐμέμνητο τοῦ διὰ τοῦ ὀνόματος, ἐν συμφορᾷ δὲ ἄν. Ἐπώνυμον] συνῳδὸν ἔσεσθαι καὶ ἐπώνυμον τοῖς ἐμοῖς κακοῖς. ἔπλεξε δὲ τὸ ὄνομα παρὰ τὸ αἶ αἶ τὸ θρηνητικόν. 431. Ξυνοίσειν] συνδραμεῖν, καὶ συνενεχθῆναι, καὶ εἰς ταυτὸν ἐλθεῖν. 433. Ἐντυγχάνω] περιπίπτω. 434. Ὅτου πατὴρ] περιπαθῶς τὰ τοῦ πατρὸς κατορθώματα παραλαμβάνει. οὐκ ἐλάσσονα γὰρ τοῦ πατρὸς ποιήσας ἄτιμος ἀπόλλυμαι. Ἰδαίας] Ἰδαία τὸ πάλαι ἡ Τροία ἐκαλεῖτο ἀπὸ τῆς Ἴδης τοῦ ὄρους. 435. Τὰ πρῶτα καλλιστεῖ᾽] ὅτι εἴληφε τὴν Ἡσιόνην παρὰ τοῦ Ἡρακλέους. πρεσβεῖον μὲν, ἡ διὰ γῆρας προτίμησις, καὶ τὸ δι᾽ αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν. ἀριστεῖον δὲ, τὸ ἕνεκα ἀριστείας γέρας. καλλιστεῖον δὲ, τὸ ἐκλεγὲν τινι γέρας. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα. δευτερεῖα, τὰ τῆς δευτέρας. 439. Οὐδ᾽ ἔργα μείω] πιθανῶς, τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα. Ἀρκέσας] δείξας, βοηθήσας, ποιήσας. λείπει δὲ ἡ διά. ἵν᾽ ᾖ, δι᾽ ἐμῆς χειρός. 440. Ἄτιμος Ἀργείοισι] ἀντὶ τοῦ ὑπὸ Ἀργείων. ἤ, ἀρκέσας, Ἀργείοις ἄτιμος ἐν ἀπόλλυμαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 434. Ὅτου] ἡ σύνταξις, ὅτου ὁ πατὴρ Τελαμὼν ἦλθεν ἀπὸ τῆς Τροίας εἰς τὸν οἶκον φέρων πᾶσαν εὔκλειαν, τὰ πρῶτα καλλιστεῖα καὶ ἐξαίρετα γέρα τοῦ στρατοῦ, λέγω τὴν Ἡσιόνην, ἀριστεύσας

στεύσας

Invenio malis hujusmodi implicatum.
Aj. Ah, ah, quis unquam putasset tam concinne
Meum convenire nomen malis meis?
Nunc enim adest, cur bis lugere me
Et ter oporteat; tantis enim versor in malis.
Cujus pater ex hac ipsa Idæa terra,
Rebus eximie gestis summa nactus præmia
Domum rediit maximam reportans gloriam:
Ego vero illius filius in eundem locum
Trojæ qui veni, non minore robore,
Neque minoribus rebus manu gestis,
Inhonoratus Argivis ita pereo.

At-

στεύσας καὶ ἄριστος φανείς. πρῶτος γὰρ τὸ Τροίας εἰσεπήδησε τεῖχος, στρατὸν δὲ λέγει ὃν κατὰ τῆς Τροίας Ἡρακλῆς ἠγάγετο, ἀμυνόμενος Λαομέδοντα, διὰ τὸ μὴ τοὺς ἵππους λαβεῖν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι, εἰ τὸ κῆτος ἀνέλοι. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. τὸ δὲ εὔκλεια καὶ τὰ πρῶτα καλλιστεῖα ταὐτόν ἐστιν, εἰ καί τινες τῶν ἀμαθῶν τὸ ἀριστεύσας ἀντὶ τοῦ ὡς ἄριστος λαβὼν, λέγουσι, βουλόμενοι συντετάχθαι τὰ πρῶτα καλλιστεῖα, ἃ οὐκ ἄλλο οὐδὲν ἦν ἀλλ' ἡ εὔκλεια. οὕτω δὲ εὑρήσεις καὶ Πραξίαν λέγων δὴ τὸ, Ὧν αὐτὸς ἔχει στέφανον εὐκλείας μέγαν. 439. Ἀρκέσας ἐμῆς] τὸ ἀρκέσας, οὐκ ἀντὶ τοῦ πράξας, ὥς τινες οἴονται· ἀλλ' ὥσπερ φαμὲν τὸ ἀρκετός εἰμι τόδε, οὕτω καὶ τὸ ἀρκέσας ἔργα νοοῦμεν. εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τῶν νῦν τοῖς μὴ τελείοις τὴν σύνταξιν. ¶ Σχήμ. Τρικλ. 430. Αἲ αἴ. τίς ἄν] Αἴαντος θρῆνος αὖθις, καὶ δεινοπάθεια ἐπὶ τοῖς συμβᾶσιν αὐτῷ δεινοῖς.

SCHOL. INED. 430. Τίς ἄν ποτ'] τίς ἄρα ᾠήθη ποτὲ οὕτως σύμφωνον καὶ συνῳδὸν τὸ ἐμὸν ὄνομα συμβήσεσθαι τοῖς ἐμοῖς κακοῖς. ὅτι πάρεστί μοι νῦν καὶ δὶς καὶ τρὶς αἰάζειν. ἀπὸ γὰρ τοῦ αἰάσω μέλλοντος, οὗ ὁ ἐνεστὼς αἰάζω, γίνεται Αἴας. *Bar.* 431. Ξυνοίσειν] Συνελεύσεσθαι καὶ συνδραμεῖν. *Bar.* Κακοῖς] ἤγουν, δυστυχίαις καὶ συμφοραῖς. *Bar.* 435. Τὰ πρῶτα καλλιστεῖ'] ἦλθε γὰρ ὁ Ἡρακλῆς πάλαι πορθήσας τὴν Ἴλιον, ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς ἀρίστους τῶν Ἑλλήνων, ἤγουν τὸν Τελαμῶνα καὶ ἄλλους. μετὰ δὲ τὸ πορθῆσαι, ἔδωκε τῷ Τελαμῶνι γέρας, τὴν ἀδελφὴν Πριάμου τὴν Ἡσιόνην. μεθ' ἧς ἐγέννησε τὸν Τεῦκρον. ἐκάλεσε δὲ Τεῦκρον, ἵνα δείξῃ ὅτι ὁ παλαιὸς ἐκεῖνος Τεῦκρος ἦν πρόγονος Πριάμου καὶ Ἡσιόνης. *Bar.* Τὰ πρῶτα] ἤγουν, τὰ τιμιώτατα γέρα. L. B. Ἀριστεύσας] ἤγουν, ἕνεκα τῆς ἀριστείας εἰληφώς.

Καί τοι τοσοῦτόν γ᾽ ἐξεπίστασθαι δοκῶ,
Εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
Κρίνειν ἔμελλε κάρτος ἀριστείας τινὶ,
Οὐκ ἄν τις αὔτ᾽ ἔμαρψεν ἄλλος ἀντ᾽ ἐμοῦ·
Νῦν δ᾽ αὔτ᾽ Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
Ἔπραξαν, ἀνδρὸς τοῦδ᾽ ἀπώσαντες κράτη.
Κεἰ μὴ τόδ᾽ ὄμμα καὶ φρένες διάστροφοι
Γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
Δίκην κατ᾽ ἄλλου φωτὸς ὧδ᾽ ἐψήφισαν,
Νῦν δ᾽ ἡ Διὸς Γοργῶπις ἀδάματος θεὰ
Ἤδη μ᾽ ἐπ᾽ αὐτοῖς χεῖρ᾽ ἐπεντύνοντ᾽ ἐμὴν,
Ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
Ὥστ᾽ ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.

Κεῖνοι

ληφάς. L. 439. Μείω χειρὸς] μείονα καὶ ἐλάττονα τῆς χειρὸς ἐκείνου τοῦ πατρός μου. ἤγουν διὰ τῆς ἐμῆς χειρὸς πράξας, καὶ ποιήσας, καὶ δουλεύσας. *Bar.*

441. Καί τοι τοσοῦτόν γ᾽] ἀντὶ τοῦ τοῦτο. Ἐξεπίστασθαι δοκῶ] γινώσκειν νομίζω. 442. Εἰ ζῶν Ἀχιλλεὺς] χάριεν τὸ διανόημα, ἐπεξιὼν δὲ τὰς ἑαυτοῦ συμφορὰς, καταλέγει πρῶτον τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως· τοῦτο γάρ ἐστι τὸ πρῶτον αὐτὸν λελυπηκός. εἰπὼν δὲ τὰ ἴδια κατορθώματα, διεξῆλθε καὶ ὡς συγγενικὴ αὐτῷ ἡ παρὰ τὸ χαρίον ἀνδραγαθία. 443. Κρίνειν ἔμελλε κάρτος] ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι τινὶ κράτος ἀριστείας. ἤγουν, ἔμελλε κρίνειν τίς ὁ κρατῶν ἐστι διὰ τὰς αὐτοῦ ἀνδραγαθίας. οὐδεὶς ἄλλος κατέσχεν ἂν ταῦτα πρὸ ἐμοῦ ἐν ταῖς ἀριστείαις. 445. Παντουργῷ] πάντα πράττοντι καὶ μηδὲν ὑποστελλομένῳ. πανούργῳ καὶ ἀναιδεῖ. 446. Ἀνδρὸς τοῦδε] δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ. Κράτη] νίκην. 447. Φρένες διάστροφοι] ἤγουν παράφοροι. 448. Γνώμης ἀπῇξαν τῆς ἐμῆς] οἷον, εἰ μὴ διὰ ἔκστασιν τοῦ δέοντος ἐξέπεσον αἱ διάνοιαί μου, οὐκ ἄν ποτε ἄλλου οὕτως ἀδίκως κατεψηφίσαντο. ὡς καὶ παρ᾽ Ὁμήρῳ, Ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο. Ἀπῇξαν δὲ ἀντὶ τοῦ ἀπήγαγον. ἀπεῖρξαν δὲ, ἀντὶ τοῦ ἐκώλυσαν. 449. Ἐψήφισαν] ἐψηφίσαντο. ψηφίζω γὰρ, τὸ λογαριάζω. ψηφίζομαι δὲ, τὸ ψῆφον τίθημι. 450. Ἀδάματος θεὰ] παρθένος, ἄζυγος. 452. Ἔσφηλεν] σφαλῆναι ἐποίησεν.

ΣΧΟΛ.

Atqui hoc saltem pro certo scire videor,
Si vivus Achilles de suis ipse armis
Adjudicaturus esset praestantiam virtutis cuiquam,
Non aliquis ea alius abstulisset me posthabito.
Nunc vero contra Atridae homini impostori
Ea dederunt, viri hujus repudiatis virtutibus.
At nisi oculi mei atque animus transversus
A meo proposito *me* abduxissent, nunquam *posthac*
Sententiam contra quenquam ita decernerent.
Nunc autem Jovis filia, truculenta visu, indomita Dea
Me jam illis manum tendentem
Fefellit, immisso furiali morbo,
Ita ut in istis manum cruentarem pecudibus:

Illi

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 443. Κρίνειν ἔμελλε] μὴ τοῖς ἄλλοις ἀκολουθῶν καὶ αὐτός. τὸ κρίνειν ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι λέγει, ἵνα συντάξῃς τὸ τινί. ἀλλ' εἰδὼς ὡς, κρινεῖ πᾶσιν ὁ δεῖνα τὰ δίκαια, λεγόμενον, τὸν αὐτὸν λογισμὸν ἔχει κἀνταῦθα. 446. Ἔπραξαν] εἴ τις τὸ ἔπραξαν ἀντὶ τοῦ ἔδωκαν λέγει, ἁμαρτάνει. καὶ γὰρ ὃν τρόπον φαμέν, ὅτι ὁ δεῖνα τοὺς νόθους καταβαλὼν ἄρχοντας, τὴν βασιλείαν τῷ δεῖνος παιδὶ πεποίηκε κατὰ νόμους εἰς ταύτην ἁρμόττοντι, οὕτως ἔχει καὶ τοῦτο. ἀπώσαντες γὰρ οἱ Ἀτρεῖδαι τὸν Αἴαντα, Ὀδυσσεῖ τὰ ὅπλα ἐποίησαν. τουτέστιν αὐτὸν κύριον εἶναι τούτων κατέστησαν. 450. Γοργῶπις] καταπληκτική, ἢ τὴν τῆς Γοργοῦς κεφαλήν, δίκην ὀφθαλμοῦ ἐν τῇ ἀσπίδι ἔχουσα.

SCHOL. INED. 441. Καί τοι] τοσοῦτον δοκῶ γινώσκειν. ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε μετὰ κρίσεως διδόναι τινὶ κράτος ἕνεκα ἀριστείας περὶ τῶν ἰδίων ὅπλων, οὐκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτά. Ἄλλοι δὲ συντάσσουσιν οὕτως. καί τοι τοσοῦτόν γε δοκῶ γινώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε κρίνειν, ἤγουν, κρίσιν καὶ ἀγῶνα ποιῆσαι περὶ τῶν ἰδίων ὅπλων διδόναι τινὶ κράτος καὶ βραβεῖον ἕνεκα ἀριστείας αὐτὰ τὰ ὅπλα, οὐκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτά, τὰ ὅπλα δηλονότι. *Bar.* 444. Ἀντ' ἐμοῦ] πρὸ ἐμοῦ. ἤγουν, ἐν προτιμήσει ἐμοῦ τοῦ Αἴαντος. *Bar.*

455. Ἐμοῦ

Κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
Ἐμοῦ μὲν οὐχ ἑκόντος· " εἰ δέ τις θεῶν
" Βλάπτοι, φύγοι γ' ἂν χὠ κακὸς τὸν κρείσσονα.
Καὶ νῦν τί χρὴ δρᾷν, ὅστις ἐμφανῶς θεοῖς
Ἐχθαίρομαι· μισεῖ δέ μ' Ἑλλήνων στρατός·
Ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε.
Πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
Μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
Καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
Γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
Ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
Οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
Πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,

Καὶ

455. Ἐμοῦ μὲν οὐχ ἑκόντος] γράφεται οὐκ ἔχοντος. τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν. πάνυ δὲ γενναίως ἐμμένει τῷ λήμματι. τὸ γὰρ ἐφ' ἑαυτῷ ἀφηρηκέναι φησὶ τοὺς Ἕλληνας, καὶ ἡττῆσθαι οὐχ ὑπ' ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν τοῦ θεοῦ. 456. Φύγοι γ' ἂν] φεύγει τις διωκόμενος ὑπό τινος· φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος· καὶ φεύγει κατηγορούμενος· ἐξέφυγε δὲ, ἀντὶ τοῦ ἐξελύσατο ἑαυτόν. διαφεύγει δέ τι, ὅταν παραδράμῃ διωκόμενον ἢ ὅταν παροραθῇ λαθὸν, ἢ ὅταν κρατηθὲν διολισθήσῃ. 457. Θεοῖς ἐχθαίρομαι] διὰ τὸ πεπλανῆσθαι ὑπὸ τοῦ θεοῦ. ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος τὸ μῖσος, καὶ ἐχθαίρω, τὸ μισῶ, καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι. 460. Ναυλόχους ἕδρας] τὸν ναύσταθμον, ἔνθα αἱ νῆες ἵστανται κατὰ λόχον, τουτέστι κατὰ τάξιν. 461. Περῶ] ἀντὶ τοῦ περάσω. 462. Καὶ ποῖον ὄμμα] αἰσχύνεται ἄνευ ἀριστείων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἐκείνου. δαιμονίως δὲ ἀνθυπάγει αὐτῷ καὶ τὰ τῆς ἀπαλλαγῆς καὶ τοῦτο ἀναλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις. 464. Γυμνὸν φανέντα] ἀντὶ τοῦ ἔρημον. μεγαλοφυῶς δὲ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι. τὸ δὲ γυμνὸν καὶ τὸ ἄτερ, ἐκ παραλλήλου, ἀντὶ τοῦ μεμονωμένον καὶ κεχωρισμένον τῆς ἀριστείας, ἤγουν τοῦ ἕνεκα ἀριστείας γερῶν. 467. Πρὸς ἔρυμα] πρὸς τὸ τεῖχος, ἢ πολίχνιον ἔρυμα.

Illi vero nunc irrident, elapsi
Me quidem invito. " Deorum siquis autem
" Læserit, effugiat etiam ignavus præstantiorem.
Nunc igitur quid oportet me facere, qui manifeste Diis
Invisus sum? oditque me Græcorum exercitus,
Odit & universa Troja, atque hi ipsi campi.
Domumne petens, relictis navium stationibus,
Et solis Atridis, Ægæum mare trajiciam?
At quo vultu patre me sistam coram
Telamone? quomodo me sustinebit unquam aspicere
Nudum apparentem, absq; primis præmiis virtutis,
Quorum ipse obtinuit coronam gloriæ magnam?
Non est res ferenda. at enim profectus
Ad munit. Troum, congressus solus cum solis,
Et

[illegible] τῶ, κ῝ φρέριον, κ῝ πολίχνιον, ταυτόν. Ξυμπεσὼν] συμπεσεῖν τὸ συνελθεῖν εἰς μάχην. προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἐπελθεῖν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 461. Μόνους τ' Ἀτρείδας] τὸ μόνους μὴ οὕτω νόει ὡς ἀπελθόντος αὐτοῦ μόνοι οἱ Ἀτρεῖδαι καταληφθήσονται [illegible] (ἀνόητον γὰρ, τοῦ ἄλλου παρόντος αὐτοῖς στρατοπέδου) ἀλλὰ τοῦτο λέγει, ὡς μόνους αὐτοὺς καταλείψει μὴ τοῦτον ἔχοντας. 465. Ὧν αὐτὸς] μὴ λάβῃς εἰς τὸ ὧν ἔξωθεν τὸ ἀπὸ, ἀλλ' οὕτω λέγε, τῶν ἀριστείων στέφανον, μέγαν ἔσχεν αὐτὸς εὐκλείας κ῝ δόξης. ἔστι δὲ τὸ εὐκλείας πρὸς τὸ στέφανον συναγόμενον. οὐ γὰρ ἕτερός ἐστιν ὁ τῶν ἀριστείων στέφανος, ἀλλ' ἢ εὐκλείας στέφανος. 467. Πρὸς ἔρυμα Τρώων] μέρος [illegible] τῆς Τροίας τείχους σαθρὸν, ὃ φοβούμενοι Τρῶες μὴ πορθηθείη [illegible], ἄνδρας πρὸς τοῦτο συνεχεῖς κατέστησαν φυλακῆς ἕνεκα, [illegible] ἔρυμα.

SCHOL. INED. 461. Περῶ] περάσω τὸ Αἰγαῖον πέλαγος ἐλθεῖν πρὸς τοὺς ἐμοὺς οἴκους; *Bar.* 465. Ὧν αὐτὸς] τουτέστι. ἀφ' ὧν ἀριστείων ὁ Τελαμὼν ἔλαβεν στέφανον δόξης μέγαν. *Bar.*

Καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
Ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράνοιμί που.
Οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
Τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρί,
Μήτοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
" Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
" Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
" Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
" Προσθεῖσα, κἀναθεῖσα τοῦ γε κατθανεῖν;
" Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν,
" Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
" Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
" Τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.
Χο. Οὐδεὶς ἐρεῖ ποθ', ὡς ὑπόβλητον λόγον

Αἴας

469. Ἀλλ' ὧδέ γ' Ἀτρείδας] ἀλλ' εὐφρανθήσονται οἱ Ἀτρεῖδαι ἐάν τι γενναῖον δράσας πρὸς τοὺς Τρῶας ἀποθάνω, ἀγνοοῦντες ὅτι ἑκουσίως γέγονέ μοι ὁ θάνατος. καλῶς δ' οὐκ ἐπήνεγκε τὴν ἀληθῆ δόξαν, ἕως ἂν δράσῃ ἅπερ αὐτὸς ὑπονοεῖ. 470. Οὐκ ἔστι ταῦτα] οὐδέν εἰσι ταῦτα, ἤγουν οὐδὲ τὸ μὴ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν καὶ ἀπιέναι πρὸς τὸν πατέρα, οὔτε μὴν εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν. 472. Μήτοι φύσιν γ' ἄσπλαγχνος] τουτέστιν ἀσθενῆ, καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός. ἄσπλαγχνος δὲ, ἄτολμος, ταπεινὸς, δειλὸς, ψυχρός. σπλάγχνις γὰρ, ἡ καρδία, ἀφ' οὗ καὶ εὔσπλαγχνος ὁ εὐκάρδιος καὶ ἀνδρεῖος. ἄσπλαγχνος δὲ ὁ ἀκάρδιος καὶ δειλός. 473. Τοῦ μακροῦ χρῄζειν βίου] τοῦ ἐπὶ πολὺ ἐκτεινομένης ζωῆς. αἰσχροῦ δὲ εἴδη δ', ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον. 474. Ἐξαλλάσσεται] ὅστις διαλλαγὴν οὐ δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται. 475. Τί γὰρ παρ' ἦμαρ] τί γὰρ ἡμέρα μία ἔχει (προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν) τέρπειν τὸν ἄνθρωπον; 478. Θερμαίνεται] χλιαίνεται, θάλπεται). τὸ γὰρ τοιοῦτον ἐξαπατῶν ἐστιν ἑαυτὸν, ἐν ψευδολογίᾳ διάγοντα. Ἄλλως. θερμαίνεται, ἤγουν θαρρεῖ, καθ' ὃ λέγεται) θάλπον παρ' Ὁμήρῳ τὸ θάρσος, κατ' ἐναντιότητα τοῦ δέους, ὃ ψυχρὸν αὐτὸς λέγει

Et gerens quiddam viro dignum, ita tandem ipse moriar?
At sic quidem Atridis rem fecero gratissimam.
Non hæc sunt facienda. via tentanda est
Ejusmodi, per quam seni ostendam patri
Me animo ignavum ex illo utiq; non esse satum.
" Turpe enim est homini longam expetere vitam,
" Malorum qui nullas unquam vices sentiat.
" Quid enim voluptate præstat diei dies
" Addens *vitæ spatio*, differens mortem?
" Haud ego emerem vilissimo pretio hominem,
" Qui inani spe fovetur:
" Sed aut honeste vivere, aut honeste mori
" Generosum decet. rem totam audiisti.
Cho. Nemo unquam dicet, quod tu fictos sermones
Ajax

λέγει, ψυχρὸν δέος εἶλεν. 479. Ἀλλ' ἢ καλῶς ζῆν] φιλοσόφως τὸ καλὸν ἐν ἀμφοτέροις. 480. Τὸν εὐγενῆ] τὸν μεγαλοπρεπῆ καὶ γενναῖον. εὐγενεῖς γὰρ, ὧν ἡ πατρὶς ἀριφανὴς καὶ τὸ γένος. ἐκ δὲ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς, καὶ γενναῖος· καὶ εὐγενὲς ἦθος, τὸ ἀστεῖον, καὶ πεπαιδευμένον, καὶ ὄγκον ἔχον· καὶ εὐγενὴς ψυχὴ, καὶ εὐγενὴς λόγος. 481. Ὡς ὑπόβλητον λόγον] γνήσια τῆς διανοίας τὰ εἰρημένα, καὶ οὐχ ὑπόβλητα. οἰκεῖα οὖν σαυτοῦ εἶπας· ὅμως γε μὴν παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 470. Οὐκ ἔστι ταῦτα] ἤγουν οὔτε τὸ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα. οὔτε μὴν τὸ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν. 481. Ὑπόβλητον λόγον] (ὑπόβλητα καλεῖ) τὰ νόθα τῶν παίδων, διὰ τὸ ὑπ' αὐτὰς τιθέναι τὰς πλείστας τῶν γυναικῶν ἑτέρων τέκνα μητέρων, ὥστε καταπεῖσαι τοὺς ἑαυτῶν ἄνδρας, γνήσια ἑαυτῶν εἶναι τὰ ὑπ' αὐτὰς κλαυθμυρίζοντα βρέφη. ¶ Σχόλ. Τρικλ. 473. Αἰσχρὸν γὰρ] γνωμικόν. 481. Οὐδεὶς ἐρεῖ] παραμυθία τῶν φίλων Αἴαντος καὶ τῆς αὐτοῦ γυναικός.

SCHOL. INED. 470. Οὐκ ἔστι ταῦτα] ἤγουν οὐκ εἰσὶ ταῦτα ἄξια πραχθῆναι. ἢ μὴ ποιήσω οὕτως. οὐκ εἰσὶ ταῦτα πρέποντα. *Bar.* 473. Αἰσχρὸν] αἰσχρόν ἐστι χρήζειν, ἤγουν, χρείαν ἔχειν μακροῦ βίου, ἄνδρα τινὰ ὄντα ἐν δυστυχίαις, ὅστις μηδεμίαν ἐξαλλαγὴν (δέχεται) τῶν κακῶν δηλονότι. *Bar.* 475 Τί γὰρ παρ' ἦμαρ] ἤγουν, τί γὰρ ἔχει τέρπειν ἡμέρα προσθεῖσα ἑαυτὴν δηλονότι παρ' ἦμαρ. ἤγουν, προστεθεῖσα ἐπὶ ἤματι. καὶ ἀναθεῖσα τοῦ κατθανεῖν. ἤγουν, ἀπολυθεῖσα καὶ ἐλευθερωθεῖσα τοῦ

Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
Παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
Γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.
Τε. Ὦ δέσποτ' Αἴας, " τῆς ἀναγκαίας τύχης
" Οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
Ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
Εἴπερ τινὸς, σθένοντος ἐν πλούτῳ Φρυγῶν·
Νῦν δ' εἰμὶ δούλη· θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
Καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
Τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σὰ,
Καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς,

Εὐνῆς

θανάτου L. B. 477. Οὐκ ἂν βροτὸν] τουτέστιν, οὐκ ἂν ἀγοράσαιμι δι' οὐδενὸς λόγου τὸν ἄνθρωπον ἐκεῖνον. ἤγουν, οὐκ ἂν κρίνω ἄξιον οὐδενὸς λόγου ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις ὑπὸ ματαίων ἐλπίδων εὐφραίνεται. *Bar.* 480. Ἀκήκοας λόγον] τουτέστιν, ὅπερ ἦλθον εἰπεῖν, νῦν εἶπον. *Bar.* 481. Ἀπόβλητοι] ἡμαρτημένοι τοῦ σκοποῦ. *Bar.*

485. Ὦ δέσποτ' Αἴας] Τεχμήσσης ὁ λόγος. οὐ γὰρ δεῖ τὸν χορὸν μηκύνειν τὸν λόγον. μικτὸς δὲ ὁ λόγος, τὸ μὲν γὰρ αὐτοῦ γενναῖον καὶ ἐλευθέριον διὰ τὴν παῤῥησίαν τῆς φύσεως (δούλη γὰρ ἐξ ἀνάγκης γέγονε) τὸ δὲ, συναρμόζον τοῖς καιροῖς, διόλου τὴν φιλοστοργίαν ἐμφαῖνον. καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ, τεχνικῶς ἐπιχειρεῖ, μαλθακώτερόν πως καθιστῶσα τὸν Αἴαντα, δεῖ οὖν αὐτῆς εἶναι τοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παῤῥησιάζεται. Τῆς ἀναγκαίας τύχης] τῆς δυστυχίας. τεχνικῶς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπάσασθαι. διπλῶς δὲ φησι τὸ ἀναγκαῖον. ποτὲ μὲν, ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων (ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμὸν, καὶ τὸ γάλα λευκὸν) ποτὲ δὲ, ὡς ἐπὶ τῶν ἐξ ἀνάγκης γιγνομένων, ὡς καὶ νῦν ἀναγκαίας τύχης τοῦ βίου φησί. 488. Σθένοντος ἐν πλούτῳ, εἴπερ τινος τῶν Φρυγῶν] ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου τινός. 489. Θεοῖς γὰρ] συνίζησις, τὸ δὲ που ἐνεργόν. 490. Καὶ σῇ μάλιστα χειρὶ] τῇ αἰχμαλωτισάσῃ με. 491. Εὖ φρονῶ τὰ σὰ] εὔνους σοι καθίσταμαι, εὖ νοῶ τοῖς σοῖς. Φρονῶ αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐστί· τὸ δὲ εὐφρονῶ, δοτικῇ, ἐνίοτε καὶ αἰτιατικῇ. 492. Καί σ' ἀντιάζω] ἀντὶ τοῦ παρακαλῶ. κάλλιστα δὲ ἀμφοτέροις τοῖς ὅρκοις ἐχρήσατο. μέγιστον γὰρ δικαίωμα τὸ τῆς αὐτῆς ἑστίας ἐπιτυχεῖν, ὁπότε

καὶ

Ajax locutus es, sed ex tua ipsius mente profectos.
Reprime te tamen, & da hoc amicis,
Ut tuam vincant sententiam, curis hisce omissis.

Tec. O here Ajax, " necessitate fortunæ
" Non est aliud majus hominibus malum:
Ego enim ex patre quidem nata sum libero,
Pollente opibus, si quo alio Phrygum;
Nunc vero serva sum: sic enim Diis visum est scilicet,
Et tuæ maxime virtuti. proinde ex quo
Ad lectum tuum tori consors veni, benevola studeo tuis rebus.
Quapropter te obtestor, perq; Jovem Ephestium

Per-

καὶ τῶν πολεμίων φειδόμεθα διὰ ταῦτα· καὶ τὸ σεμνὸν τῆς κοίτης χρήσιμον, ὅπου γε καὶ τὸ σεμνότατον τῶν προσώπων περὶ δικαιωμάτων τῶν πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τοῦτο ὄμνυσι, Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος. ὅρα δὲ ὅτι ἑκατέρωθεν θηλύνεις ὁ τοιοῦτος λόγος πρόσκειται. ἐπὶ δὲ τοῦ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρεν, Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο, τὴν εὔνοιαν δηλῶν τῶν οὕτως συνιόντων ἐπιμονῇ παιδοποιΐας. Ἐφεστίου Διὸς] ἀντὶ τοῦ συνοίκου. οἱ μὲν γὰρ συνοικοῦντες τὸν ἐφέστιον Δία προτείνουσιν· οἱ δὲ φίλοι, τὸν φίλιον· οἱ δὲ ἐν τῇ μιᾷ τάξει καταλεγόμενοι καὶ μιᾷ συμμορίᾳ, ἑταιρεῖον· οἱ δὲ ξένοι, ξένιον. οἱ δὲ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον. οἱ δὲ δεόμενοι, ἱκέσιον· οἱ δὲ ἀδελφοὶ, ὁμόγνιον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 485. Ὦ δέσποτ' Αἴας] ταῦτα ἐκ τῶν Ὁμήρου μεμίμηνται, ὅτε Ἀνδρομάχη πρὸς τὸν ἴδιον ἄνδρα Ἕκτορα εἰς πόλεμον ἐξερχόμενον δυσπαθοῦσα ἐπεχείρει κάμπτειν εἰς ἔλεον, καὶ τῆς ὁρμῆς ἐπισχεῖν. 491. Τὸ σὸν λέχος ξυνῆλθον] τὸ ξυνῆλθον ἀπορίαν τινὰ ἔχει, διὰ τὸ δοκεῖν πρὸς αἰτιατικὴν συντάσσεσθαι. τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, συνῆλθον τὴν σὴν οἰκίαν, ἀντὶ τοῦ σὺν σοὶ τὸν οἶκον ᾤκησα. ἔννοιαν γὰρ κοινωνίας ἡ σὺν παρίστησιν, εἰ καὶ μὴ τὸ τὴν κοινωνίαν ποιοῦν δείκνυσι πρόσωπον. οὕτω δὴ κἀνταῦθα, συνῆλθον τὸ σὸν λέχος, ἤγουν, μετὰ σοῦ τὴν σὴν κοίτην ἦλθον, καὶ κοινωνόν με ταύτης πεποίησαι. ἢ τὸ κατὰ πρὸς τὸ λέχος ἔξωθεν λάμβανε, οὕτω, συνῆλθόν σοι κατὰ τὸ σὸν λέχος, ἤγουν, ὥν σοι κατέστην οὐ δούλη, ἀλλὰ γυνὴ εἶναί σοι. τὸ δὲ τοιγαροῦν ἀντὶ τοῦ ἀληθῶς, τό σοι ἁρμόττον σπουδάζω, καὶ κάλλιστα τῶν σῶν φροντίζω.

SCHOL. INED. 483. Παῦσαι] Τοῦ φονεῦσαι σαυτόν.

Bar.

Εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί,
Μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
Τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἀφείς τινί.
Ἣν γὰρ θάνῃς σύ, καὶ τελευτήσας ἀφῇς,
Ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
Βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
Ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
Καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ,
Λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυε στρατοῦ,
Οἵας λατρείας, ἀνθ' ὅσου ζήλου τρέφει.
Τοιαῦτ' ἐρεῖ τις· κἀμὲ μὲν δαίμων ἐλᾷ,

Σοὶ

Bar. 487. Ἐγὼ δ'] ἐγὼ δὲ ἐξ ἐλευθέρου πατρὸς μὲν ἐγεννήθην, δυνατοῦ ἐν πλούτῳ, εἴπερ εἴποις, καὶ περί τινος ἄλλου σθένοντος ἐν πλούτῳ, ἀπὸ τῶν Φρυγῶν. *Bar.* 490. Χειρὶ] ἀντὶ τοῦ ἰσχύϊ καὶ δυνάμει. *Bar.* 492. Ἀντιάζω Διὸς] ἀντὶ παρακαλῶ, καὶ ἕνεκα τοῦ Διὸς τοῦ ἐφεστίου, ἤγουν τοῦ ἐφόρου τῶν συνοίκων. *Bar.*

493. Συνηλλάχθης] συναλλαγὰς ἔχεις, γάμῳ συνεζεύχθης, συνηρμόσθης. ὅθεν καὶ συνάλλαγμα. 495. Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν] ἡ ὑπὸ πρὸς τὸ χειρίαν. ὑποχειρίαν δοὺς τινι τῶν ἐχθρῶν σου. εἰδυῖα δὲ ἀγριαίνοντα τὸν Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαῤῥήδην μὲν οὔ φησι, μὴ διάφθειρε σαυτόν· στοχαζομένη δὲ τοῦ καιροῦ, ἔξωθεν περιέρχεται, τὰ ἐπακολουθοῦντα λέγουσα. ὅτι ὑποχειρίαν με τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις. 496. Τελευτήσας] τὸν βίον δηλονότι. τελευτῶ τὸ ἔργον, καὶ τελευτῶ ἀντὶ τοῦ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακούεται τὸν βίον, ἵν' ᾖ τελευτῶ τὸν βίον, ἤγουν τελευτῶ καὶ καταστρέφω τὸ αὐτό. ἔστι δὲ τὸ τελευτῶ καὶ τὸ καταστρέφω, ἔστι δὲ καὶ τὸ μεταλλάττω τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνήσκειν. 497. Ταύτῃ] ἀντὶ τοῦ οὕτως, κατὰ τοῦτον τὸν τρόπον. 499. Δουλίαν ἕξειν τροφὴν] οὐ ψιλὸν τὸ τῆς δουλείας εἶπεν, ἀλλὰ καὶ ὅσα ἔνεστιν εἰπεῖν τινα ἰδόντα αὐτὸν ἐν δουλείᾳ, καὶ ἡ τοιαύτη δὲ διδασκαλία Ὁμήρου, Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα. ἀποστρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων. 501. Λόγοις ἰάπτων] γράφεται ἀτίζων, ὑβρίζων παρὰ

Perque thalamum tuum, quo conjunctus es mihi,
Ne me finas sermones asperos pati
Tuis ab hostibus, captivam eorum alicui relictam.
Si enim tu obieris, & defunctus *me* deserueris,
Ea existima me quoque ipsa tum die,
Vi correptam ab Argivis,
Una cum filio tuo servilem habituram esse victum.
Et forsan aliquis dominorum amarum in me verbum jaciet
Dictis perstringens: videte conjugem
Ajacis, qui viribus omnes in exercitu præstitit,
Pro qua invidenda sorte, qualia habet servitia.
Talia dicet aliquis; & me quidem malus in hæc impellet genius,

Tibi

ρα τὸ Ὁμηρικόν, Ἕκτορος ἥδε γυνή. 503. Τρέφει] αὔξει, ἔχει. 504. Δαίμων ἐλᾷ] δαίμων νῦν, ἡ δουλεία. ἢ ἡ δυστυχία. ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσει, εἰς ταῦτα δηλονότι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 499 Δουλίαν] τὸ δουλίαν διὰ τοῦ υ μέτρου χάριν ἰωτογραφεῖται, καὶ ἔστιν Ἰωνικῆς διαλέκτου, ὡς καὶ τὸ προμηθίαν, καὶ ἀληθίαν, καὶ τὰ τοιαῦτα. οἱ δὲ διὰ διφθόγγου αὐτὸ γράφοντες, καὶ ἔτι οἱ δουλείαν λέγοντες, οὐ καλῶς γράφουσιν.

SCHOL. INED. 493. Συνηλλάχθης] Συνῆλθες, συνεμίχθης. *Bar.* 498. Βίᾳ ξυναρπασθεῖσαν] ἤγουν βιαίως ἐμοῦ ὑπὸ τῶν Ἀργείων ἁρπασθεῖσαν κατὰ δυναστείαν. L. B. 501. Ἰάπτων] ἤγουν, βάλλων. ἐμοῦ δὲ ἀντὶ τοῦ λοιδορῶν. L. B. βλάπτων καὶ κακολογῶν ἐμὲ δηλονότι. *Bar.* Ὁμευνέτιν] τὴν ὁμόκοιτον. *Bar.* 502. Ἴσχυσε] Ἐδύνατο. Στρατοῦ] τῶν Ἑλλήνων δηλονότι. *Bar.* 503. Οἵας λατρείας] αἰτιατικὴ τῶν πληθυντικῶν. δουλείας. Ζήλου] ἤγουν μακαρισμοῦ, εὐδαιμονίας. L. B. Τρέφει] ἤγουν, αὔξει. L. B.

505. Σοὶ

Σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα, καὶ τῷ σῷ γένει.
Ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν, ἐν λυγρῷ
Γήρᾳ προλείπων· αἴδεσαι δὲ μητέρα
Πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
Θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
Οἴκτειρε δ', ὦ 'ναξ, παῖδα τὸν σὸν, εἰ νέας
Τροφῆς στερηθεὶς, σοῦ διοίσεται μόνος
Ὑπ' ὀρφανιστῶν, μὴ φίλων. ὅσον κακὸν
Κείνῳ τε κἀμοὶ τοῦθ', ὅταν θάνῃς, νεμεῖς.
Ἐμοὶ γὰρ οὐκέτ' ἐστὶν εἰς ὅ, τι βλέπω,
Πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ' ᾔστωσας δορὶ,
Καὶ μητέρ', ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με

Καθεῖ-

505. Σοὶ δ' αἰσχρὰ τἄπη] Καὶ διὰ τὴν εὐγένειαν, καὶ διὰ τὴν ἀνδρίαν. διὰ μὲν τοῦ σοὶ, τὴν ἀνδρίαν. διὰ τοῦ τῷ σῷ γένει τὴν εὐγένειαν, τοὺς προγόνους. θαυμαστῶς δὲ ἡ προσθήκη τοῦ γένους. αἶσχος γὰρ προσείψῃ καὶ τῷ υἱῷ, ἐπὶ τοιούτοις αὐτὸν καταλείπων. 506. Ἀλλ' αἴδεσαι μὲν] καλῶς ἐπὶ τοῦ πατρὸς, ἐν γήρᾳ μακρῷ· ἐπὶ δὲ τῆς μητρὸς, πολλῶν ἐτῶν κληροῦχον. ὁ γὰρ ἐπ' ἀμφοτέρων ἑνὶ χρησάμενος ὀνόματι, ἐπιτεμνόμενός ἐστι τὸν λόγον. τὸ δὲ ἐγχρονίζειν ταῖς διηγήσεσιν, ἀνυστικώτερον. θαυμαστῶς δὲ, ἐπὶ μὲν ἑαυτῆς οὐδαμοῦ τοῖς τοιούτοις ὀνόμασι χρῆται, οὔτε αἰδέσθητι, οὔτε οἴκτειρε· ἐπὶ δὲ τῶν γονέων καὶ τοῦ παιδός. 508. Κληροῦχον] μέτοχον. κεκληρωμένην. κλῆρον ἐσχηκυῖαν. κληρούχους καὶ τοὺς γεωργοὺς φησὶν Ἡρόδοτος, κληροῦχοι καὶ οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις, ἃς ἐλάμβανον, κλήρους ἑκάστῳ διανέμοντες. Ἥ σε πολλάκις] τοῦτο οἰκείως ἐκ τῆς φύσεως στοχαζομένη παρέλαβεν. 510. Εἰ νέας] εἰ τῆς νέας τροφῆς σοῦ χωρεὶς διάξει καὶ βιώσεται. τροφῆς δὲ, ἀντὶ τῆς ἀνατροφῆς. λέγει δὲ ἀνατροφὴν, ἣν ἀνατρέφουσιν αὐτὸν ἄλλοι. 512. Ὑπ' ὀρφανιστῶν] ὀρφανισταί εἰσιν οἱ τοὺς ὀρφανοὺς τρέφοντες. Ἐλλείψας οὖν φησὶν οὐ φίλους ὀρφανιστὰς, καθὸ δυσμενεῖς. ἢ ὀρφανισταὶ, ἀρχὴ Ἀθήνησιν τὰ τῶν ὀρφανῶν κρίνουσα. ἢ ὀρφανιστῶν τῶν τῆς ὀρφανίας ἐπιτρόπων. ὀρφανὸς δὲ ὁ ὄρον ἔχων τὸ οὐ φαίνεσθαι· ὁ ἄσημος καὶ μηκέτι ἐμφανής. ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν ὡς ἐμφανῶν ἐλαύνεται. χηρωσταὶ δὲ οἱ τῶν χηρῶν ἐπίτροποι. 514. Ἐμοὶ γὰρ οὐκέτ'] καὶ τοῦτο Ὁμηρικὸν, οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ· εἶτα ἑξῆς, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότ-

νια

Tibi autem & tuo generi hæc *dicta* dedecori *erunt.*
At reverere, quæso, patrem tuum, tristi
Senio *conflictantem* præmature linquens: reverere matrem
Multos jam annos sortitam, quæ sæpe
Deos precatur, ut tu salvus domum redeas.
Miserere etiam, O Rex, filii tui, si puerili
Educatione destitutus, te *patre* deseretur orbus
Sub tutoribus *tibi* non amicis. quantum mali
Illique & mihi hoc, si morieris, relinques?
Nam mihi quidem nihil est, quo respiciam
Præter te. Tu enim mihi patriam delevisti bello,
Et matrem; at Parca genitorem meum
Abri-

να μήτηρ. 515. Ἤϊςωσας] ἠφάνισας. ἀϊςῶ, τὸ πεπλανηκὸς ἐγείρω· ἀϊςόω δὲ ἀϊςῶ, τὸ ἀφανίζω, ἀπὸ τοῦ ςερητικοῦ α, καὶ τοῦ ἴσημι, ποιητικῶς τὸ γινώσκω. ἄϊςος, ἀφανὴς γεγονὼς καὶ ἐκπεπληγμένος τῆς μνήμης, καὶ ἀπὸ τούτου ἀϊςόω ἀϊςῶ, ῥῆμα. 516. Ἀλλ' ἡ μοῖρα] ὡς τούτου ἰδίῳ θανάτῳ τε τελευτηκότος. τὸ δὲ ἀλλὰ, ἀντὶ τοῦ δὴ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 512. Ὀρφανιςῶν] ἤγουν κακῶν οὓς οὐδεὶς ἂν φιλήσῃ, καὶ μάλιστα ὁ ἐπιτροπευόμενος, ὡς μὴ προσηκόντως ἐπιμελουμένους.

SCHOL. INED. 507. Γῆρᾳ προλ.] ὅρα ἦθος λόγων γυναικείων, καὶ ἱκεσίας οἰκτρᾶς παράκλησιν. *Bar.* 509. Ἀρᾶται] Δέεται καὶ εὔχεται, εὔχομαι τῷ Θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιῶ. L. B. Μολεῖν] ἐλθεῖν. L. *Bar.* 510. Οἴκτειρε] οἴκτειρε, ὦ ἄναξ, τὸν σὸν παῖδα, ὅςις τόρα ςερηθεὶς τῆς παιδικῆς ἀνατροφῆς, ἤγουν τῆς γαλακτοτροφήσεως, χωρισθήσεται μόνος σοῦ θανόντος δηλονότι, ὑπὸ ὀρφανιςῶν μὴ φίλων, ἀλλ' ἐχθρῶν ἴσως, *Bar.* Παῖδα] Εὐρυσάκην. *Bar.* 512. Ὑπ' ὀρφανιςῶν] Ὁ νοῦς οὗτος. σοῦ τοῦ Αἴαντος θανόντος, οἱ ὀρφανιςαὶ οὐκ ἐάσουσι τὸν Εὐρυσάκην εἶναι σὺν ἐμοί. ἀλλὰ διοίσουσιν αὐτὸν μόνον. *Bar.* 514. Ὅ, τι βλέπω] ἄλλο βιώσιμον καὶ εὐφρόσυνον. *Bar.* 515. Πατρίδ' ἤϊςωσας δορὶ] τὴν πατρίδα μου ἠφάνισας ἐν πολέμῳ. *Bar.* 516. Μοῖρα] ἤγουν, ὁ κοινὸς θάνατος. ἡ τύχη. Φύσαντά με] τὸν γεννήτορα καὶ πατέρα δηλονότι. *Bar.* Ἄλλοι δὲ τὴν σύνταξιν οὕτω ποιοῦσιν· ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με καθεῖλε, καὶ ἐποίησεν αὐτὸν καὶ τὴν ἐμὴν μητέρα, θανασίμους καὶ νεκροὺς οἰκήτορας τοῦ ᾅδου. *Bar.*

Καθεῖλεν ᾅδου θανασίμους οἰκήτορας.
Τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;
Τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι.
Ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. " ἀνδρί τοι χρεὼν
" Μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
" Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
" Ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
" Οὐκ ἂν γένοιτό ποθ' οὗτος εὐγενὴς ἀνήρ.
Χο. Αἴας, ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ
Θέλοιμ' ἄν. αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.
Αι. Καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
Ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
Τε. Ἀλλ' ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.
Αι. Κόμιζε νῦν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.
Τε. Καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.

Αι.

517. Θανασίμους] ἀντὶ τοῦ νεκρούς, ἢ ποιητικοὺς θανάτου. 519. Ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι] ὥσπερ ἐὰν ἐσωζόμην ἐν πᾶσι, σώζομαι ἐν σοί. σώζεσθαι δέ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτοῦ ᾖ, ὡς σωζομένου αὐτοῦ σώζεσθαι, ἀπολωλότος δὲ, συναπόλλυσθαι. 520. Ἀλλ' ἴσχε κἀμοῦ] καλῶς τὸ κἀμοῦ οἷον, μετὰ τὸν πατέρα καὶ τὸν υἱὸν, καὶ ἐμὲ ἔν τινι μοίρᾳ κατάθου. αἰσθάνεται γὰρ τῆς τύχης ἐν ᾗ νῦν ἐστιν. αἰδημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τὰ τῆς εὐνῆς. διὰ τοῦτο γὰρ μάλιστα δοκεῖ αὐτὸν πείσειν. ὁ δέ γε Εὐριπίδης μαστρωπικώτατα εἰσάγει τὴν Ἑκάβην λέγουσαν, Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ; Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων Χάριν τίν' ἕξει παῖς ἐμὴ, κείνης δ' ἐγώ; 521. Τερπνὸν] τὸ τέρψιν ποιοῦν. χαροποιὸν δὲ τὸ χαρὰν ἔχον, οἷον, χαροποιὸν ὄμμα. 522. Χάρις χάριν γάρ ἐστιν] ἡ φύουσα γὰρ τὴν χάριν, χάρις ἐστὶ προυπάρξασα. 523. Ὅτου δ' ἀπορρεῖ μνῆστις] ἡ μνήμη τοῦ εὖ πεπονθέναι. οὗτος οὐκ ἂν εἴη εὐγενής. σχεδὸν δὲ διὰ τούτων τῶν ἰάμβων ἤρτηται τὸ περὶ εὐχαριστίας καὶ ἀχαριστίας. 525. Ἔχειν σ' ἂν οἶκτον] ἔλεον. δυσωπητικὰ δὲ τὰ τοιαῦτα. εἰ γὰρ ὁ ξένος ᾤκτειρε, πόσῳ μᾶλλον ὁ Αἴας; 527. Καὶ κάρτ' ἐπαίνου] οὐχὶ καθ' ἃ εἶπεν. ἀλλ', ἐὰν πείθηται κατὰ πάντα ἐμοί. ὁ γὰρ Αἴας,

ἐγνωκὼς

Abripuit infra ad Orci mortuos incolas.
Quæ mihi posthac pro te patria fiat?
Quæ opes? in te enim omnis mea salus est.
At retine & mei memoriam: " decet quippe viro
" Memoriam adesse, sicunde grati quid perceperit:
" Gratia enim est *ea*, quæ semper parit gratiam.
" Cuicunq; vero excidit beneficii accepti memoria,
" Is neutiquam fuerit generosus vir.

Cho. Ajax eam animo habeas misericordiam, quam ego,
Optem quidem; sic enim laudares hæc illius dicta.

Aj. Ingentem etiam laudem consequetur a me certe,
Si modo id quod jussero audet strenue exsequi.

Tec. At, O care Ajax, omnia tibi parebo.

Aj. Adfer mihi ergo puerum meum, ut videam.

Tec. Atqui propter metum ipsum ablegaveram.

Aj.

κῶς ἑαυτὸν ἀποσφάττειν, ἐβούλετο πρὸ τοῦ θανάτου τὸν παῖδα ἰδεῖν. εἰκότως οὖν τοῦτο πάλιν λέγει, ὅτι ἄριστόν ἐστι τὴν γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί. ἔοικε γὰρ ὑφορᾶσθαι ὅτι ὀκνηρῶς ἐκδώσει τὸ παιδίον. 531. Καὶ μὴν φόβοισί γ' αὐτὸν] τοῦ φόβου χάριν, ῥύσασθαι θέλουσα ἐξήγαγον. οὐκ ἄντικρυς μὲν ἀντιλέγει, ἀναβολὰς δὲ πλάττεται, ὡς ὑποκεκινηκότι μὴ πιστεύουσα. λέγει δὲ, καὶ μὴν ἐξελυσάμην αὐτὸν, εἰς τοῦτο δηλονότι ἵνα σὺ ὁρᾷς αὐτόν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 524. Οὐκ ἂν] ἤγουν οὐκ ἂν εἰς τὸ ἑξῆς οὗτος γενναῖος νομισθείη. ἔστι γὰρ τοῦτο ἀγνώμονος. 526. Αἰνοίης γὰρ ἄν] ἤγουν ἐπαινοίης ἄν, εἰ συμπαθῶς καὶ μετὰ τοῦ πράου εἰς λέγειν προσενεχθείης, τοῦ σκληροῦ καὶ ἀνενδότου χαλάσας.

SCHOL. INED. 517. Καθεῖλεν] κατέβαλεν, κατεβίβασεν. *Bar.* 519. Σώζομαι] τουτέστι, φυλάττομαι, καὶ σκέπομαι. *Bar.* 523. Ὅτου εὖ πεπονθότος] τουτέστι, οὗτινος ἐπιλήθεται ἡ μνήμη εὖ παθόντος. *Bar.* οὗτος ἀπόλλυται, ἤγουν, ἀφ' οὗ ῥεῖ μνήμη ἡ μνεία εὖ παθόντος. L. B. 525. Ἔχειν σ' ἂν φρενὶ] ἀντὶ τοῦ, δεῖ σε ἔχειν οἶκτον ἐπὶ τῷ παιδὶ καὶ τῇ τεκούσῃ, ὡς κἀγὼ ἐν τῇ ψυχῇ. *Bar.* 531. Φόβοισι] ἀντὶ τοῦ ἐπὶ τοῖς φόβοις. τουτέστι, διὰ τοὺς φόβους. L. B.

Αι. Ἐν τοῖς δὲ τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
Τε. Μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.
Αι. Πρέπον γέ τ' ἦν ἂν δαίμονος τοῦ 'μοῦ τόδε.
Τε. Ἀλλ' οὖν ἐγὼ φύλαξα, τοῦτό γ' ἀρκέσαι.
Αι. Ἐπῄνεσ' ἔργον, καὶ πρόνοιαν ἣν ἔθου.
Τε. Τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
Αι. Δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ' ἰδεῖν.
Τε. Καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
Αι. Τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
Τε. Ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
Ἄγ' αὐτὸν, ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
Αι. Ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
Τε. Καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
Αι. Αἶρ' αὐτὸν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ
Νεοσφαγῆ τοῦτόν γε προσλεύσσων φόνον,

Εἴπερ

534. Πρέπον γέ τ' ἦν ἂν] ἦν καὶ τοῦτο τοῦ ἐμοῦ δαίμονος, τὸ ὑπ' ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι. ἀντὶ τοῦ ἔπρεπε τῇ παρούσῃ μου τύχῃ, καὶ τὸ αὐτόχειρά με τοῦ παιδὸς κατεσκευάσαι. 535. Τοῦτό γ' ἀρκέσαι] εἰς τοῦτο ἀρκέσαι. τῷ παιδὶ ὑπηρετῆσαι, καὶ ἀποσοβῆσαι τὸ θανεῖν. 536. Ἐπῄνεσα] ἀντὶ τοῦ ἐπαινῶ. 537. Τί δῆτ' ἂν] τί σε (φησὶν) ἐκ τῶν παρόντων ὠφέλησα; καὶ τί βούλει σοι γενέσθαι; ὠφελοίμην ἔδει εἰπεῖν. ποιητικῇ δὲ ἀδείᾳ οὕτως οὕτω χρῆται τοῖς εὐκτικοῖς, Ἐκ τῶν δὲ] κατὰ τὰ μετὰ ταῦτα. 538. Προσειπεῖν] προσφθέγξασθαι. ἀσπάζεσθαι λόγοις. 540. Μὴ οὐ παρουσίαν ἔχειν] ἤτοι παρεῖναι. 542. Εὐθύνων κυρεῖς] ἤγουν διδάσκεις, παιδεύεις, κυβερνᾷς. δεῦρο ἄγε αὐτὸν ὅστις ἀπὸ τῶν προσπόλων κυβερνᾷς αὐτὸν ταῖς χερσίν. 543. Ἕρποντι φωνεῖς] ἐγγὺς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως. ἤγουν οὐκ ἀκούοντι 545. Αἶρε δεῦρο] ἀντὶ τοῦ πρόσφερε. ὡς τὸ, Μή μοι οἶνον ἄειρε. 546. Φόνον] τὰ πλάσματα τῶν πεφονευμένων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 535. Τοῦτό γ' ἀρκέσαι] μὴ λάβῃς εἰς τὸ

τοῦτο

Aj. In hisce meis malis? an aliud mihi narras?

Tec. Necubi miser tibi forte obviam factus moreretur.

Aj. Conveniens hoc scilicet & meæ fortunæ fuit.

Tec. Itaque ego intenta fui hoc ut præstarem.

Aj. Laudo factum & providentiam, qua usus es.

Tec. Quid igitur post hæc tibi prodesse queam?

Aj. Da mihi ut eum alloqui, coramque cernere possim.

Tec. At sane prope à ministris servatur.

Aj. Quid ergo cunctatur se præsentem sistere?

Tec. O gnate, pater te vocat, huc famulorum
Affer ipsum, quisquis manibus hunc eum regis.

Aj. Venientem compellas? an qui vocem nequit sequi?

Tec. Imo e propinquo jam minister huc gerit.

Aj. Adfer hunc, adfer huc, non enim expavescet
Intuens hanc recentem *pecorum* cædem,

Siqui-

τοῦτο ἔξωθεν κατά. 537. Ὠφελοίμι σε] ὠφελοίην ἂν εἰπεῖν, ποιητικῇ δὲ ἀδείᾳ οὕτω χρῆται τοῖς εὐκτικοῖς. 538. Ἐμφανῆ τ' ἰδεῖν.] ἐμφανῶς δεῖν εἰπεῖν, πρὸς τὸ αὐτὸν ἤγαγον.

SCHOL. INED. 532. Ἐν τοῖς δὲ τοῖς κακ.] ἤγουν, εἶπος τῶν δὲ τῶν ἐμῶν δηλονότι κακῶν λέγεις, ἢ τί ἄλλο δηλονότι λέγεις; L. B. 535. Τοῦτό γ' ἀρκέσαι] ἀντὶ τοῦ, κατὰ τοῦτο ἐπαρκέσαι, ἤγουν ὑπηρετῆσαι. L.B. 537. Τί δῆτ' ἂν] ἤγουν, κατὰ τί, ἢ τί δῆτα ἂν ἴσως, ἐκ τοῦ φέρειν τὸν παῖδα πρὸς σὲ, ὠφελοίμι σε; τουτέστι, τίνα ὠφέλειαν ἕξεις, ἐκ τοῦ φέρειν τὸν παῖδα πρὸς σέ; *Bar.* 540. Μέλλει ἔχειν] Ἀργεῖ καὶ βραδύνει, ὥστε μὴ παρουσίαν ἔχειν; τουτέστιν, ὥστε μὴ παρεῖναι. *Bar.* 543. Ἕρποντι] ὁ νοῦς οὗτος ἐστί. ἐρχομένῳ τῷ Εὐρυσάκῃ λαλεῖς, ἢ λειπομένῳ τοῦ λόγου; ἤγουν, μὴ ἀκούοντι τοῦ σοῦ λόγου. ἤγουν ἔνδειαν ἔχοντι τοῦ λόγου. L. B. *Bar.* 545. Αἶρ' αὐτὸν] κόμιζε, πρόσφερε τὸν Εὐρυσάκην, πρόσφερε ἐνταῦθα. Ταρβήσει] ἤγουν, φοβηθήσεται. B. L. *Bar.*

547. Εἴπερ

Εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
Δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν.
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
Τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός,
Καί τοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
Ὁθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
" Ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιστος βίος.
" Τὸ μὴ φρονεῖν γὰρ, κάρτ' ἀνώδυνον κακόν,
" Ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
Ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ', ὅπως πατρὸς
Δείξῃς ἐν ἐχθροῖς οἷος ἐξ οἵου τράφης.

Τέως

547. Εἴπερ δικαίως ἔσ' ἐμός] εἴπερ ἐστὶν ἐμοῦ, ὡς εὐλαβηθέντος τε τοῦ φόνου τῶν ποιμνίων. Τὰ πατρόθεν] ἤγουν τὰ ἐκ πατρὸς ἰδιώματα· λέγω δὲ ἀνδρίαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς. ἤγουν, εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱὸς, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἀληθῶς. 548. Ἀλλ' αὐτίκ' ὠμοῖς] νῦν τὸ ὠμοῖς ὡς κατὰ τῶν καρπῶν. ὅτε εἰσὶν ὠμοὶ, σκληρότεροί εἰσι καὶ ἰταμοί. μεγαλοφρονῶν δὲ, νόμους τὴν φύσιν ὠνόμασε καὶ τὸ ἔθος τοῦ γεγεννηκότος. 549. Πωλοδαμνεῖν] ὡς πῶλον γυμνάζειν. πωλοδαμνεῖν ἐπὶ τῶν ἀλόγων λέγεται κυρίως. ἐπὶ δὲ ἀνθρώπων, τὸ παιδαγωγεῖν καὶ παιδοτριβεῖν, ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαΐουλος. 550 Ὦ παῖ, γένοιο] μέτριος ὁ λόγος. ἡ δὲ ὁμοία εὐχὴ καὶ παρ' Ὁμήρῳ. Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόνδε γενέσθαι Παῖδ' ἐμὸν ὡς καὶ ἐγώ. 552. Καί τοι σε καὶ νῦν] ἐπειδὴ κατεύχεται αὐτῷ εὐτυχίαν, φησὶν ὅτι, καὶ νῦν σε μακαρίζω, ὅτι μικρὸς ὢν οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν. Ζηλοῦν] μακαρίζειν. 554. Ἐν τῷ φρονεῖν γὰρ μηδὲν] ἐν τῷ μηδενὸς αἰσθάνεσθαι, μήτε λυπηροῦ, μήτε ἡδέος. ἤτοι, ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν: ἐπεὶ ἔσται γελοιότατον δόγμα ὡς τιμῶντος τὴν ἀφροσύνην. 555. Τὸ μὴ φρονεῖν γὰρ] δεῖ λαβεῖν τοῦτο ὡς ἐπὶ παιδίου. οὐ γὰρ καθόλου τὴν ἀφροσύνην προκρίνει. ὁ δὲ νοῦς, ἐν τῷ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν, κακὸν δὲ ὅμως ἀνώδυνον. καὶ Εὐριπίδης, Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ. τάχιστα δὲ διὰ τῶν ἑξῆς ἐσήμανε τὸ συνεκτικὸν καὶ ὥσπερεὶ σύμ-

βολον

Siquidem vere meus eſt à paterna origine.
Sed ſtatim ipſum ad ſeveros mores patris
Oportet tenerum fingi, & ſimilem fieri natura.
O nate, patre fortunatior fias,
Cætera ſimilis, ita eris non malus.
Sed & nunc ob hoc te, quod beatum prædicem, habeo,
Quod nihil horum adhuc ſentis malorum.
" Nil ſapere enim facit vitam dulciſſimam,
" Nil ſapere enim omnino doloris expers eſt malum,
" Donec gaudere & triſtari didiceris.
Cum autem huc ætatis veneris, oportet te
Inter hoſtes oſtendere, qualis ex quali patre
Eductus

βολον τῆς φρονήσεως· τὸ γὰρ διακριτικὸν τῶν χαρτῶν καὶ τῶν λυπηρῶν, συνετοῦ ἐστι. 557. Δεῖ σ' ὅπως] ἀντὶ τοῦ δεῖ σε ἐνδείξασθαι τὸν πατέρα. τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον, οὐδέποτε κατὰ τοὺς Ἀττικοὺς ὑποτάσσεται. ἀντὶ γὰρ τοῦ πῶς κεῖται. 558. Οἷος ἐξ οἵου τράφης] οὐ πρὸς τὸ ἐξ οἵου λέγεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος ἐτράφης: τὸ δὲ ἐξ οἵου, ἀντὶ τοῦ ἐξ οἵου πατρὸς δηλονότι γεγονώς. τὸ πᾶν, οἷος ἀνετράφης ἐξ οἵου πατρὸς ὤν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 547. Τὰ πατρόθεν] ἤγουν τὰ ἐκ πατρὸς ἰδιώματα. λέγω δὴ ἀνδρίαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς. ἤγουν, εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμός ἐστιν υἱὸς, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἀληθῶς. 555. Κάρτ' ἀνώδυνον] κακὸν μὲν, διὰ τὸ δίκην ἀλόγου ζώου τὰ νήπια ζῆν, καὶ τὸ οἰκεῖον κακὸν ὡς ἥδιστον πολλάκις αἱρεῖσθαι, ξίφος λέγω καὶ πῦρ, καὶ κρημνὸν, καὶ τὰ τοιαῦτα. ἀνώδυνον δὲ, διὰ τὸ μηδενὸς δυσχερῆς ἐπαισθάνεσθαι, καὶ τῇ ἐντεῦθεν τήκεσθαι λύπῃ. ¶ Σχόλ. Τρικλ. 550. Ὦ παῖ, γένοιο] παραίνεσις Αἴαντος πρὸς τὸν ἑαυτοῦ παῖδα, καὶ λόγοι συντακτήριοι πρὸ τῆς αὐτοῦ τελευτῆς. 554. Ἐν τῷ φρονεῖν] γνωμικόν.

SCHOL. INED. 547. Εἴπερ δικ.] εἴπερ ἐστὶν ἐμὸς υἱὸς δηλονότι, ἤγουν, ὅμοιος ἐμοὶ καθὰ ἀπαιτεῖ τὸ δίκαιον. L. B. 548. Ἀλλ' αὐτίκ' ὠμοῖς τουτέστιν, ἀλλ' ἐκπαιδευθῆναι ἐν ἀγρίοις, σιδαροῖς, ἀνδρείοις τὸν Εὐρυσάκην ἤθεσιν ἐμοῦ τοῦ πατρὸς ἐκείνου, χρὴ, πρέπει ὡς πῶλον γυμνάζειν καὶ ἐξομοιοῦσθαι ἐμοὶ κατὰ φύσιν. *Bar.* 550. Ὦ παῖ] ἐνταῦθα λαμβάνει τὸν Εὐρυσάκην ὁ Αἴας ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ φησὶ ταύτην τὴν

Τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
Ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
Οὔτοι σ᾽ Ἀχαιῶν οἶδα μή τις ὑβρίσῃ
Στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ᾽ ἐμοῦ.
Τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
Λείψω, τροφῆς ἄοκνον ἔμπακ᾽. εἰ τανῦν
Τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
Ἀλλ᾽ ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
Ὑμῖν τε κοινὴν τήνδ᾽ ἐπισκήπτω χάριν,
Κείνῳ τ᾽ ἐμὴν ἀγγείλατ᾽ ἐντολήν, ὅπως
Τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,
Τελαμῶνι δείξῃ, μητρί τ᾽ Ἐριβοίᾳ λέγω,

Ὡς

εὐχήν. *Bar.* 555. Τὸ μὴ φρονεῖν] ἤγουν, τὸ μὴ γνωστικῶς αἰσθάνεσθαι τῶν βιωτικῶν καλῶν καὶ θλίψεων, λίαν ἀνώδυνον καὶ ἄλυπον καλὸν ὑπάρχει δηλονότι. *Bar.* 557. Ἵκῃ] ἤγουν, ἀφίκῃ, ἔλθῃς. L. *Bar.* Πρὸς τοῦτο] ἤγουν εἰς τὴν αἴσθησιν τῆς χαρᾶς καὶ τῆς λύπης. L. B. ἤγουν, πρὸς τὸ γινώσκειν, χαίρειν, καὶ λυπεῖσθαι. *Bar.*

559. Κούφοις πνεύμασιν] κούφῃ καὶ ἁπαλῇ ζωῇ. τῇ μεταφορᾷ δὲ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅτινα οὐδὲν σφοδρὸν δύναται ὑποφέρειν. οὐ καύσωνα, οὐκ ἄνεμον. 560. Ψυχὴν ἀτάλλων] ζωὴν βρεφικῶς διαβιβάζων καὶ τρέφων. ἀτάλλειν γὰρ τὸ νηπιάζειν καὶ σκιρτᾶν. 561. Οὔτοι σ᾽ Ἀχαιῶν] ἤγουν, οἶδα ὅτι οὐ μὴ ὑβρίσῃ σέ τις τῶν Ἀχαιῶν. 562. Οὐδὲ χωρὶς ὄντ᾽ ἐμοῦ] διά τί (φησὶν) ἐνταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτοῦ γνώμην ὁ Αἴας, ὅτι δεῖ ἑαυτὸν ἐξάγειν τοῦ βίου; ῥητέον οὖν ὅτι ἐν ἤθει. οἷον, εἰ γένοιτό τις περὶ ἐμὲ συμφορά, μὴ δείσῃς· ἕξεις γὰρ τὸν προνοοῦντα ἀντὶ ἐμοῦ. ἢ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τοῦ πάθους προαγόμενος. 563. Πυλωρὸν] ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας, λέγει νῦν τὸν ἀποσοβοῦντα, καὶ μὴ ἐῶντα προσβάλλειν κακόν τι. 564. Τροφῆς ἄοκνον ἔμπακ᾽] ἀνατροφῆς πρόθυμον φροντιστήν. Εἰ τανῦν τηλωπὸς οἰχνεῖ] καὶ εἰ ἔκδημος νῦν ἐστι. τηλωπὸς ἔκδημος. γράφεται καὶ τηλουργός. 565. Δυσμενῶν θήραν ἔχων] φυλακὴν ἔχων τῶν ἐχθρῶν. λέγοι δ᾽ ἂν τῶν Θρᾳκῶν. περὶ γὰρ τὰ τελευταῖα τοῦ Τρωϊκοῦ πολέμου ἐσυμμάχουν τοῖς Τρωσὶν οἱ Θρᾷκες. γνόντες δὲ τοῦτο οἱ Ἕλληνες, φρουροὺς ἔταξαν προμηνύσοντας

Eductus sis. interim lenibus auris vescaris, teneram
Animam fovens, matri tuæ gaudio *futuram.*
Nemo, sat scio, Achivum te lædet
Tristibus contumeliis, etsi absfueris a me procul.
Adeo paratum & præsto custodem Teucrum tibi
Relinquam, educationis tuæ sedulum curatorem: etsi nunc
Longinquus abest, hostium venationem agens.
At vos viri clypeati, populus mari circumdate,
Vobis etiam communem hanc mando gratiam,
Illique meum nunciate jussum, ut
Puerum huncce ad domum meam ducens
Telamoni exhibeat matriq; Eribœæ, inquam,
Ut

τας αὐτοῖς τὴν ἐκείνων ἔφοδον. ἵνα οὕτως ἐπελθόντων, κατὰ τὴν ὁδὸν συμβάλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς Ἴλιον. καὶ πρέσβεις δὲ ἀποστείλαντες, οὐκ ἔπεισαν. τὸ δὲ θήραν γράφεται καὶ φρουράν. 567. Ὑμῖν τε κοινήν] προθυμοτέρους αὐτοὺς καθίστησι. κοινὴν γὰρ καὶ ἴσην φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε τῆς ὑπουργίας, καὶ τούτοις τῆς ἐπαγγελίας. περιπαθῶς δὲ εἰς ἔσχατον περιστάσης τῆς ἐλπίδος, ἐμφρόνως τὰ σπουδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει, οὐ τῇ γυναικί. ἐπισκήπτω δὲ τήνδε τὴν ἐντολὴν, ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει, τήνδε τὴν χάριν, ἐπεὶ ὅπερ ἐντέλλεται, ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 566. Ἀλλ' ἄνδρες ἀσπιστῆρες] τὸ φροντίδα ποιεῖσθαι τοῦ οἰκείου παιδὸς τὸν χορὸν, καὶ ἀπελθόντα εἰς Σαλαμῖνα μετὰ τοῦ Τεύκρου παραδιδόναι Τελαμῶνι τὸν παῖδα, χάριν αὐτῷ λογίζεται Αἴας. τὸ δὲ Ἐριβοίᾳ λέγω, εἶπεν, ἵν' ἐπειδὴ τοῦτο ἀόριστον ἦν, μή τινες πλανῶνται, ἀγνοοῦντες ὁποίαν λέγει, εἴτε Ἡσιόνην, εἴτε Ἐρίβοιαν. ἀμφότεραι γὰρ ἔζων τότε, ἡ μὲν οὖσα Τεύκρου μήτηρ, ἣν Τελαμὼν παρ' Ἡρακλέους γέρας εἰλήφει, ὁπότε εἰς Τροίαν ἐστράτευσεν· Ἐρίβοια δὲ, Αἴαντος.

SCHOL. INED. 559. Κούφοις πνεύμασιν βόσκου] ἤγουν ἐλαφροῖς, τουτέστιν ἐλαφρῶς καὶ ἐλευθερίως ἀνάπνει τὸν ἀέρα. L. B. Βόσκου] ἀνατρέφου. L. B. 561. Οὔτοι σ'] οὔτοι, καὶ τὸ μὴ, αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς. οἶδα ὅτι οὔτοι οὐδεὶς τῶν Ἀχαιῶν ὑβρίσει σε στυγναῖς λώβαις, οὐδὲ ὄντα κεχωρισμένον ἐμοῦ. *Bar.* 562. Στυγναῖσι λώβαις] λυπηραῖς, πικραῖς λοιδορίαις. *Bar.*

Ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
Μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.
Καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
Θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός.
Ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων
Πόρπακος ἑπτάβοιον ἄῤῥηκτον σάκος.
Τὰ δ' ἄλλα τεύχη, κοίν' ἐμοὶ τεθάψεται.
Ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,
Καὶ δῶμ' ἀπάκτου. μηδ' ἐπισκήνους γόους
Δάκρυε. " κάρτα τοι φιλοίκτιστον γυνή.
Πύκαζε θᾶσσον. " οὐ πρὸς ἰατροῦ σοφοῦ

" Θρηνεῖν

571. Ὥς σφιν γένηται] πάνυ περιπαθῶς, τὸ ἐπὶ γονεῦσι καὶ παιδὶ διαθήκας ποιῆσαι. θαυμαστῶς δὲ πρὸς ἅπαντας τοὺς λόγους τῆς Τεκμήσσης ἀντιθέσεις ἐποιήσατο, οὐκ ἄντικρυς τοῦτο ὑπισχνουμένου τοῦ ποιητοῦ. τοῦ μὲν μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν Ἑλλήνων, τὴν ἀπὸ τοῦ Τεύκρου φυλακὴν προβαλλόμενος. τοῦ δὲ μὴ γελασθῆναι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετὴν, ὅν φησι καὶ ἐκδικήσειν αὐτὸν ἐν ἡλικίᾳ γενόμενον· πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ καταλείπεται ὁ Εὐρυσάκης. τὸ δὲ γηροβοσκῶ, γράφεται καὶ μικρὸν, ἀπὸ τοῦ γῆρος (ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας) καὶ μέγα, ἀπὸ τῆς γενικῆς τοῦ γήρως. 572. Μέχρις ἂν μυχοὺς κίχωσι] περιφραστικῶς, ἤγουν, ἕως τελευτήσωσι. 573. Καὶ τἀμὰ τεύχη] πιθανῶς τὸν Αἴαντα ἐπὶ τὸν περὶ τῶν ὅπλων λόγον ἰέναι συνεχῶς. ἅπτεται γὰρ αὐτοῦ μάλιστα. ἀνθρώπινον δὲ καὶ μάλα φυσικὸν, τὸ συνεχέστερον μεμνῆσθαι περὶ ὧν ἐν νῷ ἔχομεν. τεῦχος μὲν τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα. 575. Ἀλλ' αὐτό μοι σὺ παῖ] πέπεισαι ὡς οὐδὲν ἀπολειψομένου τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς· τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον, τῷ παιδὶ φυλάσσειν κελεύει. τὰ δὲ ἄλλα τεύχη συνθάψαι φησίν. ἐπίσταται γὰρ καὶ αὐτὰ περιμάχητα ἐσόμενα. οἶδεν Ὅμηρος ὅπλα συγκαιόμενα, Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι. τὸ δὲ πᾶν, ἀλλὰ σὺ Εὐρύσακες παῖ ἐμὸς λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοιον,

Ut ipsis sit senectæ præsidium semper,
Donec *&* *ipsi* pervenerint penetralia inferni Divi.
Et arma mea neque præsides certaminum ulli
Proponent Achivis, neque illa pestis mea.
Sed ipsum, tu puer, acceptum, qui nomen tuum habet,
Eurysaces, tene, per multiplex vertens
Lorum septemplicem infractum clypeum.
Cætera vero arma una mecum sepelientur.
Sed ocyus puerum hunc jam accipe,
Et domum abducito: nec luctibus tentorium
Imple lacrymans. " valde promptum est flere fœmina.
Abde statim. " non est sapientis medici

Canere

βοειον, τὸ ἄῤῥηκτον, τὸ ἐπώνυμόν σοι δηλονότι, ἔχε στρέφων διὰ τοῦ πολυῤῥάφου πόρπακος. ἔστι δὲ πόρπαξ ὁ λῶρος διὰ οὗ κατέχουσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. σάκος δὲ οὐδετέρως, ὅπλον, ἀσπίς. σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ διὰ ἑνὸς κ, ὁ θύλακος. καρυκὸν δὲ, πλέγμα δεκτικὸν ἄρτων. 580. Καὶ δῶμ' ἀπάκτου] κατὰ τῶν σκηνῶν ἄπαγε. τὸ γὰρ ἀπάκτου ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦχθαι, ἀκτὸν ὄνομα. καὶ ἀπὸ τούτου, ἀπακτέον ἀπακτοῦ, ῥῆμα. Ἐπισκήνους γόους] ἐπισκήνους λέγει, ἐπεὶ καὶ ἐπιτάφιοί εἰσι καὶ ἐξόδιοι. ἐπίσκηνοι δὲ θρῆνοι, οἱ ἐπὶ τῆς σκηνῆς. 582. Πύκαζε] ἀσφάλιζε. Οὐ πρὸς ἰατροῦ σοφοῦ] οὐκ ἔστιν ἰατροῦ σοφοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 577. Ἄῤῥηκτον σάκος] στεῤῥὸν καὶ μὴ ῥηγνύμενον. ὑπερβολικῶς δὲ τοῦτο λέγει.

SCHOL. INED. 571. Γηροβοσκὸς] γηροτρόφος. *Bar.* 572. Μέχρις] τουτέστι, ἕως ὅτου τὰς καταδύσεις καταλαβῶσι τοῦ κάτω θεοῦ, ἤγουν τοῦ Ἅδου. *Bar.* 582. Πύκαζε θᾶσσον] ἤγουν, ἀσφάλιζε ταχύτερον. λαμβάνεται δὲ ἐνταῦθα ἀντὶ τοῦ ταχέως. L. B. ἤγουν, συστέλλου καὶ φρόντιζε τάχιον. *Bar.* Οὐ πρὸς ἰατροῦ] οὐδαμῶς ἴδιόν ἐστιν ἰατροῦ σοφοῦ, ἤγουν συνετοῦ, φρονίμου, καὶ ἐπιστήμονος. *Bar.*

583. Θροεῖν

" Θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
Χο. Δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν·
Οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.
Τε. Ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;
Αι. Μὴ κρῖνε, μὴ 'ξέταζε. σωφρονεῖν καλόν.
Τε. Οἴμ' ὡς ἀθυμῶ, καί σε πρὸς τοῦ σοῦ τέκνου
Καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.
Αι. Ἄγαν γε λυπεῖς. οὐ κάτοισθ' ἐγὼ θεοῖς
Ὡς οὐδὲν ἀρκεῖν εἰμ' ὀφειλέτης ἔτι;
Τε. Εὔφημα φώνει.
Αι. Τοῖς ἀκούουσιν λέγε.
Τε. Σὺ δ' οὐχὶ πείσῃ;
Αι. Πόλλ' ἄγαν ἤδη θροεῖς.

Τε.

583. Θροεῖν ἐπῳδὰς] ἀντὶ τοῦ ἐπιφωνεῖν, ἐπᾴδειν, ἐπῳδαῖς χρῆσθαι. Προς τομῶντι] τομῆς δεομένῳ. τομῶντι ὡς τὸ θανατῶντι, βασιλειῶντι. τὰ γὰρ τοιαῦτα, δευτέρας συζυγίας ὡς ἐπίπαν ἐστίν. ἔστι δὲ γλυκύτατον λέγειν τὸ τραῦμα τομῆς ἐπιθυμεῖν, ὥσπερ εἰ αἴσθησιν εἶχεν. Πήματι] γράφεται τραύματι. 585. Οὐ γάρ μ' ἀρέσκει] οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σου θρασεῖς ὄντες. τὸ ὄργανον γὰρ λέγει τῶν λόγων ἀντὶ τοῦ λόγου. 586. Δρασείεις] ἤγουν ἐπιθυμεῖς δρᾶσαι. 587. Μὴ κρῖνε] ἤγουν ἀνάκρινε. Σωφρονεῖν] νῦν τὸ μὴ περιεργεῖν. ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζοιντο ὅ, τι πράττει ὁ ἀνήρ. 589. Καὶ θεῶν ἱκνοῦμαι] συνίζησις. τὸ δὲ ἱκνοῦμαι, τὸ παρακαλῶ· ἀφικνοῦμαι δὲ, τὸ παραγίνομαι. Προδοὺς] προδίδωμι, ἐπὶ προδοσίας, ἀφ' οὗ προδότης. προδίδωμι τὸ καταλιμπάνω, ὡς ἐνταῦθα. 590. Οὐ κάτοισθ' ἐγὼ θεοῖς ὡς οὐδὲν] οὐκ ἔτι (φησὶν) ἐν τούτῳ εἰμὶ ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, ἀλλὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν. ὡς οὐκ ἔτι τοῖς θεοῖς ὀφείλω λέγειν ἐγὼ ἐπαρκεῖν. ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν. πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει, Εὔφημα φώνει. 593. Τοῖς ἀκούουσιν] τοῖς πειθομένοις.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 583. Θροεῖν ἐπῳδὰς] ὃ λέγει, τοιοῦτόν ἐστιν, Οὐκ ἔστιν ἀγαθοῦ ἰατροῦ, ἐάν τις ἀνιάτως ἔχει χειρὸς, ἢ σκέλους, μὴ τομεῖν

ἐπι-

" Canere carmina ferrum-poſcenti malo.

Cho. Metuo audiens hanc tuam alacritatem:
Non enim mihi placet lingua tua *ſic* acuta.

Tec. O domine Ajax, quidnam animo agere paras?

Aj. Ne quærito, ne ſcrutare: modeſtam eſſe decet.

Tec. Hei mihi, quam animum deſpondeo; tibique per tuum filium
Et Deos ſupplico, ne nos proditum eas.

Aj. Nimis quidem moleſta es. neſciſne me divis
Nihil amplius præſtare debere?

Tec. Bene ominata loquere.

Aj. Audientibus narra.

Tec. Non parebis ergo tu mihi?

Aj. Nimis multa jam garris.

Tec.

ἐπισπεύδειν τούτου, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ λοιπὸν σῶμα συνυποσταίη φθοράν. ἀλλὰ παραμυθεῖσθαι λόγοις πειρᾶται, ὡς προσδοκᾶν χρὴ τὴν ἴασιν. ὥστε καὶ αὐτὴ μή με δακρύοις ἐπιχείρει μαλάσσειν, καὶ ὃν προτέθειμαι σκοπὸν ἀποστερεῖν. λέγω δὴ, τὸ τεθνάναι. τοῦτο γὰρ ἐμοὶ νῦν οὕτως ἔχοντι κρεῖττον ἢ ζῆν. 591. Ὡς οὐδὲν] ὃ λέγει τοιοῦτόν ἐστιν, οὐκ εἰμὶ ὀφειλέτης ἀρκεῖν τοῖς θεοῖς, ἤγουν ἀρκετὸς καὶ ἀνελλιπὴς αὐτοῖς εἶναι, τοῦτ᾽ ἔστι τιμᾷν καὶ θεραπεύειν, ὡς δεῖ, καὶ μηδὲν ἐλλείπειν τῶν δεόντων εἰς αὐτοὺς γίνεσθαι, ὡς τῆς ζωῆς ἀνθρώποις αἰτίους, καὶ πάντα τἄλλ᾽ ἀγαθὰ παρέχοντας. ἢ τὸ θεοῖς πρὸς τὸ, εἰμὶ ὀφειλέτης, σύναπτε. τὸ δὲ ἀρκεῖν ἀντὶ τοῦ διαρκεῖν καὶ εἰς τὸ ἑξῆς ζῆν, λέγει, οὕτως, οὐκ ὀφείλω τοῖς θεοῖς ζῆν εἰς τὸ ἑξῆς. εἰ μὲν ἐφρόντιζον ἐμοῦ καὶ ἐπεμελοῦντο, ἀνάγκην ἂν εἶχον καὶ αὐτὸς ζῆν, ἐφ᾽ ᾧ τούτους τῆς φροντίδος ἀμείβεσθαι τιμαῖς θυσίαις. ἐπεὶ δὲ καὶ μελήκασι, καὶ οὕτως ἀτιμασθῆναι παρεῖσαν οὐδέν με τὸ ἀναγκάζον ἐστὶ τοῦ ζῆν ἔτι ποιεῖσθαι λόγον. ἢ οὕτως ἐρεῖς, οὐ κάτοισθα καὶ οὐ γινώσκεις ὡς οὐδαμῶς εἰμὶ ὀφειλέτης τοῖς θεοῖς εἰς τὸ ἑξῆς ἀρκεῖν καὶ βοηθεῖν τινί. ἤγουν, ἐπεὶ οἱ θεοὶ οὕτω με εἴασαν ἀτιμασθῆναι, οὐ χρεωστῶ διὰ τούτους ἔτι βοηθεῖν ἢ σοι, ἢ ἑτέρᾳ. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἡ Τέκμησσα, Πρὸς θεῶν ἱκνοῦμαι μὴ προδοὺς ἡμᾶς γένῃ, αὐτῷ εἰρήκει. ὅθεν καὶ βλασφημίαν ἡγησαμένη τὸν αὐτοῦ λόγον, Εὔφημα φώνει, λέγει.

SCHOL. INED. 589. Προδοὺς] τὴν προδοὺς μετοχὴν, λάμβανε ἀντὶ ὀνόματος. *Bar.*

597. Οἱ

Τε. Ταρβῶ γάρ, ὦ 'ναξ.

Αι. Οὐ ξυνέρξεθ' ὡς τάχος;

Τε. Πρὸς θεῶν μαλάσσου.

Αι. Μῶρά μοι δοκεῖς φρονεῖν,

Εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ α'.

Χο. Ὦ κλεινὰ Σαλαμίς, σὺ μέν που
Ναίεις ἁλίπλαγκτος εὐδαίμων,
Πᾶσιν περίφαντος αἰεί·
Ἐγὼ δ' ὁ τλάμων,
Παλαιὸς ἀφ' οὗ χρόνος
Ἰδαίᾳ μίμνων
Λειμωνίᾳ μήλων πόᾳ

Ἀνή-

597. Οὐ ξυνέρξεθ'] οὐ συγκλείσετε. κελεύει δὲ τοῖς θεράπουσιν αὐτὴν ἀποκλεῖσαι. 598. Μαλάσσου] μεταβάλλου. 599. Μῶρά μοι δοκ.] εὐήθης εἶ νῦν βουλομένη με μαλάσσειν, ἐξακμάσαντος τοῦ καιροῦ. 601. Ὦ κλεινὰ Σαλαμὶς] συγκέκλεισται ὁ Αἴας διαχρησόμενος ἑαυτόν, ἐπειδὴ οἱ ἀπὸ τοῦ χοροῦ λόγον ἀξιοπαθῆ διεξιᾶσι. πρὸς μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν, εἰσελθόντα ἤδη. γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις ἐπὶ τὰ οἰκεῖα. καὶ ἔχει ἀκολουθίαν τὰ χορικά. ἀπεστερημένοι γὰρ τοῦ ἄρχοντος, καὶ ἄλλην ἀποστροφὴν οὐκ ἔχοντες, περὶ τῆς πατρίδος τὸν λόγον ποιοῦνται, ἐντιθέμενοι ἐν οἷς εἰσι χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτοῦ πυθόμενοι ταῦτα. 602. Ναίεις ἁλίπλαγκτος] ἐνεργητικὸν ἀντὶ παθητικοῦ ναίῃ. τὸ δὲ ἁλίπλαγκτος, ἤγουν ἐν θαλάσσῃ οὖσα, ἀτακλύσῃ περί σε. 605. Παλαιὸς ἀφ' οὗ χρόνος] ἐκ πολλοῦ χρόνου. 606. Ἰδαίᾳ] τῇ Τρωϊκῇ, ἤγουν ἐν τῷ τῆς Ἴδης χωρίῳ, τοῖς χλωροῖς καὶ λειμῶνας ἔχουσι διάγων. 607. Λειμωνίᾳ πόᾳ] ὅμοιον τῷ, Τελαμώνιε παῖ. λειμωνία γὰρ ἡ ἐν λειμῶνι χλόη. Μήλων] γενικὸν ὄνομα τοῦτο παρ' Ὁμήρῳ. εἶπεν γὰρ οὕτως μῆλα, ἐπάγει, ὄϊές τε καὶ αἶγες.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 601. Σὺ μέν που ναίεις] τὸ που ἀποδίδοται πρὸς τὸ εὐδαίμων, καὶ πρὸς τὸ ἑξῆς, οὐ πρὸς τὸ ἁλίπλαγκτος. οὐ

γὰρ

Tec. Metuo enim, O Rex.
Aj. Non concludetis illam ocyus?
Tec. Per deos animum molli.
Aj. Næ parum mihi videris sapere,
Si meos mores jam tandem erudire cogites.

ANTISTROPHICA. STROPHE. I.

Cho. O inclyta Salamis, tu nunc quidem
Incoleris, mari circumfusa, felix,
Omnibus spectabilis semper;
Ego vero infelix
Jam per longum tempus
Idæo maneo
In pratensi pecorum gramine

Nullo

γὰρ ἐδεῖτο εἰκασμοῦ εἰ ἔστιν ἀλίπλαγκτος, ἀλλ' εἰ ἔστιν εὐδαίμων. τὸ δὲ ἀλίπλαγκτος πρὸς τὸ Σαλαμὶς σύναπτε. τό γε μὴν ναίεις ἀντὶ τοῦ οἰκῇ ἐνταῦθα λέγει, ἢ ἀπὸ τοῦ οἰκοῦντος τὸ οἰκούμενον· ὥσπερ ἐστὶ καὶ τὸ ὄργανον ἀντὶ τοῦ ἔργου, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς τὸ, Λαΐνεοισιν Ἀμφίονος ὀργάνοις, παρ' Εὐριπίδῃ. ἄλλως δ' ὅτι καὶ ἡ τῶν ἐνοικούντων οἴκησις, αὐτοῦ ἐστὶν οἴκησις. 607. Μήλων πόᾳ] μήλων πόᾳ γράφε, καὶ μὴ ποίᾳ μήλων, διὰ τὸ μέτρον.

SCHOL. INED. 597. Οὐ ξυνέρξετε] ὁ λόγος πρὸς τὸν χορόν. ἀντὶ τοῦ, οὐ κωλύσετε αὐτὴν λίαν ταχέως; *Bar.* 601. Ὦ κλεινὰ Σαλαμὶς] ἐνταῦθα ἐμιμήσατο τὸ ἔθος τῶν ἀφισταμένων τῆς οἰκείας. ὁπόταν γάρ τι δυσχερὲς ἀπαντᾷ, μακαρίζειν εἰώθασιν οἱ ἄνθρωποι τὰς πατρίδας. καὶ ἔστιν ἡ σύνταξις οὕτως, Ὦ κλεινὴ καὶ ἔνδοξη Σαλαμὶς ἡ πατρίς μου, σὺ μὲν ἴσως κατῳκισμένη ὑπάρχεις κύκλῳ περικλυζομένη τῇ θαλάττῃ, εὐτυχὴς, πᾶσιν ἀνθρώποις περιφανὴς διόλου. Ἐγὼ δὲ ὁ ἄθλιος, μακρὸς καὶ πολύς ἐστιν ὁ καιρὸς, ἀφ' οὗ προσμένω τῇ γῇ ταύτῃ τῇ Τρωϊκῇ, τῇ λειμωνιάδι τῇ βοσκῇ τῶν προβάτων. ἤγουν τῇ ἐπιτηδείᾳ εἰς νομὴν τοῖς βοσκήμασι, μηδενὸς ἀριθμοῦ καὶ λόγου ἀξιούμενος. διόλου τηκόμενος καὶ δαμαζόμενος τῷ χρόνῳ τῷ εὐκινήτῳ, ἔχων κακὴν ἐλπίδα καὶ φόβον, πότε τελέσειν καὶ διελθεῖν ἐμὲ, τὸν ᾅδην τὸν μισητὸν, καὶ σκοτεινόν. καὶ ὁ Αἴας συνυπάρχει μοι, ἐπικαθήμενος ἀεὶ τῇ οἰκίᾳ, δυσκόλως ἰαθῆναι δυνάμενος. Ἰὼ ἐμοί. διὰ μέσου. συμμέτοχος τῇ ἀπὸ θεοῦ μανίᾳ. ὅντινα ἐξέπεμψας σὺ ὁ Σαλαμὶς δηλονότι πρότερον δήποτε ἀριστεύοντα ἐν πολέμῳ τῷ ἀρμητικῷ. νῦν δὲ μόνος ἀποπλανηθεὶς τῆς οἰκείας γνώσεως καὶ διανοίας, εὑρίσκεται μεγάλη λύπη τοῖς φίλοις αὐτοῦ δηλονότι. τὰ δὲ πρότερον αὐ-

τοῦ

Ἀνήριθμος, αἰὲν εὐνώμᾳ
Χρόνῳ τρυχόμενος·
Κακὰν ἐλπίδ' ἔχων
Ἔτι με ποτ' ἀνύσειν
Τὸν ἀπότροπον
Ἀΐδηλον ᾅδαν.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Καί μοι δυσθεράπευτος Αἴας
Ξύνεστιν ἔφεδρος, ὤ μοι μοι,
Θείᾳ μανίᾳ ξύναυλος.
Ὃν ἐξεπέμψω
Πρὶν εὖ ποτὲ θουρίῳ

Νικῶντ'

τοῦ ἔργα, τὰ διὰ τῶν χειρῶν αὐτοῦ γινόμενα, ὄντα μέγιστα τῆς ἀρετῆς ἀχάριστα συνῆλθον καὶ συνίβησαν παρ' αὐτοῖς ἀχαρίστοις καὶ ἀγνώμοσι καὶ ἀθλίοις υἱοῖς τοῦ Ἀτρέως. *Bar.*

608. Ἀνήριθμος] ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ παρερριμμένος. Εὐνόμᾳ] ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ. ἢ εὐκινήτῳ. ἢ εὐνόμῳ λειμῶνι, τῷ καλὰς νομὰς ἔχοντι. τὸ δὲ ἑξῆς, παλαιὸς ἀφ' οὗ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος, Ἰδαίᾳ μίμνω λειμωνίᾳ πόᾳ μήλων, ἀνήριθμος, κακὴν ἐλπίδα ἔχων πῶς με δεῖ τὸν ᾅδην ἀνύσειν. ἀντὶ τοῦ, οὐδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέμῳ ἐλπίζων. 609. Χρόνῳ τρυχόμενος] ἤγουν, ὑπὸ τοῦ εὐκινήτου χρόνου δαμαζόμενος καὶ κακοπαθῶν. 610. Κακὰν ἐλπίδα] ἤγουν, φόβον ἔχων ἀνύσειν ἐμὲ ἔτι ποτὲ τὸν ᾅδην. τουτέστι λήψεσθαι σπεύδοντα εἰς τοῦτο. 611. Ἀνύσειν] ἀντὶ τοῦ ἐκπράξαι. λείπει δὲ τὸ διά. ἀνύω τὴν ὁδὸν, ἀντὶ τοῦ τελειῶ. καὶ, ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω. καθ' ὃ λέγεται ἐνταῦθα. 612. Τὸν ἀπότροπον] τὸν ἀποτρόπαιον, ἤγουν τὸν ἀποστροφῆς καὶ ἀποτροπιασμοῦ ἄξιον. ἀΐδηλον δὲ ᾅδην λέγει τὸν σκοτεινὸν, ἢ ὥσπερ ἄν τις εἴποι ἁλυκὸν ἅλα. ἀπὸ γὰρ τοῦ ἀΐδης γίνεται τὸ ἀΐδηλον κατὰ παραγωγὴν, καθ' ὃν τρόπον ἁλυκὸν ἀπὸ τοῦ ἁλός. 614. Καί μοι δυσθεράπευτος Αἴας] οἷον, πρὸς τοῖς πρώτοις κακοῖς, ὥσπερ δεύτερόν ἐστί μοι κακὸν τὸ τοῦ Αἴαντος συνεστηκός. τοῦτο γὰρ δηλοῖ τὸ Ἔφεδρος. ἔφεδρος δέ ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι

Nullo numero habitus, semper volubili
Tempore attritus ;
Invisam spem fovens adhuc
Fore ut ego tandem migrem
Ad detestandum
Tenebrosum Orcum.

ANTISTROPHE. I.

Præterea mihi insanabilis Ajax
Accedit novus luctator *defesso*, hei mihi
Divinitus-immissæ assidens insaniæ.
Quem tu Salamis emisisti
Prius pulchre impetuosis

Victorem

νίζεσθαι τοῖς νικῶσιν, ἀλλ' ὅταν δύο τινὲς παλαίωσι, παλαίσειν τῷ νικήσαντι παρεσκευασμένος. ἐνταῦθα οὖν φησὶν, ὅτι ἔσχατος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν. 616. Ξύναυλος] κοινωνός. 617. Ἐξεπέμψω] ἀντὶ τοῦ ἔπεμψας ὧδε.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 608. Εὐνώμᾳ] οἱ γράφοντες εὐνόμᾳ τὸ νο μικρὸν, καὶ συνάπτοντες πρὸς τὸ ποίᾳ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· χρὴ οὖν πρὸς τὸ χρόνῳ συνάπτειν, καὶ μεγεθύνειν τὸ νω, ἵν' ᾖ, τῷ εὐνώμᾳ καὶ εὐκινήτῳ χρόνῳ. νωμῶ γὰρ τὸ κινῶ. τό γε μὴν μῆλον γενικὸν ὄνομα παρ' Ὁμήρῳ ἐστίν. εἰπὼν γὰρ οὗτος μῆλα, ἐπάγει ὄϊές τε καὶ αἶγες. 611. Ἔτι μέ ποτ' ἀνύσειν,] τὸ πότ' ἀνύσειν οὐκ ἔστι πότε ἀνύσειν, εἰ διαλελυμένως εἴποις, ἀλλὰ ποτὲ ἀνύσειν· διὰ δὲ τὴν συναλοιφὴν μετετέθη ὁ τόνος. οὕτω δὲ ἑρμῆς, ἔχων ἐλπίδα κακὴν ἀνύσαι καὶ διελθεῖν καὶ περάσειν ποτὲ ἐμὲ ἔτι καὶ εἰς τὸ ἑξῆς, τὸν ἀπότροπον καὶ μισητὸν πᾶσιν ἀΐδην, τὸν ἀΐδηλον καὶ ἀφανῆ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, πολὺν χρόνον μίμνων ἐν τῇ Τροίᾳ ἀνήριθμος καὶ ἄτιμος, καὶ μὴ εἰς ἀριθμὸν ὤν, τρυχόμενος καὶ δαμαζόμενος τῷ τοσούτῳ χρόνῳ, ἐλπίδα ἔχων κακὴν ἀποθανεῖν ποτὲ, καὶ διελθεῖν τὸν ᾅδην. οὐ γὰρ ἤλπιζον ὑποστρέφειν εἰς τὴν αὐτὴν χώραν. κακὴν δὲ τὴν ἐλπίδα εἶπε, διὰ τὸ τοῦ θανάτου ἐλπίδα εἶναι, καὶ οὐκ ἀγαθοῦ τινός. 615. Ξύνεστιν ἔφεδρος] ἔφεδρος κυρίως ὁ παρεσκευασμένος, ὅταν δύο τινὲς παλαίωσιν, παλαίσειν τῷ νικήσαντι. 618. Πρὶν σὺ] πρὶν σὺ ποτὲ γράφει. καὶ νικῶντ' ἐν ἄρει· καὶ φρενός γ' οἰαβότας. οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς στροφῆς κῶλα. εἰ δ' ἄλλως γράφεις, οὐκ ὀρθῶς ἔχει.

SCHOL. INED. 610. Εὐνώμᾳ] ἀντὶ τοῦ, ἐν τῷ εὐκινήτῳ, ἢ τῷ καλῶς μεριζομένῳ χρόνῳ εἰς τέσσαρα. Ἔαρ, θέρος, μετόπωρον, καὶ χειμών. *Bar.*

Νικῶντ' εἶν ἄρει.
Νῦν δ' αὖ φρενὸς δ' οἰωβότας
Φίλοις μέγα πένθος εὕρηται.
Τὰ πρὶν δ' ἔργα χεροῖν
Μεγίσας ἀρετᾶς
Ἄφιλα παρ' ἀφίλοις
Ἔπεσ' ἔπεσεν
Μελέοις Ἀτρείδαις.

ΣΤΡΟΦΗ β'.

Ἦ πυ παλαιᾷ μὲν
Ἔντροφος ἁμέρᾳ,
Λευκῷ δὲ γήρᾳ
Μάτηρ, νιν ὅταν νοσοῦντα
Φρενομόρως ἀκούσῃ,
Αἴλινον αἴλινον,

Οὐδ'

620. Νῦν δ' αὖ φρενὸς οἰωβότας] αὐθαίρετος, ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτοῦ διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος. ἢ, μονωθεὶς ἐκ τῆς φρενός. ἢ, μονότροπος, μεμονωμένος τῷ λογισμῷ. ἢ ποιμαίνων τὴν ἑαυτοῦ διάνοιαν, καὶ μόναρχος ὢν τῷ λογισμῷ. ἢ, οἷον διαθεῖσαν αὐτοῦ τὴν φρένα· παρὰ τὴν βόσιν. ἢ, ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ συγκεκλεικέναι ἑαυτόν. καὶ ὅμοιόν ἐστι τῷ, Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων. ἢ, φρενὸς οἰωβότας, οὐ σὺν φρεσὶν, ἀλλ' ἐκτὸς φρενῶν διάγων. ἢ, ἀποπλανηθεὶς, ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων. 621. Εὕρηται] γράφεται γεγένηται. 622. Τὰ πρὶν δ' ἔργα χεροῖν] λείπει γιγνόμενα. τὰ δὲ πρότερα μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα ἐν ὀλιγωρίᾳ ἐστὶ παρὰ τοῖς Ἀτρείδαις. ἢ οὕτως, τὰ δὲ πρότερα αὐτοῦ ἀνδραγαθήματα, φροῦδα παρὰ τοῖς Ἀτρείδαις. 624. Ἄφιλα] ἀχάριστα παρὰ τοῖς πρώην αὐτοῦ φίλοις, νῦν δὲ πάντων ἐπιλελησμένοις. ἢ, ἄφιλα παρ' ἀφίλοις, ἐχθρὰ παρ' ἐχθροῖς. 627. Παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ] παλαιὸν, τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον. νέον γὰρ, τὸ νεωστὶ ἀρξάμενον. ἐνταῦθα οὖν, ἔντροφος παλαιᾷ ἡμέρᾳ

Victorem in præliis.
At nunc contra animo devius ſuo paſcens
Luctum amicis ingentem parat.
Priora autem illius ſtrenue facta
Manuum opera
Ingrata apud ingratos
Cecidere, cecidere
Stultos Atridas.

STROPHE. 2.

Certe ad veteres
Provecta dies,
Canamque ſenectutem
Mater (ipſum cum laborantem
Mentis furore audiverit)
Non Ælinon, Ælinon,

Nec

ἡμέρα, ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ. οἷον τῇ ἡλικίᾳ. ἀντὶ τοῦ πολυετής. ὁ δὲ νοῦς, οὕτως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος. τὸ δὲ, λευκῷ γήρᾳ, κατὰ κοινοῦ, τὸ ἔντροφος ἡ μήτηρ αὐτοῦ. 629. Λευκῷ δὲ γήρᾳ] ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας. 631. Φρενομόρως] ἀντὶ τοῦ εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα. ὅ ἐστι φρενοβλαβῶς, μανικῶς. 632. Αἴλινον] εἶδος θρήνου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 620. Οἰοβώτας] μεμονωμένος, πεπλανημένος. ἐκ μεταφορᾶς τῶν θρεμμάτων τῶν τῆς ἀγέλης κεχωρισμένων, καὶ καθ' ἑαυτὰ φερομένων. 629. Λευκῷ δὲ γήρᾳ] ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας, διὰ τοῦτο εἶπε τῷ λευκῷ, ἀπὸ τοῦ ποιουμένου τὸ ποιοῦν,

SCHOL. INED. 620. Νῦν δ' αὖ] νῦν δὲ οἰοβώτης γενόμενος τῆς οἰκείας διανοίας, εὕρηται μέγα πένθος ἡμῶν τοῖς αὐτοῦ φίλοις. *Bar.* 627. Ἦπου παλ.] ἡ σύνταξις οὕτως· Οὕτως ἡ μήτηρ τοῦ Αἴαντος ἡ ἐντεθραμμένη ἐν χρόνῳ καὶ ζωῇ παλαιᾷ καὶ πολυημέρῳ, γήρᾳ δὲ λευκοποιῷ, ἤγουν λευκὰς ποιοῦντι τὰς τρίχας, ὅταν ἀκούσῃ αὐτὸν τὸν υἱὸν τὸν Αἴαντα ἀσθενοῦντα καὶ βλαπτόμενον μανικῶς, ἀφήσει καὶ πενθήσει ἡ δυστυχὴς καὶ ἀθλία, θρῆνον μέγαν. οὐ θρῆνον μέγαν. οὐ θρῆνον ἐλεεινὸν τῆς ἀηδόνος, ἀλλ' ὀξυφάνους μετὰ βοὰς καὶ οἰμωγὰς πενθήσει. κτύποι δὲ χερόπληκτοι πεσοῦνται ἐν τοῖς στήθεσιν αὐτῆς. καὶ σπαράγματα καὶ ξύσματα τῆς κόμης αὐτῆς τῆς ἀπὸ τοῦ γήρως οὔσης λευκῆς. κάλλιον γὰρ ἂν ἦν καὶ προτιμότερος. κρυπτόμενος τῷ ᾅδῃ, ἢ ζῶν ματαίως ἐν νόσῳ μανικῇ καὶ ὀλεθρίᾳ. *Bar.*

633. Οὐδ'

Οὐδ᾽ οἰκτρᾶς γόον
Ὄρνιθος ἀηδοῦς
Ἥσει δύσμορος.
Ἀλλ᾽ ὀξυτόνους μὲν ᾠδὰς
Θρηνήσει. χερόπληκτοι
Δ᾽ ἐν στέρνοισι πεσοῦνται
Δοῦποι, καὶ πολιᾶς
Ἀμύγματα χαίτας.

ΑΝΤΙΣΤΡΟΦΗ. β´.

Κρείσσων γὰρ ἄδᾳ κεύ-
θων, ἢ νοσῶν μάταν,
Ὃς ἐκ πατρῴας

Ἥκων

633. Οὐδ᾽ οἰκτρᾶς γόον] οἷον οὐ μέτριον. ἀναστρεπτέον δέ· ἀρχὴ γὰρ τοῦ λόγου τὸ οὐ ἄν ᾖ, οὐκ αἴλινον, οὐδ᾽ οἰκτρᾶς γόον ἀηδοῦς ἥσει, ἀλλ᾽ ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὰ ἑξῆς. 635. Ἥσει δύσμορος] ἥσει γόον οὐ μέτριον, κατὰ τὴν ἀηδόνα, ἀλλ᾽ ὀξύν. ἡ ἀηδὼ δὲ, κατὰ Μιτυληναίους. ἀηδόνος δὲ λέγει τῆς ἀφροσύνης ἐστερημένης διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν Ἴτυν. παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος. 636. Ὀξυτόνους] ὀξυφώνους. τόνος, ὁ κοινῶς ἦχος, καθ᾽ ὃ λέγεται Λύδιος τόνος, καὶ Φρύγιος. 639. Καὶ πολιᾶς] ἀξιοπαθῶς ἡ πρόσθεσις τῆς πολιᾶς. 641. Κρείσσων γὰρ ἄδᾳ κεύθων] κρείσσων γάρ ἐστιν ὁ τεθνηκὼς ἢ ὁ ζῶν καὶ νοσῶν μάτην, ὅ ἐστι μεμηνώς. μάτην γὰρ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι. οὐ λέγει δὲ ὅτι ὅταν αὐτὸν πύθηται τετελευτηκότα, ὁ γὰρ μεμηνὼς καὶ τὰς φρένας διεφθαρμένος, κρείσσων ἐν ἅδῃ κεύθων· οἷον, ἄμεινον τῷ μεμηνότι ἐξεῖναι τοῦ βίου. οἷον, ἡγήσεται κρείσσονα τὸν θάνατον τῆς τοῦ Αἴαντος μανίας. μάτην δὲ, ἀντὶ τοῦ ἀψευδῶς, καὶ ἀντὶ τοῦ ματαίως, ὡς ἐνταῦθα. 643. Ὃς ἐκ πατρῴας] ὡς ἄνωθεν κατὰ πατρῴας γενεᾶς ἄριστα ἥκων. λείπει γὰρ τὸ ἄριστος. ὥστε προέχειν ἁπάντων τῶν Ἑλλήνων κατὰ γένος, νῦν οὐκέτι ἤθεσιν ἐμμένει.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 633. Γόον ὄρνιθος] τοῦτο εἶπε διὰ τὸ ἀεὶ

θρηνεῖν

Nec miserabilis luctuosum carmen
Volucris lusciniæ
Emittet infelix:
At clara valde voce
Plorabit: manuumque planctu
In pectora cadent
Ictus sonori, & canæ
Fragmina comæ.

ANTISTROPHE. 2.

Potius enim est eum orco condi,
Quam ægrotare morbo incurabili,
Qui de paterno

Veniens

θρηνοῦσαν τὴν ἀηδόνα τὸν υἱὸν Ἴτυν. παραβάλλει δὲ τὸν τῆς ἀηδόνος θρῆνον καὶ τῆς Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

SCHOL. INED. 633. Οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ἥσει] ὁ τῶν παλαιῶν Ἑλλήνων λῆρος, ἱστορεῖ τὴν ἀηδόνα καὶ τὴν χελιδόνα, Πρόκνην καὶ Φιλομήλαν καλουμένας, θυγατέρας εἶναι τοῦ Πανδίονος, τοῦ βασιλέως τῶν Ἀθηνῶν. ὧν, τὴν μὲν Πρόκνην αὐτοῦ θυγατέρα τὴν ὕστερον κληθεῖσαν ἀηδόνα, ἐκδοῦναι πρὸς γάμον τῷ Τηρεῖ τῷ ἡγεμόνι τῆς Θράκης, παραγενομένῳ καὶ ἀπαιτήσαντι πρὸς τὸν Πανδίονα, ὅτι οὔπω εἴη κατηγγυημένος γυναικί, μεθ' ἧς Πρόκνης, γεννᾷ υἱὸν ἐπικληθέντα Ἴτυν, ἐν σχήματι δουλικῷ διατριβούσης τῷ οἴκῳ αὐτοῦ τοῦ Τηρέως. εἶτα χρόνῳ πάλιν ποτέ, τοῦ Τηρέως παραγενομένου ἐν Ἀθήναις, καὶ ξενισθέντος ἐν τοῖς βασιλείοις τοῦ κηδεστοῦ, δεῖται τῶν γεννητόρων αὐτῆς ἡ Φιλομήλα, ἀπάραι σὺν τῷ Τηρεῖ οὐ δυναμένη ἔτι στέγειν τὸν ἐπὶ τῇ ἀδελφῇ πόθον. κατανεύσαντος δὲ τοῦ πατρὸς Πανδίονος, ἀπῆρεν ἡ Φιλόμηλα σὺν τῷ Τηρεῖ. ὁ γοῦν Τηρεύς, φθείρει ταύτην κατὰ τὴν ὁδόν, καὶ φοβηθεὶς ἵνα μὴ ἐξαγγείλῃ τὸ πάθος τῇ ἀδελφῇ αὐτῆς Πρόκνῃ, πατήσας τὸν λαιμὸν αὐτῆς ἀποτέμνει τὴν γλῶσσαν. ἀλλ' ὅμως αὕτη, ἱστουργικοῖς ποικίλμασι καὶ ζωγραφίσμασι, κατεμήνυσε τὸ συμβὰν αὐτῇ δεινόν. τότε κοινῇ γνώμῃ ἵνα ἀντιπλήξαιεν τὸν Τηρέα, κατασφάξασαι τὸν υἱὸν Ἴτυν, καὶ ἑψήσασαι αὐτόν, ἑστιῶσι τὸν Τηρέα τὸν βάρβαρον. ὕστερον δὲ γνόντα ἐκ τῶν ἄκρων μελῶν, ἤγουν τῆς τε κεφαλῆς καὶ τῶν χειρῶν καὶ ποδῶν, εἶναι τὸν υἱὸν Ἴτυν, καὶ περισκοποῦντα ἀνελεῖν τήν τε Πρόκνην καὶ Φιλομήλαν, καὶ περιπαθῶς ἀνακαλούμενον τὸν υἱὸν Ἴτυν, λέγουσι μεταποιηθῆναι μὲν αὐτὸν ὑπὸ θεῶν, εἰς ἔποπα, ἤγουν ἀγριοπετεινάλιον· τὴν δὲ Πρόκνην,

εἰς

Ἥκων γενεᾶς ἄριστος
Πολυπόνων Ἀχαιῶν,
Οὐκέτι συντρόφοις
Ὀργαῖς ἔμπεδος,
Ἀλλ' ἐκτὸς ὁμιλεῖ.
Ὦ τλᾶμον πάτερ,
Οἵαν σε μένει πυθέσθαι
Παιδὸς δύσφορον ἄταν;
Ἂν οὔπω τις ἔθρεψεν
Αἰὼν Αἰακιδᾶν
Ἄτερθε γε τοῦδε.

ΑΙΑΣ,

εἰς ἀηδόνα· τὴν δὲ Φιλομήλαν, εἰς χελιδόνα. *Bar.* 634. Ἀηδοῦς] ἤγουν, ἀηδόνος, ἡ ἀηδὼν, τῆς ἀηδόνος. καὶ ἡ ἀηδὼ τῆς ἀηδόος, καὶ ἀηδοῦς, ποιητικῶς. L. B. 641. Κρείσσων] ἀντὶ τοῦ κρείττων, ἀμείνων οὗτος, καὶ ὁ ἐπικρατέστερος. L. B. Κεύθων] ἤγουν, κευθόμενος, κρυπτόμενος. L. B.

647. Ὀργαῖς] ὁρμαῖς, τρόποις. 648. Ἀλλ' ἐκτὸς] τοῦ προσήκοντος δηλονότι. 649. Ὦ τλάμων πάτερ] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Τελαμῶνα, οἵαν σε μένει πυθέσθαι, τοιαύτην ἄτην οἵαν οὐδεὶς πέπονθε τῶν

Αἰακιδῶν

Veniens genere *optimo*,
Ipſe optimus laborioſorum Achivorum
Non amplius in ſolitis
Conſiſtit moribus,
Sed extra ſe verſatur.
O infelix pater,
Qualis te manet audienda
Filii tui non tolerabilis calamitas?
Cujuſmodi nulla huc uſque tulit
Ætas Æacidis,
Præterquam huic uni viro.

AJAX

Αἰακιδῶν. παραμυθία γάρ ἐστι τὸ μετέχειν τινὰ τῶν τοῦ γένους τῶν αὐτῶν κακῶν. 652. Ἔθρεψεν] ἔσχεν. 654. Ἄτερθέ γε τοῦδε] χωρὶς τούτου τοῦ Αἴαντος. ἤτοι τοῦ χρόνου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 644. Ἥκων γενεᾶς ἄριστος] οὕτω γράφε, ἵν' ᾖ ὅμοιον τῷ τῆς στροφῆς κώλῳ, οὕτω γὰρ εὑρέθη καὶ ἔν τινι τῶν παλαιῶν πάνυ. 645. Πολυπόνων] πολυμόχθων τὰ ἐς πόλεμον. ἤγουν, ἐκ πατρὸς ἔχων τὸ πρὸς πολέμους καὶ μάχας ἀνδρείως ὁρμᾷν, τούτου μὲν τοῦ ἐκ φύσεως προσόντος αὐτῷ ἀπέστη, πρὸς δὲ τὰ παρὰ φύσιν ὥρμησεν ὑπὸ τῆς μανίας.

SCHOL. INED. 649. Ὦ τλᾶμον] οἵαν βλάβην δυσβάστακτον τοῦ παιδὸς ἀπόκειταί ἀκοῦσαί σε.

655. Ἀπαιθ

ΑΙΑΣ, ΤΕΚΜΗΣΣΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Αι. " Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
" Φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται.
" Κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
" Χὠ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες.
Κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
Βαφῇ σίδηρος ὥς, ἐθηλύνθην στόμα
Πρὸς τῆσδε τῆς γυναικός. οἰκτείρω δέ νιν

Χήραν

655. Ἅπανθ' ὁ μακρὸς] ἐξέρχεται ὁ Αἴας ὡς δὴ καταπεισθεὶς ὑπὸ Τεκμήσσης μὴ σφάττειν ἑαυτόν. καὶ προφάσει τοῦ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος, ἐπὶ τούτων ἀναχωρεῖ καὶ διαχρῆται ἑαυτόν. παρίστησι δὲ ὁ λόγος ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολουθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιούτων παθῶν ἐπὶ τὸ χεῖρον ἀπολισθαίνουσιν. ὡς ἐν Τραχινίαις ἡ Δηϊάνειρα περὶ τοῦ ἔρωτος διαλεγομένη καὶ τοῦ ἀνδρός, ὅτι αὐτῷ οὐκ ἀντιστήσεται, οὐδὲ λυσιτελεῖ αὐτῇ ἀντιπράττειν τῇ ἐπιθυμίᾳ τοῦ ἀνδρός, πράττει μετὰ ταῦτα ἅπερ αὐτὴν ἀνέπεισεν ἡ ζηλοτυπία. ἤτοι δὲ σχῆμά ἐστιν. ἅπαντα ὁ χρόνος φύει, φησίν· εἶτα ἐξαλλαγῇ, καὶ ταῦτα φανέντα κρύπτεται. ἢ τὸ κρύπτεται ἐπὶ τοῦ χρόνου, ἀντὶ τοῦ κρύπτει. τοῦτο δέ φησιν ὡς μεταβεβλημένος ὑπὸ τῶν προτέρων νοημάτων. 657. Ἁλίσκεται] ἐξελέγχεται, φωρᾶται. ἀπὸ μεταφορᾶς τῶν ἁλισκομένων θηρίων ὑπὸ θηρατῶν. 658. Χὠ δεινὸς ὅρκος] ὅτι καὶ ὀμόσαντες τινὲς, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ. Περισκελεῖς φρέν.] αἱ ἄγαν σκληραὶ ψυχαί. 659. Ὃς τὰ δείν' ἐκαρτέρουν τότε] γράφεται ἐπηπείλησ' ἔπη. ἢ λείπει τὸ ἔπη, ἵν' ᾖ ὅστις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγων τότε ὡσανεὶ, πρότερον. 660. Βαφῇ σίδηρος ὡς ἐθηλύνθην] ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ μᾶλλον σκιραίνεται. οὕτως οὖν διασαλτέον. κἀγὼ γὰρ (φησὶν) ὃς ἠπείλουν, καὶ ἔζεον, καὶ ἐβόων, ὡς ἐν βαφῇ σίδηρος (ὡς Ὅμηρος, Εἰν ὕδατι ψυχρῷ βάπτεται μεγάλα ἰάχοντι) νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός. ἢ ὅτι διττῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν· εἰ δὲ σκιρὸν, ὕδατι.

ΣΧΟΛ.

AJAX, TECMESSA, NUNCIUS, CHORUS.

Iambi.

Aj. "Cuncta longum & immensum tempus
"Promitque ignota, & *olim* nota occulit.
"Nec est quicquam non sperabile: quippe expugnantur
"Et sanctum jusjurandum, & animi pervicaces admodum.
Etenim ego, qui dudum vehementer obdurueram,
Ut ferrum *aqua* tinctum, *nunc* mollius loqui coactus sum
Ab hac muliere. Miseret enim me
Ipsam

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 658. Χὼ δεινὸς ὅρκος] ὅτι καὶ ὀμόσαντες πολλάκις τινὲς, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ. 659. Ὃς τὰ δεινὰ] τὰ δεινὰ, τὰ μεγάλα ὑπέμενον, λέγω δὴ τὸ ἄκαμπτος εἶναι. ἤγουν ὃς ἦν ἀνένδοτος. 660. Βαφῇ σίδηρος ὡς] ἢ πρὸς τὸ ὡς στιλέον· ἵν' ᾖ οὕτως, ὃς ἐκαρτέρουν τὰ δεινὰ, ἤτοι σκληρὸς καὶ ἀνένδοτος ἦν, καθάπερ βεβαμμένος σίδηρος. ἢ πρὸς τὸ τότε, ἀντὶ τοῦ ἐθηλύνθην τὸ στόμα ὑπὸ τῆσδε τῆς γυναικὸς, ὥσπερ ἐν βαφῇ σίδηρος, ἤτοι βεβαμμένος ὑπὸ ἐλαίου, θηλύνεται. ἔστι δὲ κρεῖττον τὸ πρῶτον. εἰκότως δὲ εἶπε τὸ στόμα, ἐπειδὴ καὶ τὰ σκληρὰ ἐκεῖνα διὰ τῆς γλώττης ἔφερεν. ¶ Σχήμ. Τρικλ. 655. Ἅπανθ' ὁ μ.] Αἴαντος μεταμέλεια δῆθεν ἐφ' οἷς προεῖπε τὸν θάνατον αἱρούμενος. ἔστι δὲ καὶ τοῦτο γνωμικόν.

SCHOL. INED. 659. Κἀγὼ γὰρ] ἤγουν κἀγὼ γὰρ, ὃς ἐδεινοπάθουν τότε, ἐμαλάχθην τὸ στόμα παρὰ τῆσδε τῆς γυναικὸς, ὡς ὑπὸ βαφῆς ὁ σίδηρος. L. B. Κἀγὼ γὰρ ὁ Αἴας, ὅστις ἐκαρτέρουν τότε τὰ δεινὰ καὶ ἐδεινοπάθουν, νῦν ἐμαλάχθην τὸ στόμα παρὰ τῆσδε τῆς γυναικὸς τῆς Τεκμήσσης, ὡς ὁ σίδηρος γίνεται χαῦνος ἐν ταῖς βαφαῖς. ἰστέον ὅτι πυρωθεὶς ὁ σίδηρος καὶ βαφεὶς ἐν ὕδωρ, ἰσχυρὸς γίνεται. πυρωθεὶς δὲ ὁ σίδηρος καὶ βαφεὶς ἐν ἐλαίῳ, χαῦνος γίνεται. ἐνταῦθα δὲ τὴν ἐν ἐλαίῳ βαφὴν θέλει δηλοῦν. Bar. 660. Στόμα] ἀντὶ τοῦ, τὴν σφοδρὰν ὁρμὴν, ἀπὸ μεταφορᾶς τοῦ στόματος τῆς μαχαίρας. L. B.

Χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.
Ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
Λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
Μῆνιν βαρεῖαν ἐξαλύσωμαι θεᾶς.
Μολὼν δὲ χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω,
Κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν,
Γαίας ὀρύξας ἔνθα μήτις ὄψεται,
Ἀλλ' αὐτὸ νὺξ ᾅδης τε σωζόντων κάτω.
Ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
Παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
Οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
„Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.

Τοὶ

663. Ἀλλ' εἶμι πρός τε λουτρὰ] πιθανὴ αὐτῷ ἡ ἔξοδος, ὡς ἐπὶ καθαρμόν. μονάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως. 664. Λύματα] μολυσμόν. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅταν ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος. 665. Ἐξαλύσωμαι] φυλάξωμαι, ἐκκλίνω. 666. Μολὼν δὲ χῶρον] εὑρήσω (φησί) τόπον οὗ οὐδεὶς ἐπιβήσεται. τοῦτο δὲ πιθανὸν, ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν διαχρήσασθαι. 667. Τόδ' ἔγχος] ἀντὶ τοῦ τὸ ξίφος. Τοὐμὸν ἔχθιστον βελῶν] τὸ ἔχθιστον τῶν βελῶν ἐμοῦ. βέλη δὲ ἀντὶ τῶν ἀμυντηρίων. βέλη γὰρ τὰ πεμπόμενα. 668. Γαίας ὀρύξας] μὴ λάβε εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπὶ, ἀλλ' οὕτω λέγε, κρύψω τὸ ἐμὸν ἔγχος ὀρύξας ἔνθα τῆς γαίας μήτις ὄψει). 669. Ἀλλ' αὐτὸ νὺξ] λέγει τὸ νὺξ καὶ τὸ ᾅδης, κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά. τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος. 671. Δυσμενεστάτου] δυσμενὴς, ὁ κακὰ νοῶν τινι. ᾧ ἐναντίον ὁ εὐμενής. 674. Ἐχθρῶν ἄδωρα δῶρα] ὁ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο· τῶν δὲ φίλων, καὶ τὰ ἐλάχιστα. ἄδωρα δὲ, κακόδωρα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 664. Ὡς ἂν λύμαθ' ἁγνίσας] ἔθος ἦν τοῖς παλαιοῖς, ὅτε ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν

Ipsam viduam inter hostes, filiumque orphanum relinquere.
Sed eo ad lavacra, & littoralia
Prata, ut cum pollutiones meas abluero,
Gravem iram devitem deæ.
Profectus autem, locum nullius tritum vestigiis sicubi reperero,
Hunc meum gladium occultabo, telorum invisissimum,
In terra effossa, ubi nemo visurus est,
Sed Nox ipsum Plutoque sub terra servent.
Ego enim ab illo die, quo hunc in manus sumsi gladium,
Donum ab Hectore inimicissimo,
Nihil inde ab Argivis unquam percepi boni.
Sed verum est mortalium proverbium,
" Hostium dona non dona, nec utilia.

Quare

νίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος. 667. Ἔχθιστον βελῶν] τῶν ἁμαρτηρίων δηλαδή. βέλη γὰρ τὰ πεμπόμενα, κυρίως. 668. Γαίας ὀρύξας] μὴ λάβῃς εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπὶ, ἀλλ᾽ οὕτω λέγε, κρύψω δὲ τὸ ἐμὸν ἔγχος, ὀρύξας ἔνθα τῆς γαίας οὐδεὶς ὄψεται. 669. Ἀλλ᾽ αὐτὸ νὺξ ᾅδης τε] ταῦτα φησὶ κατ᾽ αὐτὸ τὸ φαινόμενον, ἀφάνειαν καὶ φθοράν. τὸ δὲ ἀληθὲς διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος. 671. Δυσμενεστάτου] τοῦτο λέγει, ἢ διὰ τὸ εἶναι αὐτὸν πολέμιον αὐτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησιν, ἢ (ὅπερ καὶ αὐτὸς λέγει) διὰ τὸ μηδενὸς χρηστοῦ ἀπολαῦσαι, ἐξότου εἴληφε παρ᾽ αὐτοῦ τὸ ξίφος. 673. Ἀλλ᾽ ἔστ᾽ ἀληθὴς ἡ βροτῶν παροιμία] ἢ διὰ μέσου συναπτέον τὸ ἀλλὰ πρὸς τὸ ἐχθρῶν ἄδωρα δῶρα, ἢ οὕτως, ἀλλ᾽ ἔστιν ἡ παροιμία ἀληθής. ἀντὶ τοῦ εἰπεῖν δὲ τὸ ἐχθρῶν ἄδωρα δῶρα, χωρὶς τοῦτο ἐπήνεγκε, καὶ ἔστι τῇ μὲν ἐννοίᾳ συνημμένον, καὶ τῇ τοῦ λόγου ὁρμῇ· κατὰ δὲ τὴν φράσιν, κομματικόν. ¶ Σχήμα Τρικλ. 674. Ἐχθρῶν ἄδ.] γνωμικόν.

SCHOL. INED. 662. Χήραν] χήρα ἐτυμολογεῖται, ἀπὸ τοῦ χητῶ, ὃ σημαίνεται τὸ στερίσκω, καὶ τοῦ ἀνήρ· ἤγουν ἡ γυνὴ ἡ ἐστερημένη τοῦ ἰδίου ἀνδρὸς αὐτῆς. *Bar.* 671. Δυσμενεστάτου] δυσμενής, ὁ κακὰ νοῶν τινι, ᾧ ἐναντίον, ὁ εὐμενής. L. B.

Τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
Εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον· τί μή;
Καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
Τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
Ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος,
Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
Δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
Στένοντα πόντον. ἐν δ' ὁ παγκρατὴς ὕπνος
Λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
Ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;

Ἐγὼ

675. Τοιγὰρ τὸ λοιπὸν] ἐπιφθόνως ἔφρασεν ἐν εἰρωνείᾳ, ἀντιστρέψας τὴν τάξιν. ἔδει γὰρ εἰπεῖν, θεοὺς μὲν σέβειν, εἴκειν δὲ Ἀτρείδαις, ὡς τῶν Ἀτρειδῶν ἐν ἤδη καὶ θεομαχούντων. 676. Ἀτρείδας σέβειν] μιμεῖται μὲν τὸν σώφρονα, κεκίνηται δὲ ὑπὸ τοῦ πάθους. 677. Τί μή;] ἀλλὰ τί οὐχὶ ἄξιον εἶναι; 678. Καὶ γὰρ τὰ δεινὰ] εἰ γὰρ τὰ θεῖα ὑπείκει τιμῇ, πόσῳ μᾶλλον προσήκει τοῖς ἀνθρώποις ταῦτα πράττειν; τὸ δὲ τιμαῖς ὑπείκει, ταῖς ἀλλήλων διανεμήσεσιν. οὐκ γὰρ [illegible] τὸ πᾶν συνέστηκε. προσθετής τις, ἐπεὶ καὶ νέος ἐγένετο. καθηγητικῶς, ὅτι καὶ ἔστηκε. Τὰ δεινὰ καὶ τὰ καρτερώτατα] λέγει, τὰ θεῖα καὶ ὅλως μὴ [illegible]. 679. Νιφοστιβεῖς] τουτέστιν οἱ χιόνας συντιθέντες. στιβάζειν γὰρ καὶ τὸ συντιθέναι. 681. Ἐξίσταται] λέγεται τοῦτο καὶ μετὰ τοῦ ὑπὸ, καὶ τάσσεται ἀεὶ ἐπὶ ὁδοῦ. τὸ δὲ ὑπανίστασθαι, ἐπὶ καθέδρας. οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ, ὑπανίσταμαι δέ σοι τῆς καθέδρας. λευκόπωλον δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν ἥλιον, ὡς [illegible] τὴν ἑσπέραν, ἐπὶ ἅρματος φασὶν ὀχεῖσθαι, δύο ἵππους ἔχοντα λευκοὺς, ὧν τὸν μὲν, Λάμποντα, τὸν δὲ, Φαέθοντα ὀνομάζουσι. Αἰανὴς κύκλος] τουτέστιν ὁ σκοτεινὸς, ἢ ἀδιάλειπτος. 683. Δεινῶν τ' ἄημα] λέγει αὐτὸ, οἷον ἡ, ὑπὸ δεινῶν πνευμάτων στένοντα πόντον, ἄημα [illegible] ἐκοίμισεν αὐτόν. ἀὴρ μὲν, οὗτος ὁ ἀναπνεόμενος· πνεῦμα δὲ ἄνεμος, ἄντικρυς ποιητικῶς. καὶ αὖραι, ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων, τῷ μὲν τὴν αὔραν ἐπὶ τῶν

ἐξ

Quare in posterum sciemus quidem Diis
Cedere, ac discemus Atridas venerari.
Principes sunt, cedendum est igitur. quid ni?
Nam & illa grandia ac potentissima
Honoribus cedunt: *faciunt* hoc nivosæ
Hyemes: frugiferæ æstati cedunt.
Concedit & Noctis tenebrosæ orbis,
Ut equis *vecta* candidis Dies accendat lumen:
Et acribus gementem flatibus levis aura sopivit
Pontum. omnipotens quoque somnus
Solvit impeditos, neque semper captos tenet *mortales*.
Cur igitur & nos non discamus esse modestiores?

Ego

ἐξ ὑγρᾶ ἐκ πνοῶν τέτταρας. τὸ δὲ ἄνεμον, ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων· τὰ πνεύματα δὲ καὶ τοὺς ἀέτους ἐπὶ παντὸς ἀέρος κινηθέντος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 676. Ἀτρείδας σέβειν] αἰτιῶνται κακῶς τινὲς ἐνταῦθα τὸν ποιητὴν, ὅτι δέον τὸ σέβειν πρὸς τοὺς θεοὺς εἰπεῖν, τὸ δὲ εἴκειν πρὸς τοὺς Ἀτρείδας, ὁ δὲ ἐναλλὰξ εἴρηκεν. ἀγνοοῦντες ὅτι ἀδιαφόρως εἴρηκεν (ὥσπερ καί τινες τῶν λογοποιῶν) τῆς κυριολεξίας οὐδὲν φροντίσας. ἄλλως τε καὶ τὸ σέβειν οὐ μόνον πρὸς τοὺς θεοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀνθρώπους φέρεται. 680. Εὐκάρπῳ θέρει] διὰ τί οὐκ εἶπε τῷ ἔαρι, μετὰ τὸν χειμῶνα ὄντι, ἀλλὰ τῷ θέρει; καὶ φανερὸν ὅτι τὸ ἔαρ οὐκ ἔστιν ἄλλο ἢ χειμῶνος μέρος καὶ ἀπόρροια. ἔστι γὰρ καὶ ἐν ἔαρι νιφετὸς πολλὺς πολλάκις. διὰ τοῦτο ἀμφοτέρως τὰς ὑπερβολὰς εἴρηκεν, ὡς ἐναντίας. καὶ γὰρ τὸ μετόπωρον μέρος ἐστὶ θέρους ῥιπίζοντος. 683. Ἐκοίμισε] παυθὲν δηλονότι κατεπράϋνε. τουτέστι, καὶ ἄνεμος σφοδρὸς κυμαίνων τὴν θάλασσαν, οὐκ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ παυσάμενος, γαλήνην ἐστᾶ. ¶ Σχόλ. Τρικλ. 678. Καὶ γὰρ τὰ δεινὰ] γνωμικόν.

SCHOL. INED. 676. Σέβειν] σέβω καὶ σέβομαι γράφεται. τὸ σέβειν, ἥρμοζεν ἐπὶ τῶν θεῶν μᾶλλον. L. B. 680. Εὐκάρπῳ] ἀντὶ τοῦ καρποφόρῳ, ὅμοιον τῷ, εὔκαρπον ὑγρὰν. L. 681. Κύκλος] ἤγουν, ὁ κύκλος δὲ τῆς σκοτεινῆς νυκτὸς ὑποχωρεῖ τῇ λευκοπώλῳ ἡμέρᾳ, ὥστε φέγγειν φέγγος. τὸ δὲ χεῖμα, τῶν Ἀττικῶν. ὥσπερ καὶ λέγω λόγον, καὶ ἐπαινῶ ἔπαινον. *Bar.*

687. Ἐγὼ

Ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι,
Ὅτ' ἐχθρὸς ἡμῖν, ἐς τοσόνδ' ἐχθαρτέος,
Ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλον
Τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
Ὡς αἰὲν οὐ μενοῦντα. " τοῖς πολλοῖσι γὰρ
" Βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
Ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει. σὺ δὲ
Ἔσω θεοῖς ἐλθοῦσα, διὰ τέλους γύναι
Εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
Ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
Τιμᾶτε· Τεύκρῳ τ' ἢν μόλῃ, σημήνατε,
Μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.

Ὑμεῖς

687. Ἐγὼ δ' ἐπίσταμαι] ἐπειδὴ τὸ πᾶν πρὸς τοὐναντίον γίγνεται, εἰκὸς καὶ τοὺς Ἀτρείδας φίλους ἀντ' ἐχθρῶν γενέσθαι. δεῖ οὖν (φησὶ) προσέχειν τοῖς ἐχθροῖς, ὡς αὖθις φίλοις ἐσομένοις, καὶ τοῖς φίλοις, ὡς ἐχθροῖς. συμμέτρως οὖν φησι χρῆσθαι τοῖς πράγμασι. 692. Λιμὴν] ἡ φιλία, ἵν' ᾖ, ἤτοι ἑταιρείας φίλια· ἤτοι καταφυγὴ καὶ ὑποδοχή. 693. Ἀλλ' ἀμφὶ μὲν τούτοισιν] ὅρα πόσον ἐπικρατεῖται ὑπὸ τοῦ πάθους ὁ λογισμός. ὁ τὰ σοφώτατα νῦν εἰπὼν, ἑαυτὸν ἀναιρεῖ. 697. Ὑμεῖς θ' ἑταῖροι] τὰ μὲν τῆς ἀναιρέσεως, δῆλα τῷ θεατῇ· ἀγνοεῖ δὲ ὁ χορός· πεπίστευκε γὰρ τοῖς ὑπ' αὐτοῦ λελεγμένοις. 697. Τιμᾶτε] ἀντὶ τοῦ πείθεσθε. 698. Ὑμῖν ἅμα] γράφεται ὑπέρμαχα. 699. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ'] αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 687. Ἐγὼ δ' ἐπίσταμαι] σημειωτέον ἐνταῦθα τὸ σχῆμα τοῦ λόγου. τὸ γὰρ ἐγὼ δὲ, εἰς οὐδὲν ἀποδίδοται, ἀλλὰ τεμὼν τὸν λόγον διὰ τοῦ ἐπίσταμαι γὰρ, πρὸς τοῦτο τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες, οἱ μὲν φασι τὸ γὰρ ἀργὸν, οἱ δὲ τὸ ὅτι, διὰ μέσου τὸ ἐπίσταμαι γὰρ ἀρτίως, λαμβάνοντες. καὶ μὴν καὶ ἑτέρους ψυχροτέρους ἐστὶν ἰδεῖν, τῷ ὅτι ἀντὶ τοῦ λίαν χρωμένους. οὓς ἐάσαντες ἡμεῖς, φρονῶμεν ὡς ἔφαμεν. εὕροις δὲ καὶ παρὰ λογογράφοις πόλλ' ἕτερα τοιαῦτα· καὶ μαρτυρεῖ Λιβάνιος ἐν τῷ ὑπὲρ ὀρχηστῶν, λέγων οὕτως, Τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, καὶ αἱρέσεως μοι δοθείσης ἀπαγαγών. τόδε, τὸν μὲν οὖν ἐμὸν ἐς Ἀριστείδην ἔρωτα, ἀναπόδοτον ἐάσας. ἢ οὕτως, τὸ μὲν ἐγὼ

δὲ

Ego enim jampridem noveram
Cum hostis essem, ita quempiam odio habendum,
Ut & eum iterum amare possem; amicumque
Tantum opera juvare destino,
Quantum amicum non perpetim mansurum:
" multis enim
" Mortalibus infidus est sodalitiis portus.
Sed hæc recte se habebunt. Tu vero,
Mulier, intro abiens deos sedulo
Comprecare, ut conficiant ea quæ cupio.
Vosque socii eundem mihi, cum hac, honorem
Habete, & Teucro ubi venerit significate,
Nos ut curet, & vobis sit benevolus.
Ego enim eo vado, quo eundum est mihi.

Vos

δὲ πρὸς τὸ ὅτι ἀπόδος, τὸ δὲ, ἐπίσταμαι γὰρ ἀρτίως ὅτι, διὰ μέσου. ὥσπερ γάρ φησι Συνέσιος, Ἀλλ' εὖ οἶδ' ὅτι, οὐκ ἀπαγορεύσετε, τὸ ἀλλὰ πρὸς τὸ οὐκ ἀπαγορεύσετε συνάπτων, τὸ δὲ εὖ οἶδ' ὅτι, διὰ μέσου. οὕτω καὶ τοῦτο. εὕροις δὲ καὶ ἐν ἄλλοις ἕτερα τοιαῦτα. γίνεται δὲ ἡ ἀπάτη ἐνταῦθα διὰ τὸ γάρ. 688. Ὅτ' ἐχθρὸς] ἀπορεῦσιν ἐνταῦθά τινες πῶς ὅτε ἐχθρὸς ἦμεν, καλῶς εἶπεν ἐπὶ παρῳχημένου, ἐπειδὴ τεθνήξεσθαι ἔμελλε, μὴ καὶ τὸ ὠφελεῖν ἐβουλόμην, εἶπεν, ἀλλὰ βουλήσομαι ἐπὶ μέλλοντος. οὐ γὰρ ἔμελλε ζῆν. καὶ φανερὸν ὅτι βουλόμενος ἀπατῆσαι αὐτοὺς, ὥστε μὴ ὑποπτεῦσαι αὐτὸν τεθνήξεσθαι, τοῦτο ἐπὶ μέλλοντος εἶπεν. καὶ ἄνω ἀπατῶν αὐτοὺς, Εἰσόμεσθα θεοῖς εἴκειν, καὶ Ἀτρείδας σέβειν, ἔφη. καὶ κατιὼν, Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον. 692. Ἑταιρείας λιμὴν] καλῶς τοῦτο εἴρηκεν. ὁ γὰρ ἀληθὴς φίλος λιμένος δίκην τοῖς αὐτὸν ἔχουσι καθίσταται, ἡνίκα ἂν ἐν συμφοραῖς περιπέσωσι, καθάπερ ἐν θαλάσσῃ λιμὴν τοῖς χειμαζομένοις χειμῶνι.

SCHOL. INED. 687. Ἐγὼ δ' ἐπίσ'.] ἤγουν, Ἐγὼ δὲ καὶ εἰς τὸν φίλον κατὰ τοσαῦτα βουλήσομαι ὑπουργῶν ὠφελεῖν, ἤγουν ὠφέλιμος γίνεσθαι, ὡς ἀεὶ οὐ μενοῦντα. καὶ γὰρ ἐπίσταμαι ἀρτίως, ὅτι ὅτε ἦμεν ἐχθρὸς, μέχρι τοσούτου, ἤμην δηλονότι, ἐχθραντέος, ἀντὶ τοῦ ἐχθρὸς, ὡς καὶ αὖθις φιλήσων. L. B. 688. Ἐχθρὸς] αἱ ἰσχυραὶ φιλίαι, ἰσχυρὰς καὶ τὰς ἔχθρας ἀπογεννῶσιν. *Bar.* 693. Σὺ δὲ] σὺ δὲ ἐλθοῦσα εἴσω, ὦ γύναι, εὔχου τοῖς θεοῖς διατελοῦς, τελεῖσθαι ἐκεῖνα δηλονότι, ὧν ἐρᾷ τὸ ἐμὸν κέαρ. ἤγουν ἡ ἐμὴ ψυχή. L B. 697. Τιμᾶτε] τιμᾷ ἀρετήν τις, ἀντὶ τοῦ ἐργάζεται. καὶ ἐπαινεῖ σιωπὴν, ἀντὶ τοῦ σιωπᾷ. L. 699. Ἐγὼ γὰρ] αἰνιγματωδῶς λέγει ὁ Αἴας ἐνταῦθα τὸν αὐτοῦ θάνατον, *Bar.*

700. Καὶ

Ὑμεῖς δ᾽, ἃ φράζω, δρᾶτε, κἀν τάχ᾽ ἄν μ᾽ ἴσως
Πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ. α΄.

Χο. Ἔφριξ᾽ ἐν ἔρωτι, περιχαρὴς δ᾽ ἀνεπτάμαν.
Ἰώ, ἰώ, Πάν, Πάν. ὦ
Πάν, Πὰν ἁλίπλαγκτε,
Κυλλανίας χιονοκτύπου
Πετραίας ἀπὸ δειράδος φάνηθ᾽, ὦ
Θεῶν χοροποί᾽ ἄναξ, ὅπως μοι
Νύσια Κνώσια

Ὀρχή-

700. Καὶ τάχ᾽ ἄν μ᾽ ἴσως] ὁ μὲν χορὸς [illegible] νομίζει λέγειν τὸ σῶον· ὁ δὲ αἰνίττεται τὴν τῶν κακῶν τοῦ βίου [?]. 702. Ἔφριξ᾽ ἐν ἔρ.] ἀντὶ τοῦ ἀνεπάλλετο [?] τῇ ἡδονῇ. χρείας ἕνεκα τὸ χορικὸν αὐτοῦ παρείληπται. ἐξελθόντος γὰρ τοῦ Αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσθαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τοῦ ἀγγέλου. διὸ καὶ τὴν ὄρχησιν ποιοῦνται. ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως. τέρπεται ὁ χορὸς ἐπὶ τῇ μεταβολῇ [?] τοῦ νοσοῦντος Αἴαντος, καί φησιν, ὑφ᾽ ἡδονῆς ἔφριξα, καὶ βούλομαι χορεῦσαι. σύντροφος [?] δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μεταβολάς [?], εἰς [illegible] τι καὶ τοῦ πάθους. Ἀνεπτάμαν] ἀνεπτερώθην, ἔστι δὲ ἀντὶ τοῦ ἀνέπτην. οἱ εἰς μι γὰρ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων. 703. Ἰὼ Πὰν, Πὰν] ἐπικαλοῦνται τὸν Πᾶνα, ὡς χορῶν ἐπιστάτην [?]. καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγνωκότος τοῦ Αἴαντος μηκέτι τελευτᾶν. 704. Ἁλίπλαγκτε] ἐπικαλοῦνται τὸν Πᾶνα, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα [illegible], ἢ ὅτι ἐν τοῖς ἀκρωτηρίοις τιμᾶται, ἔνθα πλήσσεται ἡ θάλασσα. ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα ὡς νόμιμον θεόν. ἢ ἁλίπλαγκτε, ἀντὶ τοῦ μεγαλόφωνε [?] ἐν τῇ χορείᾳ. ὡς ἁλίδρομος [?], ὅτι τὸ ἠχῶδες [?] [illegible]. πολύηχος δὲ ἡ θάλασσα. ἁλίπλαγκτε δὲ, ἐπὶ Κυλλανίας ὄρους Ἀρκαδίας. 705. Χιονοκτύπου] ὑπὸ χιόνος τυπτομένου. 706. Δειράδος] ἀκρωτηρίου. ἀπὸ τῆς δειρῆς τοῦ τραχήλου. 707. Ὅπως μοι Νύσια] ὅπως μοι συνάψῃς ὄρχησιν ποικίλην παντοίαν, τὴν οὐκ ἐκ διδαχῆς σοι γενομένην, ἀλλ᾽ ἐκ φύσεως. οὐδεὶς γὰρ ἐδίδαξε τὸν Πᾶνα. 708. Κνώσια] ἐν Νυσίᾳ καὶ ἐν Κνωσσῷ ἐπιτηδείως [?] ἡ ὄρχησις. ἡ Νυσία, τὰ ἐν τῇ Νύσῃ γιγνόμενα. ἔστι δὲ αὕτη Διονύσου ἱερά.

καὶ

Vos vero, quæ dico, facite: & forte cito
Audietis, etsi nunc miser sum, me liberatum.

ANTISTROPHICA. STROPHE.

Cho. Horreo præ lætitia, & gaudio supra modum exulto.
Io, Io, Pan, Pan,
O Pan, Pan, mari pererrato,
Cylleniæ nivalis
Saxoso de jugo nobis appare.
O inter Deos chorearum auctor, & dux, *appare, inquam,* ut mihi
Bacchica & Corybantiaca

Tri-

καὶ συνάδει τῷ Κνώσσια· καὶ ἡ Κνωσσὸς γὰρ Διονύσου. Ἄλλως. τῶν ὀρχήσεων αἱ μέν εἰσι Διονυσιακαὶ, αἱ δὲ Κορυβάντιαι, καὶ ἐνόπλιοι· Νύσιαι οὖν, αἱ Διονυσιακαὶ, παρὰ τὴν Νύσην. Κνώσσιαι δὲ, αἱ Κορυβάντιαι. καὶ Κνωσσὸς γὰρ πόλις Κρήτης. ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς. τῶν δὲ ὀρχήσεων ἡ μὲν, Βερεκυνθιακὴ λέγεται, ἡ δὲ Κρητικὴ, ἡ καὶ Πυῤῥική. Νύσιαι οὖν, αἱ Βερεκυνθιακαί· τῆς γὰρ Νυσίας ἡ Βερέκυνθος. Κνωσσία δὲ, Κρητική.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 704. Πὰν ἁλίπλαγκτε] τὸ Πὰν οὕτω καλεῖ διὰ τὸ τὰ ποίμνια, ὧν ἔφορος οὗτος, ἔαρος ὥρᾳ καὶ θέρους αἰγιαλοῖς πλησιάζειν. 708. Νύσια Κνώσσια] Νύσσος καὶ Κνωσσὸς πόλεις ἐν αἷς Διονύσου τιμωμένου ὀρχήσεις ἐγίνοντο. φασὶ δὲ ὡς καὶ ἐν τῇ Νύσσῃ ταύτῃ Ζεὺς διῃτᾶτο, ὁπότε τῆς Σεμέλης κεραυνοβληθείσης ἐρραψάμενος αὐτὸς τὰς σφετέρας γονὰς ἐν τῷ μηρῷ, δέκα μῆνας ἐξ ἀρχῆς ἔφερεν. ¶ Σχήμ. Τρικλ. 707. Θεῶν χορο.] ἐν τῷ θεῶν συνίζησις.

SCHOL. INED. 700. Ἂν μὲν ἴσως] τὸ ἂν καὶ τὸ ἴσως ἐκ παραλλήλου. *Bar.* 701. Σεσωσμένον] ἰστέον, ὅτι ὁ Αἴας ἡγεῖτο τὴν αὐτοῦ θανάτου σωτηρίαν. διὸ καὶ σεσωσμένον ἑαυτὸν λέγει ἐνταῦθα. *Bar.* 702. Ἔφριξ'] ἤγουν, ὀρθαὶ ἔστησαν αἱ τρίχες μου ὑπὸ ἔρωτος, ἀντὶ τοῦ ὑφ' ἡδονῆς. ὑπὸ περιχαρείας ἀνέπτην, ἀντὶ τοῦ ὥσπερ ὑπόπτερος ἐγενόμην. L. B. Ἀνεπτάμην] ἀνεπτερώθην, ἔστι δὲ ἀντὶ τοῦ ἀνέπτην. οἱ εἰς ην γὰρ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων· ἐπεὶ οὗτοι, τὰ αὐτὰ ἐκείνοις δύνανται. οἷον ἵστημι, στήσω, ἔστησα, ἐπὶ ἐνεργείας. ἔστην δὲ ἐπὶ παθητικοῦ καὶ ἐπὶ ἐνεργητικοῦ· ἀφ' οὗ εὐκτικὸν, σταίην. οὕτω δὴ καὶ ἵπταμαι, ὁ μέλλων πτήσομαι. ὁ δεύτερος ἀόριστος τῶν ἐνεργητικῶν, ἔπτην. καὶ λαμβάνει) ἐπὶ ἐνεργητικοῦ καὶ παθητικοῦ. *Bar.* L. B. 704. Πὰν ἁλίπλαγκτε] τουτέστι, θαλασσόκλυστε. ἔστι δὲ νησίδιον τι πλησίον Ἀρκαδίας, ἐν ᾧ ἦν ναὸς τοῦ Πανὸς, ὅθεν λέγεται θαλασσόπλαγκτος. Πὰν,

Ὀρχήματα αὐτοδαῆ
Ξυνὼν ἰάψῃς.
Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων
Μολὼν ἄναξ Ἀπόλλων
Ὁ Δάλιος, εὔγνωστος
Ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
Ἰώ, Ἰώ· νῦν αὖ νῦν
Ὦ Ζεῦ, πάρα λευκὸν
Εὐάμερον πελάσαι φάος
Θοῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
Λαθί-

Πὰν] μουσικώτατος γὰρ ὁ Πάν. λέγει δὲ δίς. τὸ δὲ σχῆμα, ἐπανάληψις διὰ ἡδονήν. *Bar.* 706. Φάνηθ'] φάνηθι, κανόνισον, φαίνω. ὁ μέλλων, φανῶ. ὁ ἀόριστος πρῶτος, ἔφηνα. ὁ δεύτερος ἀόριστος, ἔφανον. ὁ παθητικὸς δεύτερος ἀόριστος, ἐφάνην. ἡ μετοχὴ, ὁ φανείς, τοῦ φανέντος. καὶ τὸ προστακτικὸν, φάνηθι. ὁ κανών. πᾶσα μετοχὴ εἰς ς ὀξύτονος διὰ τοῦ ντος κλινομένη, εἰς θι ποιεῖ τὸ προστακτικόν. *Bar.* 708. Νύσια Κνώσια] τουτέστι, Διονυσιακὰ καὶ Κορυβαντικά. ὀνόματα ἀπὸ τόπων. ἔστι δὲ ἡ Νυσσὰ, καὶ ἡ Κνωσσὰ, κλίνονται δὲ ὡς ἡ Σαπφώ. *Bar.*

709. Αὐτοδαῆ] αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις, οὐ διδακτά. 711. Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι] ἀναγκαίως καὶ τοῦτο ἡ αἰτία τῆς ὀρχήσεως, ἵνα μὴ δοκῇ ἀλόγως ἐπὶ τοῦτο ἀπαντᾷν. μέλει μοι τόδε πρᾶγμα, καὶ τοῦδε τοῦ πράγματος, καὶ τάδε τὰ πράγματα. καὶ μέλουσί μοι τάδε τὰ πράγματα. 712. Ἰκαρίων δ' ὑπὲρ πελαγέων] ὅτι ἐν τῷ Ἰκαρίῳ πελάγει κεῖται ἡ Δῆλος. 713. Μολὼν ἄναξ Ἀπόλλων] παραγένοιτο δὲ καὶ ὁ Ἀπόλλων διὰ τοῦ Ἰκαρίου πελάγους, τουτέστι τῆς Δήλου. 714. Εὔγνωστος ἐμοὶ ξυνείη διὰ παντ.] φανερὸς ὢν καὶ δῆλος ὅτι φιλεῖς με. 716. Ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμ.] ὁ Αἴας ὁ ἀρήϊος, ἢ ἄρης ὁ πόλεμος ὁ περὶ τὸν Αἴαντα, ἔλυσεν ἡμῶν τὸ σκότος καὶ τὴν κατήφειαν. ἢ ἀπὸ τῶν ὀμμάτων τοῦ Αἴαντος.

Tripudia præsens simul capessas,
Quæ tu ipse per te didicisti.
Nunc enim mihi libet saltare.
Tuque Mare Icarium trajectus,
Rex Apollo
Delie, præsens
Mihi adsis, per omnia benevolus

ANTISTROPHE.

Solvit enim gravem dolorem ab oculis Mavors.
Io, Io: nunc iterum nunc,
O Jupiter, adest lux candida,
Qua nobis licet auspicato
Celeriter pontivagas ad naves accedere, quando
Ajax

Sui

ὁ ἄρης δὲ, ἡ λύσσα, ἡ μανία. 717. Νῦν ὦ Ζεῦ πάρα] νῦν πάρεστιν ἡμέρα λαμπρὰ ἡμῖν ὥστε ἐγγίσαι τῶν νεῶν. πρότερον γὰρ ἐξετρεπόμεθα ἐπιμίγνυσθαι τοῖς Ἕλλησι διὰ τὴν αἰδῶ. 719. Πελάσαι] ὥστε πελάσαι ἐπὶ τῶν νεῶν. 720. Ὅτ' Αἴας λαθίπονος] ὅτι δὴ ὁ Αἴας πάρεστιν ἐκ μετανοίας ἐπὶ τὸ σέβειν τοὺς θεοὺς, καὶ κατατίθεσθαι τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἀτρείδας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 712. Ἰκαρίων] ἐν ᾧ ἡ Δῆλος κεῖται, Ἰκάριον καλεῖται πέλαγος, διὰ τὸ ἐκεῖ τὸν Ἴκαρον πεσεῖν, ἐῤῥυηκότων τῶν ἐκ κηροῦ πτερῶν ὑφ' ἡλίου. Πελαγέων] διφθογγογραφούμενον ἐν τινὶ τῶν παλαιῶν εὕρηται, καὶ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς· πρὸς δὲ τὸν κανόνα τῆς κλίσεως οὐ καλῶς ἔχει. δοκεῖ μοι οὖν ὡς ἐλλιπές ἐστι τὸ κῶλον. τοῦτο δέ ἐστι γνῶναι ἀπὸ τοῦ κώλου τῆς ἀντιστροφῆς. ἐν ἐκείνῳ γὰρ περιττόν τι ὂν, ἐξεβλήθη παρ' ἡμῶν. Ἀπ' ὀμμάτων Ἄρης] ἤτοι ὁ θεός. οὗτος γὰρ αἴτιος τῆς μανίας. ἢ τὸ Ἄρης ἀντὶ τοῦ ὁ πολεμικὸς Αἴας. τὸ δὲ ὀμμάτων, ἢ τῶν ἡμετέρων, ἢ τῶν ἑαυτοῦ.

SCHOL. INED. 712. Ἰκαρίων] ἐν τῷ Ἰκαρίῳ πελάγει ἐστὶ νῆσος τοὔνομα Δῆλος, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα τεχθῆναι καὶ τὴν Ἄρτεμιν. ὀνομάσθη δὲ Ἰκάριον πέλαγος, διὰ τὸ πνιγῆναι ἐκεῖ Ἴκαρον τὸν υἱὸν Δαιδάλου τοῦ Κρητός. *Bar.* Ἰκαρίων δ' ὑπὲρ πελαγέων] ἤγουν, διὰ τῶν Ἰκαρίων δὲ πελαγέων ὁ ἄναξ ὁ Ἀπόλλων ὁ Δήλιος ἐλθὼν εὔγνωστος συνείης διὰ παντὸς ἐμοί, μετὰ ἡδονῆς. L. B. 720. Θοᾶν] θοᾶν, καὶ ἀκυάλων ἐκ παραλλήλου. ἤγουν ταχείων, τουτέστι τῶν διερχομένων ταχέως ἐπὶ θαλάσσης. L. B. *Bar.*

722. Πάν.

Λαθίπονος πάλιν, θεῶν δ' αὖ
Πάνθυτα θέσμια
Ἐξήνυσεν, εὐνομίᾳ
Σέβων μεγίστᾳ.
" Πάνθ' ὁ μέγας χρόνος μαραίνει
" Τε καὶ φλέγει· κοὐδὲν ἀναύδη-
τον, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετανεγνώσθη
Θυμῶν Ἀτρείδαις μεγάλων τε νεικέων.

ΙΑΜΒΟΙ.

Αγ. Ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω.
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ
Κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον,
Κυδά-

722. Πάνθυτα] πάντελεια. 723. Ἐξήνυσεν] ἐξεπλήρωσεν. 725. Πάνθ' ὁ μέγας χρόνος] τὰ ὑπὸ τοῦ Αἴαντος διὰ πολλῶν εἰρημένα, διὰ βραχέων ἐξῆλθεν. 726. Ἀναύδητον] ἀπόρρητον. ἀνέλπιστον. ἄλεκτον. 727. Εὖτέ γ' ἐξ ἀέλπτων] ὁπότε ἐξ ἀνελπίστων καὶ μεγάλων νεικέων ὁ Αἴας μετεπείσθη, καὶ μετεβλήθη τὴν ψυχὴν, ταῖς Ἀτρείδαις ἀπὸ τῆς ἔχθρας. ἀπορήσειεν ἄν τις ἐνταῦθα πῶς πρῶτον εἰς τὸ μετανεγνώσθη αἰτιατικὴν ἐπήνεγκε τὸν θυμὸν, ἔπειτα γενικὴν τῶν μεγάλων νεικέων. καὶ φαμὲν ὅτι τὴν μὲν αἰτιατικὴν οὐ καθ' ὃ τὸ μετανεγνώσθη ἀπῄτει, ἀλλὰ καθ' ὅλον καὶ μέρος συνέταξε, καὶ μετανεγνώσθη λέγων κατὰ τὸν θυμόν. εἰς δὲ τῶν μεγάλων νεικέων, κατὰ φύσιν. 730. Ἄνδρες φίλοι] ἄγγελος ἥκει ἀπὸ τοῦ στρατοῦ ἀγγέλλων τὴν παρουσίαν τοῦ Τεύκρου. θαυμασία δὲ ἡ εἴσοδος τούτου τοῦ ἀγγέλου. τοῦ Αἴαντος ἔξω ἑαυτὸν διακεχωρηκότος, οὐκ εἶχεν οὐδ' ἀπὸ τοῦ χοροῦ, οὔτε ἡ Τέκμησσα, γνῶναι τὸ πραχθέν. πιθανῶς οὖν ὁ ἄγγελος ἀπαγγείλας, παρασκευάζει αὐτοὺς ἐξιέναι κατὰ ζήτησιν. καὶ ὅπως ἐπιτεύξονται τῷ πλάσματι. δεξιῶς δὲ καὶ τὸ, τὸν Κάλχαντα μαθεῖν· οἰκεῖον γὰρ τῷ μάντει. καλῶς δὲ καὶ τὰς τῆς σκηνῆς ἐσκεύασεν· Αἴαντος γὰρ καταλιπόντος, προῆλθεν ὁ ἄγγελος. εἶτα τοῦ χοροῦ τὴν σκηνὴν ἐάσαντος διὰ τὴν ζήτησιν, ἔξεισιν ὁ Αἴας ἐπὶ τὴν πρᾶξιν. τῷ δὴ θεατῇ ἄλλο ἔρ-

γον

Sui oblitus doloris iterum *eſt*, deorumque rurſus
Venerandos omnibus
Abſolvit ritus, lege
Colens eos optima.
" Omnia longum tempus conſumitque,
" Et accendit: & nihil non ſperandum;
Siquidem præter ſpem
Ajax reſipuit, animis
Erga Atridas pacatis, magniſque jurgiis.

IAMBI.

Nun. Viri amici, hoc primum nunciare volo.
Teucer jam recens adeſt à Myſiis
Rupibus: media autem ingreſſus caſtra,

Con-

γὸν παραλείπεται, πεποικιλμένης διαφόρως τῆς ἐν τῇ σκηνῇ προσωποποιΐας. 732. Κρημνῶν] τῶν χωρίων. Στρατήγιον] στρατήγιον δὲ τὸ στρατόπεδον, Ἀττικῶς. κυρίως δὲ στρατήγιον ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν προὐχόντων βουλεύεσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 721. Λαθίπονος] ἤγουν, ἐπιλελησμένος ὑπάρξει τοῦ πόνου, καὶ τῆς λύπης, ἣν ἀπὸ μανίας εἶχεν. 723. Ἐξήνυσεν] ἐξεπλήρωσεν. ἤγουν ὅπερ οἱ θεοὶ ἀποδέχονται, σέβειν τε αὐτοὺς λέγω, καὶ τιμὰς νέμειν τοῖς ἄρχουσι, ταῦτ' Αἴας τελεῖν ὑπέσχετο νῦν, τἀναντία πρόσθεν ὑπὸ μανίας φρονῶν. 726. Καὶ οὐδὲν ἀναύδητον] οἱ γράφοντες, καὶ οὐδὲν ἀναύδητον φατίξαιμ' ἄν, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. διὸ περισσὸν ὂν ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. ἀλλὰ καὶ οἱ γράφοντες θυμῶν, τὸ μων μικρὸν οὐ καλῶς γράφουσι. μακρὰ γὰρ ὀφείλει εἶναι ἡ τοιαύτη συλλαβὴ, ὡς καὶ ἡ τοῦ κώλου τῆς στροφῆς. 732. Προσμολὼν στρατήγιον] ἤγουν τὸ στρατόπεδον. κυρίως δὲ στρατήγιον ὁ τόπος ὃς τοῖς στρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν προὐχόντων βουλεύεσθαι. ¶ Σχόλ. Τρικλ. 725. Πάνθ' ὁ μέ.] γνωμικόν. 729. Νεικέων] συνίζησις. 730. Ἄνδρες φίλοι] προκατάστασις καὶ διήγησις τῶν συμπάντων Τεύκρῳ.

SCHOL. INED. 727. Εὖτέ γ' ἐξ ἀέλπτων] οὐδὲν ἀνέλπιστον ἀποφήναιμι, ἐπειδὴ ὁ Αἴας μετεβλήθη κατὰ τὴν ψυχὴν, ἐκ τῶν ἀνελπίστων καὶ μεγάλων φιλονεικιῶν τῶν κατὰ τῶν Ἀτρειδῶν. *Bar.* 732. Κρημνῶν.] ἤγουν, ἀπὸ τοῦ κρημνώδους τόπου τῶν Μυσῶν. L. B. Προσμολὼν στρατ.] ἤγουν ἐλθὼν πρὸς μέσον τὸ στρατήγιον, ἤγουν τὸ στρατόπεδον, τὸ στράτευμα. L. B.

733. Κυδά-

Κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
Στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
Μαθόντες, ἀμφέστησαν, εἶτ' ὀνείδεσιν
Ἤρασσον ἔνθεν κἄνθεν· κοὔτις ἔσθ' ὃς οὔ.
Τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
Ξυναίμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
Τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
Ὥστ' εἰς τοσοῦτον ἦλθον ὥστε καὶ χεροῖν
Κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω,
Ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
Ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;

" Τοῖς

733. Κυδάζεται] λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. καὶ Ἐπίχαρμος ἐν Ἀμύκῳ, Ἄμυκε μὴ κύδαζέ μου τὸν πρεσβύτερον ἀδελφόν. καὶ Αἰσχύλος ἐν Ἰφιγενείᾳ, Οὔτι γυναιξὶ κυδάζεσθαι. τί γάρ; ἀρσενικῶς δὲ ὁ κύδος ἐπὶ τῆς ὕβρεως. 736. Ἤρασσον] ἔπληττον. ἐβλασφήμουν πάντες ὁμοφωνοῦντες. 738. Ἀποκαλοῦντες] Ἀττικὸν ἔθος, τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικὰ, καὶ ἀνάπαλιν. ὡς καὶ νῦν, Οὔτις ἔσθ' ὃς οὐχὶ ἔλεγε σύναιμον αὐτὸν ἀποκαλοῦντες. Ὡς οὐκ ἀρκέσοι] ἐπὶ τοῦ Τεύκρου, ὡς οὐκ ἀρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι. ὡς οὐ κωλύσει αὐτὸν καταλιθωθῆναι. 739. Καταξανθεὶς] ἤγουν διαλυθεὶς ὑπὸ τῶν πετρῶν. 741. Διεπεραιώθη] διειλκύσθη. διῆλθεν. ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται. 742. Λήγει δ' ἔρις] ἡ ἔρις εἰς πολὺ δραμοῦσα, καὶ προκόψασα, ἔστη τῇ συναντήσει τοῦ λόγου Νέστορος. ἐκ τῆς Ἀχιλλέως δὲ πρὸς Ἀγαμέμνονα ἀρχῆς παραγέγραπται· καὶ ὥσπερ ὁ Νέστωρ ἐκεῖ διαλλάσσει, οὕτω καὶ νῦν οἱ γέροντες. ἡ ἔρις οὖν προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον ἐκ τῆς ὁμιλίας. 743. Ἐν ξυναλλαγῇ λόγου] τῇ ἀμοιβῇ τοῦ λόγου καὶ συμβιβάσει.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 744. Ἀλλ' ἡμὶν] τὸ ἡμῖν οἱ τραγικοὶ διτονίζουσι, ποτὲ μὲν περισπῶντες, ὅτε καὶ μακρὰν ἔχει τὴν λήγουσαν· ποτὲ δὲ ὀξύνοντες, ὅτε καὶ βραχεῖαν αὐτὴν ἔχει. καὶ δοκεῖ μὲν βραχὺ εἶναι, ὡς μὴ ἀπὸ συναιρέσεως γινόμενον. οὐ γάρ ἐστιν εἰπεῖν ἡμεῖν ἡμῖν. φύσει δὲ πᾶσα δοτικὴ, μὴ ἀπὸ συναιρέσεως ἔχουσα τὸ ι, βραχὺ αὐτὸ ἔχει. πρὸς ἀναλογίαν

βραχὺ

Conviciis urgetur ab omnibus Argivis simul.
Progredi enim eum ulterius cum senserant, undiq;
Circumsteterunt, deinde maledictis,
Proscindebant hinc inde (neque quisquam erat qui non)
Ipsum furentis & insidiantis exercitui
Fratrem *ad invidiam* vocantes, ut vix absit
Quin saxis totus laceratus moriatur.
Eo usque venere ut jam manibus
E vaginis stricti educerentur gladii.
Conquievit tamen contentio, ad summum progressa,
Senum composita sermonibus.
Verum ubi nobis est Ajax, ut hæc narrem?

" Nam

βραχὺ μέντοι τοῦ ἡμῶν καὶ ἡμᾶς μακρὰν ἐχόντων τὴν λήγουσαν, μακρὸν καὶ αὐτὸ ἐνίοτε γίνεται, καὶ τὸν αὐτὸν αὐτοῖς τόνον δέχεται. ὅπερ καὶ ἐπεκράτησε παρὰ τοῖς μεταγενεστέροις, ὅτι δὲ τὸ ἡμῖν δύναται καὶ βραχεῖαν ἔχειν τὴν λήγουσαν, τεκμήριον τὸ ἄμμιν καὶ ὔμμιν, βραχεῖαν αὐτὴν ἔχοντα, οὐ διὰ ἀναβιβάζειν τὸν τόνον, ἀλλ' ὅτι καὶ τὴν ἀρχὴν ταύτην βραχεῖαν εἶχον. ὡς καὶ τὸ ἐστὶ καὶ ἔστι. τὰ γὰρ μακρὰν τὴν λήγουσαν ἔχοντα, καὶ ἀναβιβάζοντα τὸν τόνον, μακρὰν πάλιν αὐτὴν φυλάττει, οἷον τὸ χοῦ, ἀπόχου, θοῦ, ἄποθου, καὶ ὅσα τοιαῦτα. ¶ Σχήμ. Τρικλ. 739. Τὸ μὴ οὐ] συνίζησις. 741. Κουλεῶν] συνίζησις.

SCHOL. INED. 733. Κυδάζεται] κατ' εὐφημισμόν. κυδαίνω καὶ κυδάζω, τὸ δοξάζω. ἀντὶ δὲ τοῦ εἰπεῖν κυκάζεται, ἤγουν λοιδορεῖται, κυδάζεται εἶπε. *Bar.* 734. Ἐν κύκλῳ ἀμφέστησαν] Ἀντὶ τοῦ, περιεκύκλωσαν. L. B. 736. Ἤρασσον] ἔβαλλον ἀπὸ τούτου τοῦ μέρους καὶ ἐξ ἐκείνου. L. Κοὔτις ἔσθ'] ἤγουν, οὐδείς ἐστιν ὅστις οὐκ ἔβαλλε δηλονότι ὀνείδεσιν. L. B. 738. Ἀρκέσοι] ἤγουν, οὐκ ἐπαρκέσοι ἑαυτῷ δηλονότι. ἤγουν, οὐ βοηθήσοι τὸ μὴ θανεῖν, καταξανθεὶς πέτραις. ἤγουν, διαλυθεὶς ὑπὸ τῶν πετρῶν. L. B. Καὶ οὕτως οὐκ ἀρκέσει αὐτῷ τῷ Τεύκρῳ, τὸ μὴ μόνον θανεῖν αὐτὸν, ἀλλὰ καταξανθεὶς πᾶς πρῶτον πέτροις, θνήξεται. *Bar.* 739. Πέτροισι] ἡ πέτρα, κοινὸν, ὁ πέτρος Ἀττικόν. *Bar.* 740. Ὥστε καὶ χεροῖν] ὥστε καὶ ξίφη διὰ τῶν χειρῶν διεπεραιώθη ἐρυστά. ἤγουν διόλου ἐξειλκύσθη τῶν κουλεῶν. L. B. 742. Λήγει δ'] τουτέστιν, αὐξηθεῖσα ἕνεκα τοῦ ἐλθεῖν εἰς πλεῖον, ἔληξεν, ἡ ἔρις ἐν παραινέσει καὶ διδασκαλίᾳ τοῦ λόγου τῶν γερόντων ἀνδρῶν. *Bar.*

746. Οὐκ

Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
Εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
Θεὶς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
Εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι μηδ' ἀφέντ' ἐᾶν,
Εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
Ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ
Δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
“ Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
“ Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
“ Ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
“ Βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,

Ἄνους

761. Μεταστὰς] μεταχωρήσας, μεθίστασθαι γὰρ τὸ ἀμείβειν στάσιν ἐκ στάσεως· καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπου. Ἀτρειδῶν δίχα] πάνυ ἀξιοπίστως. ὅτι οὐκ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ, κατ' εὔνοιαν τοῦ Αἴαντος. 763. Παντοίᾳ τέχνῃ εἶρξαι] ἤγουν, κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν Αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν. 765. Ἀφέντ' ἐᾶν] ἤγουν ἀπολύσαντα. ὅμοιον δὲ τῷ, ἔφη λέγων. 767. Ἐλᾷ γὰρ αὐτὸν] πιθανῶς, ὡς μάντις, τὴν αἰτίαν λέγει τῆς μανίας. κατ' ἀρχὰς γὰρ ἡ Ἀθηνᾶ οὐδὲν τούτων προεῖπε. 769. Τὰ γὰρ περισσὰ κἀνόνητα] τὰ παρέλκοντα καὶ ἀχρήσιμα καὶ πέρα τοῦ μέτρου. τὰ χωρὶς δικαίου. 770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων. 771. Ὅστις ἀνθρώπου φύσιν] περιΐσταται ὁ νοῦς εἰς τὸ, γνῶθι σεαυτόν. πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅστις τὸ ἀνθρώπου ἀποδὺς, ἅτινα δέον εἰπεῖν, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. ἁπλούστερον γὰρ ὅ τινες, εἰπεῖν ἔδει. τὸ δὲ ὅλον, ὅστις ἄνθρωπος πεφυκὼς, ἔπειτα μὴ καθ' ἄνθρωπον φρονεῖ. Φύσιν] οὐσία φύσεως διαφέρει. οὐσία μὲν ἐστὶν ἡ ὕπαρξις. φύσις δὲ, ἡ ἐνοῦσα τινὶ δύναμις. οἷον, φύσις ἐστὶ γῆς τὸ ἀναβλαστεῖν βοτάνας, καὶ φύσις τοῦ πυρὸς, τὸ θερμαίνειν· ἀφ' οὗ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυΐα ἐπὶ τούτου. εἰκότως οὖν εὐφυΐα καὶ ἐπὶ ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, καὶ τῶν τοιούτων. λέγεται φύσις καὶ ἡ ποιότης, οἷον, περιβέβληται

ται

Calchas secedens seorsum ab Atridis,
In manum Teucri amanter dextra
Inserta, dixit, & mandavit, omnibus artibus
Cohibere per huncce, qui nunc lucet, diem
Ajacem intra tentorium, neque ut elabatur pati,
Si vivum ipsum videre ultra vellet.
Agitat enim hac sola die eum
Divæ Minervæ gravis ira, ut ille dixit.
" Namque vasta & *sibi* incommoda corpora
" Cadere in gravia Deorum *ira* infortunia,
" Dicebat vates: siquis, *inquam*, hominis naturam
" Sortitus, haud dein, hominem uti decet, sapit.
Ille vero ex ædibus jam profecturus
Demens

ται φύσεως οὐ μιᾶς· ἤγουν ποιότητος. καὶ τὸ κάλλος φύσις, καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν. οὐ μαθὼν ὅς εἶ φύσιν. 773. Ἀπ' οἴκων] ἀπὸ τῶν οἴκων τῶν πατρικῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 767. Τῇ δὲ θ' ἡμέρᾳ] λέγουσί τινες ὡς τὸ θ' ἀντὶ τοῦ τε λαμβάνεται, καὶ συνάπτεται πρὸς τὸ γὰρ οὕτω, καὶ γὰρ ἐλᾷ τῇδε τῇ ἡμέρᾳ τοῦτον· σὺ δὲ ἀντὶ τοῦ τοι νόει, κουφιζομένου τοῦ οι, ὥσπερ καὶ τῆς αι διφθόγγου, ὡς ἔχει τὸ βούλομαι ἐγώ. 768. Ὡς ἔφη λέγων] τὸ ἔφη καὶ τὸ λέγων ἐκ παραλλήλου τινὲς οἴονται. τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο, οὕτως ἔφη καὶ οἱονεὶ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον. 770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων. 772. Ἔπειτα] τινὲς οἴονται εἰς ἀπόδοσιν μετοχῆς τιθέμενον, ἀργὸν εἶναι. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ τὴν αὐτοῦ σώζει φύσιν. ἠπάτηνται δὲ ἀπὸ τούτου, ὅτι εἰ ἀπῆν τοῦ ῥυθμοῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε. πρὸς οὓς φήσομεν, ὅτι καὶ ἕτερα μυρία τοιαῦτά ἐστιν εὑρεῖν, ὥσπερ καὶ τὸ πρὸς κακοῦ ἐστι τὸ φρονεῖν. τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρὸς, ἀργὸν δοκοῦν παρὰ τοῖς πολλοῖς. ¶ Σχήμ. Τρικλ. 773. Κεῖνος δ' ἀπ' οἴκ.] τίνα πρὸς τὸν αὐτοῦ πατέρα Αἴας ἔφη, ὅτε πρὸς Τροίαν ἔμελλε πλεύσειν.

SCHOL. INED. 772. Κατ' ἄνθρωπον] καθὼς ἀπαιτεῖ ἡ φύσις τῶν ἀνθρώπων. *Bar.* Φρονεῖ] Διανοεῖται, πίστει καὶ ἀπόλλυται. *Bar.* L. 773. Κεῖνος δ'] οὗτοι εἰσὶν οἱ λόγοι, οὓς ὁ Κάλχας εἶπε πρὸς Τεῦκρον, μέχρι τοῦ γενοίμεθα αὐτοῦ σωτήριοι. *Bar.*

" Τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
Χο. Οὐκ ἔνδον. ἀλλὰ φροῦδος ἀρτίως, νέας
Βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
Αγ. Ἰοὺ, ἰού.
Βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
Πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς;
Χο. Τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
Αγ. Τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
Μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
Χο. Ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιστον τραπεὶς
Γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
Αγ. Ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
Εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
Χο. Ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
Αγ. Τοσοῦτον οἶδα, καὶ παρὼν ἐτύγχανον.
Ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου

Κάλχας

746. Οὐκ ἔνδον] ἐν συντόμῳ. οὐκ ἀναγκαῖον γὰρ διαλογιῶν περὶ ὧν ἤκουσεν ὁ ἀκροατής. 747. Νέοισι] καινοῖς. Ἐγκαταζεύξας] συνθείς. 748. Ἰοὺ, ἰού.] εἰδὼς ἀπὸ τοῦ μάντεως ὅτι κακὸν αὐτῷ γίνεται, τοῦτο προαναφωνεῖ. 750. Ἢ 'φάνην ἐγὼ βραδύς] ἤπερ. φησὶ δὲ ὅτι οὐκ ἐβράδυνα παραγινόμενος, ἀλλὰ βραδέως ἐπέμφθην. 751. Τί δ' ἐστὶ χρείας τῆσδ'] οἷον τί σοι λείπει ὅπερ σπάνιόν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν; ἐσπάνιζε γὰρ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι. καὶ ἐν Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος. Βιότῳ δέ σε μᾶλλον ὄνασα πρότερος ἐλθών. Ὑπεσπανισμένον] δεόμενον τῆς τοῦ Αἴαντος παρουσίας. 752. Τὸν ἄνδρ' ἀπηύδα] ἀναγκαίως διηγεῖται, ὁπότ' ἔγνωκεν ἀπόντα τὸν Αἴαντα. ἤδη γὰρ ἀπηλλάχθη τοῦ θεάτρου. λέγει δὲ ὅτι ἀπηγόρευσεν ὁ Τεῦκρος μὴ παριέναι τὸν ἄνδρα ἐκ τῆς σκηνῆς ἔξω. τοῦ δὲ μὴ καὶ παρόντος καὶ ἀπόντος σώζεται ἡ ἔννοια.

753. Παρ-

" Nam dominis oportet rem omnem indicare.
Cho. Non est intus, sed modo abiit, nova
Consilia novis ut adjunxit moribus.
Nun. Heu, Heu.
Tardene ergo hac via
Teucer hunc me misit? an ego tardius veni?
Cho. Quid est in hoc negotio, quod desideretur?
Nun. Virum hunc vetuit Teucer in tentorio *clausum*
Non foras exire, priusquam ipse præsens adesset.
Cho. Sed abit sane conversus ad optimum consilium,
Ut ab ira cum Dis in gratiam redeat.
Nun. Hæc verba prorsus fatuitatis sunt plena,
Siquidem quid Calchas *ei* benevolus veri prædicat.
Cho. Quodnam? quidve hac de re compertum habens?
Nun. Tantum novi, & præsens adfui:
Ex consilio enim & corona regum
Calchas

753. Παρήκεν] παριέναι. 754. Πρὸς τὸ κέρδιστον] ἤγουν πρὸς τὴν ἐπικερδῆ καὶ ἐπωφελῆ γνώμην. 755. Ὡς καταλλαχθῇ χόλου] πιθανῶς, ὡς πολῖται, χόλον καὶ οὐ μανίαν λέγουσιν. οἴχεται οὖν τραπεὶς πρὸς τὸ κέρδιστον τῆς γνώμης, ὅπως τὴν ἔχθραν καταθῆται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τοῦ χόλου. 756. Ταῦτ' ἐστὶ τἄπη] ἐπίσταται γὰρ ἀκηκοέναι τὰ παρὰ τοῦ Κάλχαντος. Πλέα] ἤγουν πεπληρωμένα. πλέον, τὸ περισσότερον, μικρόν· καὶ κλίνεται πλέονος· πλέον δὲ, τὸ ἀνάπλεων, μέγα. 757. Εἴπερ τι Χάλχας] ἐκ παροιμίας ὁ στίχος παρῆκται· ἣν καὶ Ἀριστοφάνης ἀναγράφει. 760. Κύκλου] χοροῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 754. Πρὸς τὸ κέρδιστον] πρὸς τὴν ἀμείνονα βουλήν. τοῦτο γὰρ δηλοῖ τὸ κέρδιστον τῆς γνώμης. λέγει δὲ τὴν ἐπὶ καθάρσει ἔξοδον. 759. Καὶ παρὼν ἐτύγχανον] ἤγουν ἃ μέλλω εἰπεῖν, οὐ παρ' ἄλλου ἤκουσα, ἀλλ' αὐτὸς παρὼν ἠκροώμην.

SCHOL. INED. 748. Ἰοὺ, ἰοὺ] εἰδὼς ὁ ἄγγελος ἀπὸ τοῦ μάντεως, ὅτι κακὸν γίνεται τῷ Αἴαντι τοῦτο τὸ μὴ εἶναι αὐτὸν ἔνδον τῆς σκηνῆς, προαναφωνεῖ τὸ Ἰοὺ, ἰού. *Bar.* 758. Εἰδὼς τοῦδε πράγμ.] περὶ τούτου τοῦ πράγματος, ἤγουν τῆς ἐξελεύσεως τοῦ Αἴαντος. L. B.

Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
Εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
Θείς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
Εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι μηδ' ἀφέντ' ἐᾶν,
Εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
Ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ
Δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
" Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
" Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
" Ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
" Βλαστών, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,

Ἄνους

761. Μεταστὰς] μεταχωρήσας. μεθίστασθαι τὸ ἀμείβειν στάσιν ἐκ στάσεως· καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπου. Ἀτρειδῶν δίχα] πάνυ ἀξιοπίστως. ὅτι οὐκ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ, κατ' εὔνοιαν τοῦ Αἴαντος. 763. Παντοίᾳ τέχνῃ εἶρξαι] ἤγουν, κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν Αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παροῦσαν ταύτην ἡμέραν. 765. Ἀφέντ' ἐᾶν] ἤγουν ἀπολύσαντα. ὅμοιον δὲ τῷ, ἔφη λέγων. 767. Ἐλᾷ γὰρ αὐτὸν] πιθανῶς, ὡς μάντις, τὴν αἰτίαν λέγει τῆς μανίας. κατ' ἀρχὰς γὰρ ἡ Ἀθηνᾶ οὐδὲν τούτων προεῖπε. 769. Τὰ γὰρ περισσὰ κἀνόνητα] τὰ παρέλκοντα καὶ ἀχρήσιμα καὶ πέρα τοῦ μέτρου. τὰ χωρὶς δικαίου. 770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων. 771. Ὅστις ἀνθρώπου φύσιν] περιίσταται ὁ νοῦς εἰς τό, γνῶθι σαυτόν. πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅστις τὸ ἀνθρώπου ἀποδούς, ἅτινα δέον εἰπεῖν, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. ἁπλούστερον γὰρ ὅ τινες, εἰπεῖν ἔδει. τὸ δὲ ὅλον, ὅστις ἄνθρωπος πεφυκώς, ἔπειτα μὴ καθ' ἄνθρωπον φρονεῖ. Φύσιν] οὐσία φύσεως διαφέρει. οὐσία μὲν ἐστὶν ἡ ὕπαρξις. φύσις δέ, ἡ ἐνοῦσα τινὶ δύναμις. οἷον, φύσις ἐστὶ γῇ τὸ ἀναβλαστεῖν βοτάνας, καὶ φύσις τοῦ πυρός, τὸ θερμαίνειν· ἀφ' οὗ εὐφυής, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυΐα ἐπὶ τούτου. εἰκότως οὖν εὐφυΐα καὶ ἐπὶ ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, καὶ τῶν τοιούτων. λέγεται φύσις καὶ ἡ ποιότης, οἷον, περιβέβλη-

ται

Calchas secedens seorsum ab Atridis,
In manum Teucri amanter dextra
Inserta, dixit, & mandavit, omnibus artibus
Cohibere per huncce, qui nunc lucet, diem
Ajacem intra tentorium, neque ut elabatur pati,
Si vivum ipsum videre ultra vellet.
Agitat enim hac sola die eum
Divæ Minervæ gravis ira, ut ille dixit.
" Namque vasta & *sibi* incommoda corpora
" Cadere in gravia Deorum *ira* infortunia,
" Dicebat vates: siquis, *inquam*, hominis naturam
" Sortitus, haud dein, hominem uti decet, sapit.
Ille vero ex ædibus jam profecturus

Demens

ται φύσεως οὐ μιᾶς· ἤγουν ποιότητος. καὶ τὸ κάλλος φύσις, καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν. οὐ μαθὼν ὃς εἶ φύσιν. 773. Ἀπ' οἴκων] ἀπὸ τῶν οἴκων τῶν πατρικῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 767. Τῇ δέ θ' ἡμέρᾳ] λέγουσί τινες ὡς τὸ θ' ἀντὶ τοῦ τε λαμβάνεται, καὶ συνάπτεται πρὸς τὸ γὰρ οὕτω, καὶ γὰρ ἐλᾷ τῇδε τῇ ἡμέρᾳ τοῦτον· σὺ δὲ ἀντὶ τοῦ τοι νόει, κουφιζομένου τοῦ οι, ὥσπερ καὶ τῆς αι διφθόγγου, ὡς ἔχει τὸ βούλομαι ἐγώ. 768. Ὡς ἔφη λέγων] τὸ ἔφη καὶ τὸ λέγων ἐκ παραλλήλου τινὲς οἴονται. τὸ δ' οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν, τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο, οὕτως ἔφη ἤγουν οἱονεὶ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον. 770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυσβαστάκτων. 772. Ἔπειτα] τινὲς οἴονται εἰς ἀπόδοσιν μετοχῆς τιθέμενον, ἀργὸν εἶναι. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ τὴν αὐτοῦ σώζει φύσιν. ἠπάτηνται δὲ ἀπὸ τούτου, ὅτι εἰ ἀπῆν τοῦ ῥυθμοῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε. πρὸς οὓς φήσομεν, ὅτι καὶ ἕτερα μυρία τοιαῦτά ἐστιν εὑρεῖν, ὥσπερ καὶ τὸ πρὸς κακοῦ ἐστι τὸ φρονεῖν. τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρὸς, ἀργὸν δοκοῦν παρὰ τοῖς πολλοῖς. ¶ Σχήμ. Τρικλ. 773. Κεῖνος δ' ἀπ' οἴκ.] τίνα πρὸς τὸν αὐτοῦ πατέρα Αἴας ἔφη, ὅτε πρὸς Τροίαν ἔμελλε πλεύσειν.

SCHOL. INED. 772. Κατ' ἄνθρωπον] καθὼς ἀπαιτεῖ ἡ φύσις τῶν ἀνθρώπων. *Bar.* Φρονεῖ] Διανοεῖται, πίπτει καὶ ἀπόλλυται. *Bar.* L. 773. Κεῖνος δ'] οὗτοι εἰσὶν οἱ λόγοι, οὓς ὁ Κάλχας εἶπε πρὸς Τεῦκρον, μέχρι τοῦ γενοίμεθα αὐτοῦ σωτήριοι. *Bar.*

Ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
Ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, τέκνον, δορὶ
Βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.
Ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
Πάτερ, θεοῖς μὲν, κἂν ὁ μηδὲν ὢν, ὁμοῦ
Κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
Κείνων, πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
Τοσόν δ' ἐκόμπει μῦθον· εἶτα δεύτερον
Δίας Ἀθάνας, ἡνίκ' ὀτρύνουσά νιν
Ηὔδα τ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
Τότ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος,
Ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
Ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
Τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
Ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.
Ἀλλ' εἴπερ ἔστι τῇδε θ' ἡμέρᾳ, τάχ' ἂν

Γενοί-

777. Ὁ δ' ὑψικόμπως] παρατήρει κἀνταῦθα τὴν προθήκην τοῦ ποιητοῦ, ὅτι προσῆψε τῷ Αἴαντι γλωσσαργίαν, μονονουχὶ θεραπεύων τὸν θεατὴν μὴ ἄχθεσθαι τῇ συμφορᾷ τοῦ Αἴαντος. προσῳκειωμένοι γὰρ ἤδη τῇ ἀρετῇ αὐτοῦ, σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται. 778. Ὁμοῦ] τὸ ὁμοῦ ἀντὶ τοῦ σύν, τὸ δὲ ἑξῆς, θεοῖς ὁμοῦ. 780. Κείνων] τῶν θεῶν. Ἐπισπάσειν] ἀντὶ τοῦ ἐπισπάσεσθαι, ἤγουν λήψεσθαι. σπῶ τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ, οἷον ἔσπασε τοῦ ὕδατος. ἐπισπῶμαι δὲ, τὸ λαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ. 786. Ἵστω] ἴσασο. Καθ' ἡμᾶς δ'] ἡ καθ' ἡμᾶς μάχη. 787. Ἀστεργῆ] ἀμάλακτον, ἀδιάθετον. 789. Ἀλλ' εἴπερ ἔστι] εἰ παρέλθοι ταύτην τὴν ἡμέραν, σωθείη ἄν. μέχρι γὰρ τοῦ σήμερον παρατείνεσθαι τὴν ὀργὴν τοῦ θεοῦ ἔλεγεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 775. Αὐτὸν ἐννέπει] οὐ μόνον πρὸς δοτικὴν τὸ ἐννέπω, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἅπαξ, ὥσπερ καὶ τὸ λέγω. 784. Τότ' ἀντιφωνεῖ] τὸ τότε ἐπανάληψίς ἐστι τῶν προλαβόντων· ὥστε οὐκ ἐπὶ τῆς

I

δίας

Demens (recte ut eum pater appellaverat) inventus est.
Pater enim, mi fili, inquit, hasta
" Cupias vincere, sed, cum Deo, semper vincere stude.
Is autem arroganter & insane respondebat,
Cum Diis, inquit, etiam homo nihili
Victoriam consequi possit: ego vero vel absque
Illorum ope, confido me istam attacturum esse gloriam.
Tam superbos jactabat sermones. deinde iterum
Divæ Minervæ, cum ipsum hortans
Juberet, ut in hostes manum cruentam verteret,
Atrox & infandum retulit dictum;
Regina, *inquit*, aliis Græcis præsto
Adsis, in nos nunquam erumpet bellum.
Hisce sermonibus implacabilem
Deæ in se concitavit iram, non ut hominem de- (cet sapiens.
At hanc tamen si superest diem, tum forte
Possimus

δίας Ἀθάνας δεῖ λέγειν, ἀλλὰ λεγούσης τῆς Ἀθηνᾶς τὰ καὶ τὰ τότε, καθ' ὃν δηλονότι καιρὸν ἐκείνῳ ταῦτα ἐνετέλλετο.

SCHOL. INED. 778. Ὁμοῦ] τὸ ὁμοῦ λάμβανε ἀντὶ τοῦ σὺν, ἐν συντάξει μετὰ τοῦ θεοῖς. *Bar.* 780. Πέποιθα] ὥσπερ καινοίζεται τὸ εἴκω, ὁ μέλλων εἴξω. ὁ παρακ. εἶχα. ὁ μέσος, οἶκα, καὶ πλεονασμῷ τοῦ ε. ἔοικα, καὶ εἴδω, εἴσω, εἶκα, οἶδα, καὶ λείπω, λείψω, λέλειφα, λέλοιπα. οὕτω καὶ πείθω, πείσω, πέπεικα, πέποιθα. *Bar.* 781. Εἶτα δεύτερον] τοῦτο πρὸς, τὸ ἄνους καλῶς λέγοντος, ἀποδίδοται. ἤγουν, τοῦ πατρὸς καλῶς λέγοντος, ἄνους ἐφωράθη. εἶτα δεύτερον τῆς δίας Ἀθάνας λεγούσης δηλονότι, ἄνους εὑρέθη. L. B. εἶτα αὖθις ἐκ δευτέρου ηὔδατο καὶ ἔλεγε κατὰ τῆς δίας Ἀθάνας, τινὰ λόγον δηλονότι, συμμαχούσης αὐτῷ, ὅτε ἡνίκα ὀτρύνουσα καὶ διεγείρουσα αὐτὸν τὸν Αἴαντα, τρέπειν τὴν αὐτοῦ φονίαν χεῖρα ἐπὶ τοῖς ἐχθροῖς, τότε ἀντιφωνεῖ δεινὸν ἔπος καὶ ἄρρητον. καὶ φησὶ δηλονότι, ὦ ἄνασσα, ἵστασο πέλας τοῖς ἄλλοις τῶν Ἀργείων. καθ' ἡμᾶς δὲ, οὔποτε ἐκρήξει ἡ μάχη. *Bar.* 786. Ἐκρήξει] ἤγουν, σχίσμα ποιήσει. L. B. *Bar.* 788. Οὐ κατ' ἄνθρωπον] ἤγουν, κατὰ φύσιν ἀνθρώπου. L. 789. Ἀλλ' εἴπερ ἐστι] ἀντὶ τοῦ, περίεστιν, ἤγουν ζῇ. L.

791. Ὡ

Γενοίμεθ' αὐτοῦ σὺν θεῷ σωτήριοι.
Τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
Πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ' ἀπεστερήμεθα,
Οὐκ ἔστιν ἁνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
Χο. Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
Ὅρα μολοῦσα τόνδ', ὁποῖ' ἔπη θροεῖ·
Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
Τε. Τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
Κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
Χο. Τοῦδ' εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ' ἐγώ.
Τε. Οἴμοι, τί φῄς, ἄνθρωπε; μῶν ὀλώλαμεν;

Αγ.

791. Ὁ δ' εὐθὺς ἐξ ἕδρας;] ἅμα μὲν διὰ τὸ ἀξιόπιστον τοῦ προσώπου, ἅμα δὲ ὡς μὴ δοκοίη δι' ἀπέχθειαν ταῦτα λέγειν. διὰ πάντων καὶ διδάσκει ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη. καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστιν, οὐ μὴν φυλάξασθαι δυνατόν. 795. Ὦ δαΐα Τέκμησσα] δάϊον κοινῶς τὸ πολέμιον, Ἀττικῶς δὲ τὸ δύστηνον. τίνος δὲ ἕνεκεν οὐκ ἐποίησεν ἐξιοῦσαν τὴν Τέκμησσαν; ἵνα μὴ τοῦ χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ Αἴαντος· ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἔν τε Ἠλέκτρᾳ καὶ Οἰδίποδι ἅμα τῷ χορῷ τὰς τῶν γυναικῶν προόδους ποιεῖ, ἵνα μὴ διαλογῶσιν οἱ ἄγγελοι. ῥητέον οὖν ὅτι ὁ Αἴας ἐκέλευσεν αὐτὴν κατ' οἶκον εὔξασθαι τοῖς θεοῖς, εἰπὼν, καὶ δῶμ' ἀπάκλιε. οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν ἔδει συνεχῶς ἐξιέναι, μάλιστα ἐν τοιούτῳ καιρῷ ἠγρυπνηκυῖαν, καὶ παρακολουθηκυῖαν τῇ τοῦ Αἴαντος μανίᾳ. ἔδει οὖν μέγα τι φανῆναι τὸ ἐξάγον αὐτήν. διὸ πρὸς τὸν χορὸν ἔδοξε πρῶτον εἰπεῖν. ἢ ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦσιν αὐτήν. ἄλλως τε οἱ ἀπὸ τοῦ χοροῦ οἰκειότεροί εἰσιν, ὡς πολῖται τοῦ Αἴαντος. ὥστε καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε μεῖζον πρόσωπον, ἀλλὰ τὸν Αἴαντα οὐ καταλαβὼν ἔνδον, πρὸς τὸν χορόν φησιν. εἰς ἀνάγκην δὲ γεγονὼς ὁ ποιητὴς τοῦ διλογῆσαι, οὐδαμοῦ προσκορὴς ἐγένετο, ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. Ἄλλως. Ὦ δαΐα· δηΐα πεπονθυῖα. ἡ κατακεκομμένη καταπεπολεμημένη, κεκακωμένη. ὦ δύστηνε. ὦ πεπολεμημένη καὶ ἀθλία. ἀ-

τρεπὲς

Possimus ei, Deo juvante, esse salutiferi.
Talia dixit vates: ipse vero statim ex consessu
Mittit me, ut tibi hæc mandata feram,
Teucer, *nempe* ut serves *Ajacem*. si vero amisimus,
Non *amplius* superest vir ille, si sapit Chalchas.

Cho. O misera Tecmessa infelix genus,
Progressa vide quos iste sermones affert;
Hoc enim ad vivum radit, ut gaudere nemo possit.

Tec. Quid me miseram, vixdum quietam
Malis ab assiduis, ex sede rursum excitatis?

Cho. Hunc tu audi virum, qualia nobis prædicat
De Ajacis actione, quam *pridem* dolui ego.

Tec. Hei mihi, quid narras, homo? num quid perimus?

Nun.

πρεπὲς γὰρ πολεμίαν αὐτὴν ἀποκαλεῖν. καὶ Αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει. 796. Ὅρα μολοῦσα] ἤγουν σκόπει ἐλθοῦσα. ὅμοιον ἐστι, Ὅρα τὸν ἤδη κρᾶτα καλύμμασι κρυψάμενον. 797. Ξυρεῖ γὰρ ἐν χρῷ] ἅπτεται τῶν ἀναγκαίων τοῦ χρωτός. καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ξυρεῖ ἐν χρῷ. ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος. Ἄλλως. μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν. τὸ δὲ τινὰ παρέλκει. 798. Τί μ' αὖ τάλαιναν] πρὸς τὸ Εὐριπίδειον ἐν δίκτυϊ, Τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς; 799. Ἀτρύτων] πολυτρύτων. πάνυ κακούντων. Ἐξ ἕδρας ἀνίστατε] οὐκοῦν διὰ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δεῖσθαι, ἔνδον διέτριβε. καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι διασαφεῖ. 801. Ἤλγησ'] ἀλγεινῶς ἤκουσα. 802. Τί φῂς, ἄνθρωπε] περιπαθῶς ἀναβοᾷ πυθομένη ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ Αἴαντος. ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑπονοεῖν. Μῶν ὀλώλαμεν] τοιαῦτα γὰρ ἔλεγεν, ὅτι συναπολοῦμαί σοι, ἐὰν σὺ ἀποθάνῃς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 797. Ξυρεῖ γὰρ ἐν χρῷ] παροιμία ἐπὶ τῶν εἰς βάθος ἁπτομένων λεγομένη, καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. λέγεται δὲ καὶ οὕτως, Ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

SCHOL. INED. 790. Σὺν θεῷ] ἤγουν, μετὰ τῆς βοηθείας τοῦ θεοῦ. L. Σωτήριοι] ἤγουν, σωτηριώδεις, χρήσιμο[illegible]ς τὴν αὐτοῦ σωτηρίαν. L.

791. Ἐξ

Αγ. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν· Αἴαντος δ᾽ ὅτι
  Θυραῖος εἴπερ ἐστὶν, οὐ θαρσῶ πέρι.
Τε. Καὶ μὴν θυραῖος, ὥστε μ᾽ ὠδίνειν, τί φῄς;
Αγ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
  Σκηνῆς ὕπαυλον, μηδ᾽ ἀφιέναι μόνον.
Τε. Ποῦ δ᾽ ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;
Αγ. Πάρεστι κεῖνος ἄρτι. τήνδε δ᾽ ἔξοδον
  Ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
Τε. Οἴ μοι τάλαινα, τοῦ ποτ᾽ ἀνθρώπων μαθών;
Αγ. Τοῦ Θεστορείου μάντιος καθ᾽ ἡμέραν
  Τὴν νῦν, ὅ τ᾽ αὐτῷ θάνατον ἢ βίον φέρει.
Τε. Οἲ ἐγώ, φίλοι πρόστητ᾽ ἀναγκαίας τύχης·
  Καὶ σπεύσαθ᾽ οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν·

Οἱ

791. Ἐξ ἕδρας] ἤγουν, ἀπὸ τοῦ τόπου ἔνθα ἐκάθητο. L. B. 793. Ἀπεστερήμεθα] τῶν ἐντολῶν δηλονότι. ἤγουν τῆς φυλακῆς τοῦ Αἴαντος. L. B. *Bar.*

803. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν] ἀντὶ τοῦ, τὴν τύχην, ἤγουν εὐπραγίαν ἢ δυσπραγίαν. πρὸς δὲ τὸ μᾶλλον ὀλολαμένην, ἐπήγαγεν ὁ ἄγγελος περὶ τοῦ Αἴαντος μόνου. οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καιρὸς, ὥστε σοφίζεσθαι, καὶ τὰς φωνὰς ἐξετάζειν. καλῶς δὲ τὸ θαρσῶ. οὐδὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ᾽ ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾶν φησίν. 804. Οὐ θαρσῶ πέρι] περὶ τοῦ Αἴαντος δὲ οἶδα δηλονότι, ὅτι εἴπερ ἐστὶ θυραῖος, ἤγουν ἐκτὸς, καὶ δηλοῖ στάσιν. θύραζε δὲ, ἀντὶ τοῦ εἰς τὸ ἔξω. θύραθεν ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τοῦ ἐκτὸς εἰς τὰ ἔσω. 805. Ὠδίνειν] ἀντὶ τοῦ ὀδυνᾶσθαι, ἀλγεῖν. ἐμφατικῶς δὲ τὸ ὠδίνειν. οἰκεῖον γὰρ γυναικί· χαλεπώτατον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς. 806. Ἐξεφίεται] ἀντὶ τοῦ ἐφίεται, ἤγουν ἐντέλλεται. 807. Ὕπαυλον] ἐνδόμυχον. ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς. 810. Ὀλεθρίως] ἀντὶ τοῦ ὀλεθρίαν, τὸ δὲ φέρειν τουτέστι δέχεσθαι. 812. Καθ᾽ ἡμέραν τὴν νῦν] ἀμφιβόλως, ἤτοι μαθὼν τὴν νῦν ἡμέραν, ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται. 813. Ὅ τ᾽ αὐτῷ θάνατον ἢ βίον] εἰ μὲν ἔνδον μείνῃ, σωθήσεται, εἰ δὲ μὴ, ἀπόλλυται. διὰ τοῦτο δὲ τὸ διττὸν τοῦ μορσιδίου δηλοῖ. ὡς καὶ Ὅμηρος, Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε. 814. Πρόστητ᾽ ἀναγκαίας τύχης] ἐπίκουροι γίνεσθε τῆς κατεπειγούσης δυστυχίας. ἤγουν, προστάται γίνεσθε

Nun. De te quid fiat non ſcio, verum de Ajace,
Si jam foris eſt, metuo male.
Tec. Eſt ille quidem foris, quod me dolore macerat.
quid narras *autem?*
Nun. Illum cohibere mandat Teucer
Intra tentorium, neque ſolum dimittere.
Tec. Ubi eſt Teucer? & quare dicit iſta?
Nun. Jam aderit ipſe: hunc vero exitum
Exitium Ajaci exiſtimat laturum.
Tec. Hei mihi miſeræ! mortalium ex quo hæc audivit?
Nun. Ex vate Theſtoride de hac ipſa die,
Quod illi mortem vel vitam afferat.
Tec. Hei mihi! amici adeſte in his fortunæ neceſſitatibus,
Partimque properate, ut Teucer ocyus huc veniat:

Alii

νεθι ἕνεκα τῆς ἀνάγκης καὶ βίαν ἐχούσης τύχης. 815. Οἱ μὲν Τεῦκροι] πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὴ δείσῃ ἄγγελον πέμπειν, ὅτ' ἐντύχωσι τῷ σώματι. Ἐν τάχει] ἀντὶ τοῦ ταχέως. καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 803. Ὅτι θυραῖος] τοῦτό φησι διότι παρ' αὐτῶν ἤκουσε. τὸ δὲ εἴπερ ἐστὶν, ἀντὶ τοῦ εἴπερ ἀληθῶς ἐστὶν ἐκτός. οὐ γὰρ οἶδε σαφῶς. λέγει δὲ καὶ οὕτω, οὐ θαρσῶ δὲ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστὶ, τουτέστιν ἐὰν ζῇ, ὅτι θυραῖός ἐστιν· ἢ (ὅπερ καὶ κρεῖττόν μοι δοκεῖ) οὕτω λέγει, οὐκ οἶδα καὶ οὐ γινώσκω τὴν σὴν πρᾶξιν, ἤγουν ἥνπερ λέγεις σὺ πρᾶξιν τοῦ Αἴαντος. οἶδα δὲ καὶ γινώσκω, ὅτι οὐ θαρσῶ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστὶ καὶ ὑπάρχει θυραῖος, καὶ ἐκτὸς τῆς σκηνῆς. ἐπεὶ δὲ ἀμφιβόλως τὸ εἴπερ εἴρηκε, βεβαιοῦσα ἡ Τέκμησσα ὅτι ἔξω ἐστὶ τῆς σκηνῆς, φησὶ, καὶ μὴν θυραῖός ἐστι. 814. Πρόστητ' ἀναγκαίας τύχης] ἤγουν τοῦ παρόντος καιροῦ, οὗ ἀναγκαῖόν ἐστι προστῆναι, διὰ τὸ ἐπὶ ξυροῦ ἡμῶν τὰ πράγματα ἵστασθαι.

SCHOL. INED. 803. Αἴαντος] περὶ τοῦ Αἴαντος δὲ, οἶδα δηλονότι, ὅτι εἴπερ ἐστὶ θυραῖος, ἤγουν ἐκτὸς δὲ, οὐ θαρρῶ. L. 805. Θυραῖος] ἀντὶ τοῦ, ἐκτὸς, καὶ δηλοῖ στάσιν. θύραζε, ἀντὶ τοῦ, εἰς τὸ ἔξω· καὶ δηλοῖ κίνησιν ἔνδοθεν εἰς τὰ ἔξω. θύραθεν, ἀντὶ τοῦ ἔξωθεν· καὶ δηλοῖ κίνησιν ἀπὸ τοῦ ἐκτὸς εἰς τὰ ἔσω. L. B. *Bar.* καὶ μὴν θυραῖός ἐστιν, ὥστ' εἰμὲ συμβαίνει ζητεῖν μετὰ πόνου, τί ἐστιν ὁ λέγεις. *Bar.* 811. Οἴ

Οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους
Ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
Καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
Οἴμοι τί δράσω, τέκνον; οὐχ ἱδρυτέον.
Ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποι περ ἂν σθένω.
Χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
Σώζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδει θανεῖν.
Χο. Χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον·
Τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.

ΑΙΑΣ,

μοι τάλαινα.] Ἐρώτησις. παρὰ τίνος τῶν ἀνθρώπων μαθὼν ὁ Τεῦκρος, ἐλπίζει φέρειν καὶ δέχεσθαι τὴν ἔξοδον τήνδε τοῦ Αἴαντος ὀλεθρίαν; Ἀπόκρ. παρὰ τοῦ υἱοῦ τοῦ Θέστορος, κατὰ τὴν παροῦσαν ἡμέραν. ὅτι ἡ παροῦσα, ἡμέρα δηλονότι, φέρει θάνατον αὐτῷ τῷ Αἴαντι, ἢ ζωήν. *Bar.*

816. Ἑσπέρους] δυτικούς. Ἀγκῶνας] τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν. Ἀντηλίους] ἑῴους, τοὺς ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου. 818. Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη] οἷον, δι' ὧν εὐνοϊκῶς ἔπραξα εἰς αὐτὸν, καταφρονήσας ἠπάτησέ με. 820. Οἴμοι τί δράσω] περιπαθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει, καὶ ὥσπερ ἀπολογουμένη ὅτι καταλιμπάνει αὐτόν. φησὶν οὖν, ἐν ἀπόρῳ γενομένη, τί δράσω; οἷον, πῶς μόνον σε καταλείπω. Οὐχ ἱδρυτέον] οὐκ ἄξιον καθέζεσθαι. 821. Ὅποι περ ἂν σθένω] οἷον, τῆς προθυμίας οὐδὲν ἐλλείψω, καὶ εἰ τῷ σώματι ἀδυνατῶ. 822. Ἐγκονῶμεν] ἤγουν σπεύδωμεν. τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐγείρουσιν· Οὐχ' ἕδρας ἀκμή] ἤγουν καθέδρας, ἀναπαύσεως καιρός ἐστιν. 824. Χωρεῖν ἕτοιμος] μετακινεῖται

Alii vero ad occidentalia montium juga, alii ad orientalia
Euntes, quærite infelicem viri exitum.
Sentio enim me à viro deceptam.
Et veteri apud ipsum gratiâ excidisse.
Hei mihi! quid ago, fili? non *nunc* desidendum *est*,
Sed vadam & ego illuc, quam queo citissime.
Eamus, acceleremus, non *est nunc* sedendi locus *nobis*,
Volentes servare virum illum, qui festinat mori.
Cho. Pergere paratus sum; neque verbis id ostendam modo:
Celeritas enim facti & pedum simul aderit.

AJAX,

νοῦται ἡ σκηνὴ τοῦ χοροῦ ἐξελθόντος. ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εὕρῃ καιρὸν ὁ Αἴας χειρίσασθαι ἑαυτόν. 825. Τάχος γὰρ ἔργου] ἤγουν, ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνδραμεῖται τάχος ἔργου καὶ ποδῶν. ἤγουν πορείας. τουτέστι καὶ ταχέως ἅψομαι τοῦ ἔργου, καὶ ταχέως ἐργάσομαι αὐτό.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 816. Οἱ δ' ἀντηλίους] τὸ ἀντηλίους ἀπὸ τοῦ ἀντολίους γέγονε, κατὰ τροπὴν τοῦ ο εἰς η, ὥσπερ καὶ τὸ φυτοκόμος φυτηκόμος. τοῦτο δὲ διὰ τὸ μέτρον οὕτω γέγονεν. οὐ χρὴ τοίνυν ἀντολίους γράφειν· μακρὰ γὰρ ὀφείλει εἶναι ἡ συλλαβὴ αὕτη. ἀλλ' οὐδὲ πάλιν ἀνθηλίους, ὡς ἔν τισι τῶν βιβλίων εὕρηται. οὐ γὰρ ἀπὸ τοῦ ἥλιος γίνεται, ἀλλ' (ὡς εἴρηται) κατὰ τροπὴν τοῦ ο εἰς η.

SCHOL. INED. 819. Τῆς παλαιᾶς] ἤγουν τῆς τῶν πολλῶν ἐτῶν ἀποδοχῆς. L. B. Παλαιᾶς χάριτος] ἤγουν, τοῦ γάμου καὶ τῆς συνουσίας αὐτοῦ ἐκπεσοῦσα, ῥιφεῖσα. *Bar*. L. 823. Σώζειν θέλοντες ἄνδρα γ'] τουτέστιν, θέλοντες φυλάξαι ἐκ τοῦ κινδύνου τὸν Αἴαντα. *Bar*.

826. Ὁ

ΑΙΑΣ, ΤΕΚΜΗΣΣΑ,

ΤΕΥΚΡΟΣ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

Αι. Ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
Γένοιτ' ἄν, εἴτῳ καὶ λογίζεσθαι σχολή.
Δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
Μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν·
Πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
Σιδηροβρῶτι θηγάνῃ νεηκονής.
Ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγὼ
Εὐνέστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.

Οὕτω

826. Ὁ μὲν σφαγεὺς ἕστηκεν] μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος, ῥῆσιν τινὰ πρὸ τοῦ θανάτου προφέρεται. ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια. εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρήσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος, καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέροις, ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον. ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος. εἰκῆ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον. πήξας δὲ τὸ ξίφος ταῦτά φησι. σφαγέα δὲ λέγει, ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ τὸ εἰς σφαγὴν ξίφος. Ἡ τομώτατος] ἀντὶ τοῦ ὅπου. πρέπον γὰρ ἂν εἴη τῷ ἀπηυδηκότι, ἀλογίστως ἰέναι ἐπὶ τὸ προκείμενον. ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς καὶ ἅπαξ κρίνασι περί τινος, οὐ γίνεται ἀναβολή, οὐδὲ μετάνοια. ὥσπερ δὲ ἀποδίδοται τὸ ὡς πρὸς τὸ οὕτως, οὕτω καὶ τὸ ᾗ τὸ ἐπίρρημα πρὸς τὸ ταύτῃ ἐπίρρημα. 827. Εἴτῳ καὶ λογίζεσθαι] ὅμοιον τῷ, ἵνα τι καὶ παραθεωρήσω, καί, εἰ δεῖ τοῦτο εἰπεῖν, καὶ τοῖς τοιούτοις, ἃ λέγεται ὅτε ἀνακύψει τι καὶ προαρπάσει τοῦτο ὁ νοῦς. εὐθὺς γὰρ ἐπάγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ οὐκ ἦν ἐν τῇ γνώμῃ τοῦ προκειμένου σκοποῦ. ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τοῦ λέγοντος, ὡς μεταξὺ δύναται χειράζειν παρέργως καὶ ἑτέρας ἐπιβολάς. 829. Μάλιστα μισηθέντος] μεγαλόφρων ὁ Αἴας, καὶ μέχρις ἐσχάτης ὥρας μισῶν τοὺς βαρβάρους. ὅτι δὲ δῶρεν

AJAX, TECMESSA, TEUCER, MENELAUS, CHORUS.

Aj. OCcisor ensis stat quidem, qua parte maxime
Penetrare valeat, si cui & hoc considerare vacat.
Donum quidem Hectoris, viri ex peregrinis mihi
Maxime exosi, mihique invisissimi ad intuendum:
Fixus vero est in hac terra hostili Troade
Ferrivora cote *modo* subactus.
Ego ipse vero fixi eum adornatum probe,
Benevolentissimum huic viro, ut protinus moriatur.

Ita

ρον εἶπεν, ξένιον ἐπήνεγκε. ξένιον γὰρ λεγόμενον τὸ δῶρον τὸ παρὰ ξένων διδόμενον· εἶτα προσέθηκεν, ἐμοὶ μάλιστα μισηθέντος. Ἐχθίστου θ' ὁρᾶν] ἐμοὶ δῆλον εἰς τὸ ὁρᾶν, ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ. 830. Πέπηγε δ' ἐν γῇ] πρόδηλον μὲν, ὅμως διὰ τὸ περιπαθὲς, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενοῦς ἀπόλλυμαι. 831. Θηγάνῃ] ἀκόνῃ. ὅθεν καὶ θήγειν, τὸ ἀκονᾶν. 832. Περιστείλας] εὐτρεπίσας. διαχειρισάμενος. περισφίγξας ἐν τῇ γῇ. 833. Τῷ δ' ἀνδρὶ] ἀντὶ τοῦ ἐμοί. Διὰ τάχους θανεῖν] λείπει τὸ ὥστε. ὥστε διὰ τάχους θανεῖν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 833. Εὐνούστατον τῷδ' ἀνδρὶ] οἱ μὲν τὸ εὐνούστατον πρὸς τὸ σφαγέα φασίν· οἱ δὲ στίζουσιν εἰς τὸ ἐγὼ, καὶ τὸ ἑξῆς κομματικὸν ἐκφέρουσιν, οὐδέτερον τὸ εὐνούστατον νοοῦντες πρὸς τὸ θανεῖν. ¶ Σχήμ. Τρικλ. 826. Ὁ μὲν σφαγ.] λόγοι τελευταῖοι Αἴαντος πρὸς τὴν σφαγὴν ἑαυτὸν ἑτοιμάζοντος.

SCHOL. INED. 826. Σφαγεὺς] ὁ μὲν σφαγεὺς ἕστηκεν ἐνταῦθα. τομώτατος γένοιτο ἄν, εἴ τινι ἐστι σχολὴ, ἤγουν ἄδεια καὶ καιρὸς, λογίζεσθαι τοῦτο ἐπιμεμπτέον, τὸ ἑκόντας σφαγιασθῆναι. *Bar.* 827. Λογίζεσθαι] διαλογίζεσθαι ταῦτα. *Bar.* Σχολὴ] Καιρὸς καὶ ἄνεσις ἐν τῇ ὥρᾳ τοῦ θανάτου. *Bar.* Τοῖς ἐπειγομένοις πρὸς θάνατον ἐστὶν ἴδιον ἀποθνήσκειν ἐν σιωπῇ. ἐντυφλοῦνται γὰρ καὶ ἀφαιροῦνται τοὺς λογισμοὺς τῷ πάθει τῆς λύπης. ὁμοίως καὶ τοῖς ποιηταῖς ἐστὶν ἴδιον, εἰσάγειν ἄλλους διηγουμένους τὸν τρόπον

τοῦ

Οὕτω μὲν εὐσκευοῦμεν. ἐκ δὲ τῶνδέ μοι
Σὺ πρῶτος ὦ Ζεῦ (καὶ γὰρ εἰκὸς) ἄρκεσον.
Αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαβεῖν,
Πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
Πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,
Καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
Ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.
Τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω· καλῶ δ' ἅμα
Πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
Ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,

Πλευ-

τοῦ θανάτου τὸν ἀποθνήσκοντα, ἐπειδὴ τοίνυν καινόν τι ποιῶν ὁ Σοφοκλῆς, εἰσφέρων τὸν Αἴαντα ἐξαγορεύοντα τὸν τρόπον τῆς αὐτοῦ τελευτῆς, δι' ἑνὸς λόγου, τοῦ εἶτα καὶ λογίζεσθαι χολή, οἰκονομεῖ λῦσαι τὸ ἄτοπον· ἤγουν, εἰ χολὴ καὶ ἄδεια ἐστὶν ἐμοί, καὶ ἄλλῳ τινί, λογίζεσθαι λογισμοὺς ἐν τῇ ὥρᾳ τοῦ θανάτου. ὅτι δοτόν ἐστι, θνήσκειν ἐν σιωπῇ. *Bar.* 831. Σιδηροβρῶτι] ἀντὶ τοῦ σιδηροβρώτιδι. τὸν σίδηρον ἐσθιούσῃ. L. B. Ἡ ἀκόνη, σιδηροβρῶτις λέγεται ἐπιθετικῶς. ἐπεί, τὰ σίδηρα ποιεῖ ἑαυτῇ βρῶσιν. ἤγουν, τὰ σίδηρα κατατρώγει. *Bar.*

834. Εὐσκευούμεθα] καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα ὧν δεῖ πρὸς θάνατον. Ἐκ δὲ τῶνδέ μοι] οἷον, τὸ δὲ μετὰ ταῦτα. 835. Καὶ γὰρ εἰκὸς, ἄρκεσον] ἀντὶ τοῦ ἐπάρκεσον, ἤγουν βοήθησον. καὶ γὰρ εἰκὸς, ἐπαρκέσαι δηλονότι πρῶτον. τοῦτο δὲ λέγει ἐπεὶ πρόπαππος αὐτῷ ἦν, καὶ ἦν δίκαιος ὑπὸ πρώτου αὐτοῦ τυγχάνειν βοηθείας. 836. Οὐ μακρὸν γέρας λαχεῖν] οὐ μεγάλου δώρου τυχεῖν, λαχεῖν κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν. ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τοῦ τυχεῖν. συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ. 838. Φέροντα] ἀντὶ τοῦ οἴσοντα· φάτιν δὲ, τὴν ἀγγελίαν. 839. Πεπτῶτα] περιπεπτωκότα, κατὰ συγκοπὴν ἀπὸ τοῦ πεπτωκότα. Νεορράντῳ] προσφάτῳ· ἢ τῷ δι' ὀλίγου ῥαντισθησομένῳ ὑπὸ τοῦ αἵματος. 840. Καὶ μὴ πρὸς ἐχθρῶν του] καταγέλαστος (φασὶν) ὁ Αἴας, μὴ τὴν τῶν κυνῶν ἢ τῶν οἰωνῶν τὴν αἰκίαν ὑποστελλόμενος, ἀλλὰ τὴν θέαν τῶν Ἑλλήνων. ῥητέον οὖν ὅτι ἰδίωμα τῶν ἀνθρώπων τὸ μὴ βούλεσθαι τοὺς ἐχθροὺς ἐναβρύνεσθαι αὐτοῖς, καὶ τούτου μόνου ἀντιποιοῦνται. 841. Ῥιφθῶ] ἀντὶ τοῦ ῥιφῶ. ὡς ἐπιτοπλεῖστον, ὅτι εἰσὶν οἱ εἰς ην παθητικοὶ δεύτεροι ἀόριστοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριστοι ἄχρηστοι εἰσίν, εἰ μὴ παρὰ ποιηταῖς. οἷον, ῥίπτω, ῥίψω, ἔρριψα, ἐρρίφην, ἐρρίφθην. φαίνω, ἐφάνην, ἐφάνθην. Οἰωνοῖς] ὀρνέοις. κυρίως δὲ

οἱ

Ita quidem bene inſtructi ſumus. poſt illa vero me
Tu primus, O Jupiter, ſic enim decet, juva:
Petam vero a te non *adeo* magnum beneficium ut aſſequar,
Mitte aliquem nobis nuncium, qui hanc triſtem famam
Teucro ferat, ut ille me primus tollat
Collapſum in hunc recens imbutum gladium,
Et ne ab aliquo ex inimicis conſpectus prius
Projiciar canibus, alitibuſque præda.
Hæc te, O Jupiter, peto, invocoque ſimul
Mercurium terreſtrem, *animarum* deductorem, ut me ſuaviter ſopiat,
Cum facili celerique ſaltu,

Ubi

οἱ γῦπες. 842. Τοσαῦτά σ' ὦ Ζεῦ] γράφεται τοιαῦτα. Προτρέπω] καταδουλικῶς λέγω. προστρόπαιοι γὰρ οἱ ἱκέται. 843. Πομπαῖον] τὸν ψυχοπομπόν. Εὖ μοι κοιμίσαι] θαυμαστῶς καὶ γενναίως κοιμίσαι εἶπεν ὡς ἐπὶ ὕπνου τὸν θάνατον. ὡς Ὅμηρος, Κοιμήσατο χάλκεον ὕπνον. 844. Ξὺν ἀσφαδάστῳ] ἀσκαρίστῳ καὶ σπασμὸν μὴ ἔχοντι· ἀντὶ τοῦ συντόμου. ὅπως καιρίας τῆς πληγῆς γιγνομένης, μὴ προσγενέσθαι σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. καὶ παρ' Εὐριπίδῃ, Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλαγάς. σφαδάζειν ἔλεγον τὸ σπᾶσθαι καὶ σφακελίζειν. παραδεδομένου δὲ κατὰ ἱστορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτὸς, διὰ τὸ τὸν Ἡρακλέα, τῇ λεοντῇ αὐτὸν σκεπάσαντα, κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι, διὰ τὸν γωρυτὸν, ὃν περιέκειτο· φησὶ δὲ περὶ αὐτοῦ Αἰσχύλος, ὅτι καὶ τὸ ξίφος ἀνεκάμπτετο οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ, Τόξον ὥς τις ἐντείνων, πρὶν δή τις,. φησὶ παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρῳ μὴ βουληθεὶς, οὐ μὴν παραλιπὼν αὐτὸ δοκιμάζων, ψιλῶς φησὶ πλευρὰν ἀναρρήξαντα τῷδε φασγάνῳ, κατὰ τί τὴν πλευρὰν, μὴ εἰπών.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 839. Περὶ νεορράντῳ ξίφει] ἤγουν τῷ νεωστὶ ὑφ' αἵματος ῥανθέντι. λέγει δὲ τοῦτο ὅσον πρὸς τὸν καιρὸν καθ' ὃν ἔμελλε Τεῦκρος αὐτὸν βαστάσειν. τότε γὰρ νεόρραντον ἦν.

SCHOL. INED. 834. Οὕτω μὲν εὐσκευοῦμεν] κατὰ τοῦτον τὸν τρόπον, ἤγουν, κατὰ τὴν σφαγὴν, καλῶς παρεσκευάσμεθα. Ἐκ δὲ τῶνδε] μετὰ δὲ ταῦτα. L. B.

846. Τὰς

Πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.
Καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους,
Ἀεί θ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
Σεμνὰς ἐρινῦς, τανύποδας· μαθεῖν ἐμὲ
Πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
Καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
Ξυναρπάσειαν· ὥσπερ εἰσορῶσ' ἐμὲ
Αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
Πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
Ἴτ' ὦ ταχεῖαι ποίνιμοί τ' ἐρινύες,
Γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα

Ἴδῃς,

846. Τὰς ἀεί τε παρθένους] μυθικόν ἐστι τὸ λέγειν τὰς Ἐρινύας ἀεὶ παρθένους. νῦν δὲ τὰς ἀδωροδοκήτους, καὶ οὐχὶ κρατηθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικούντων. 847. Ἀεί θ' ὁρώσας] ἀντὶ τοῦ ἐφορώσας ἐκδικούσας τὰ ἀνθρώπινα πάθη. 848. Τανύποδας] τὰς ἀποπιαύσας ἐπιούσας. συναπτέον δὲ τῷ μαθεῖν τὸ τανύποδας. οἷον ταχέως μαθεῖν τὸ κατ' ἐμὲ, καὶ μὴ ἀμελῆσαι, ἐπεξελθεῖν τὸν ἐμὸν φόνον. τὸ γὰρ τεῖναι τοὺς πόδας, ἐστὶ τὸ βαδίσαι. ἢ καθ' ἑαυτὸ τὸ τανύποδας λεκτέον, τὰς πανταχοῦ τεινούσας τοὺς πόδας. 850. Πανωλέθρους] ἀντὶ τοῦ πανολεθρίους, τουτέστι παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ. 851. Συναρπάσειαν] ἀντὶ τοῦ ἀναρπάστους ὁμοῦ ποιήσειαν. ἀνάρπαστος δὲ ὁ αἰφνιδίως ἀποθανών. 852. Αὐτοσφαγῆ] αὐτοχειρίᾳ σφαγῆ. ἔστι δὲ ἀντὶ τοῦ ἐπιρρήματος. Τὼς αὐτοσφαγεῖς] τοῦτο ἀπέβη τῷ Ἀγαμέμνονι. ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο. ταῦτα δὲ νοθεύεσθαί φησιν, ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων. 853. Πρὸς τῶν φιλίστων] παρὰ τῶν φιλτάτων. ἢ πρὸ τῶν φιλίστων, ἤγουν ἔμπροσθεν. Ὀλοίατο] ὄλοιντο. ἀφανισθεῖεν. 854. Ποίνιμοι] τιμωροὶ, αἱ ἐκδικοῦσαι τοὺς ἀδικουμένους. 855. Γεύεσθε] τὸ ἑξῆς, γεύεσθε πανδήμου στρατοῦ, μὴ φείδεσθε. 856. Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν] ὑπερβολικῶς. εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ ἥλιος τὰ τοιαῦ-

τα

Ubi latus hoc gladio perrupero.
Quin advoco in auxilium illas & semper virgines,
Semperque cernentes omnes mortalium casus acerbos,
Venerandas Erinnyas celerrimas, ut discant
Quomodo ab Atridis pereo miser.
Et ipsos malos pessimis *exemplis*, omnibusque cladem inferentes
Corripiant: quemadmodum aspiciunt me
Manu mea mactatum cadere, ita cæsi à suis
Manibus carissimorum pignorum intereant.
Ite, O veloces ultricesque Erinnyes, gustate,
Nec parcite universo excercitui.
Tuq; O per altum coelum qui currum agis
Sol, cum terram meam paternam videris,

Pau-

τα παρέρχεται. ὁ δὲ πρὸς τὸν ἥλιον φησὶ, καὶ ἀπάγγειλον ἐπακλεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 851. Ξυναρπάσθαι] ἡ ἀκολουθία τοῦ λόγου συναρπάσαι ἀπῄτει πρὸς τὸ μαθεῖν· ἀλλ᾽ ἐπειδὴ εὐχῆς ἐστιν ὁ λόγος, εἰς εὐκτικὸν ἔφερε. διὰ τοῦτο δὲ καὶ κομματικὸν καὶ ἀσύνδετον ἐποίησε τοῦτο, διὰ τὸ εἶναι εὐχήν. τὰς γὰρ εὐχὰς οὕτω ποιεῖσθαι εἰώθαμεν· ἀπορεῖσι δὲ πῶς αὐτοσφαγεῖς εἰπὼν, εἶτα ἐπιφέρει, πρὸς τῶν ἐκγόνων· καὶ φαμὲν ὅτι οὐδὲν ἐστιν ἐναντίωμα τῷ λόγῳ· εἴγε ἐκεῖνοι μὲν τοὺς παῖδας ἔσπειραν, οὗτοι δὲ αὐτοὺς ἀναιρήσουσιν. 854. Ἴτ᾽ ὦ ταχεῖαι] τὸ ὦ πρὸς τὸ Ἐρινύες συντακτέον. κρεῖττον γὰρ τοῦτο, εἰ καὶ δοκεῖ τινα ἔχειν λόγον καὶ πρὸς τὸ ταχεῖαι συντάσσεσθαι.

SCHOL. INED. 851. Ξυναρπάσειαν] ἀντὶ τοῦ, ἀναρπάστους ἡμᾶς ποιήσειαν. ἀνάρπαστος δὲ ὁ αἰφνιδίως ἀποθανών. L. B. 852. Αὐτοσφαγῆ] ἀντὶ τοῦ, αὐτοχειρίᾳ σφαγῇ. αὐτουργῷ σφαγῇ. ἀντὶ ἐπιρρήματος. αὐτοσφαγεῖς, ἀντὶ τοῦ αὐτοχειρίᾳ σφαγῇ ἀντὶ ἐπιρρήματος. L. B. Ἄλλοι μὲν τὸ αὐτοσφαγῆ οὐ λαμβάνουσιν αἰτιατικήν, ἀλλὰ δοτικήν, συντάσσοντες οὕτως· ὥσπερ δὴ εἰσορῶσιν ἐμὲ πίπτοντα ἐπὶ τῇ αὐτοχειρίᾳ σφαγῇ, οὕτως ὄλοιντο καὶ αὐτοὶ αὐτοσφαγεῖς παρὰ φιλίστων ἐκγόνων. *Bar.* 853. Ὀλοίατο] Κανόνισον, ὄλλω. ὁ μέλλων, ὀλῶ. ὁ ἀόριστος πρῶτος, ὦλα. ὁ δεύτερος ὄλον. ὁ μέσος δεύτερος ἀόριστος, ὀλόμην. καὶ ὁ εὐκτικὸς, ὀ-

λοίμην,

Ἴδης, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
Γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
Ἦ που τάλαινα τήνδ' ὅταν κλύῃ φάτιν,
Ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
Ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
Ὦ θάνατε, θάνατε, νῦν μ' ἐπίσκεψαι μολών.
Καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών·
Σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
Καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω
Πανύστατον δὴ, κοὔ ποτ' αὖθις ὕστερον.
Ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
Κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
Κρῆναί τε, ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
Πεδία προσαυδῶ. χαίρετ', ὦ τροφεῖς ἐμοί,

Τοῦθ'

λοίμην, ὄλοιο, ὄλοιτο. καὶ τὸ τρίτον τῶν πληθυντικῶν, ὄλοιντο. καὶ Ἰωνικῶς, καὶ ποιητικῶς ὀλοίατο, τροπῇ τοῦ ν εἰς α.

858. Ἐπισχὼν] κωλύσας, τῆς πορείας. τὴν ἡνίαν δὲ ἀντὶ τοῦ ἅρμα. 860. Τῇ τε δυστήνῳ τροφῷ] καὶ ταῦτα περιπαθῆ καὶ ἀνθρώπινα· ὅρα γὰρ ὅτι καὶ Ἡρακλῆς ἐπὶ τοῦ θανάτου τὴν μητέρα μεταπέμπεται, ὅπου καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ. καλεῖ δὲ τὴν τάλαιναν. ὡς ἀντιλαμβανόμενος δὲ ἑαυτοῦ, ἐπάγει. Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην. Ἄλλως. οἱ μὲν, τῇ θρεψαμένῃ, οἱ δὲ καὶ ἐπὶ τὸ σαφέστερον. 861. Ἦ που] ὄντως. 862. Ἥσει] ἀφήσει. ὁ δὲ κωκυτὸς, καὶ ὁ γόος, ποιαὶ φωναί. 864. Ἀρκτέον] ἤτοι ἄξιον ἀρχὴν λαβεῖν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα. τὰ μὲν γὰρ οὕτω προφερόμενα ἐπιρρήματα, ἐνεργητικὴν ἔχουσι τὴν σημασίαν. τὰ δὲ ὀνόματα, παθητικήν. 869. Πανύστατον] ἀντὶ τοῦ ὕστατον. τῶν

ποιητῶν

Paulisper cohibens aureas habenas,
Nuncia calamitates meas fatumque meum
Grandævo patri, miseræque matri.
Quæ certe infelix ubi hanc audierit famam,
Edet ingentem ejulatum totam per urbem.
Sed nihil attinet hæc frustra deplorare:
Sed aggredi negotium oportet ocyus.
O Mors, Mors, nunc accedens me specta.
Porro te quidem & illic, cohabitans tibi, alloquar.
Te autem, O splendidæ diei præsens jubar,
Et solem aurigam, nunc alloquor
Postremum sane, & nunquam posthac amplius.
O lumen, O terræ sacrum patriæ solum
Salaminos, O Larium paternorum sedes,
Inclytæque Athenæ, & educatum una genus,
Fontesque, fluminaque hæc, & Trojani
Campi, *vos* appello: valete nutrices meæ,
Hanc

ποιητῶν ἐστὶ τὸ προστιθέναι τοῖς ὑπερθετικοῖς ἑτέρας ἐπιτάσεις, οἷον, ὕστατον, πανύστατον. ἄριστον, πανάριστον. 871. Ἑστίας βάθρον] δύναται καὶ τὸ κράτος νοεῖσθαι καὶ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑστίας. 872. Κλειναί τ' Ἀθῆναι] τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν. καὶ ὅτι ἐν Ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο, ταῦτά φησιν, ἐπισπώμενος αὐτοὺς εἰς εὔνοιαν. Σύντροφον γένος] οἱ ὁμήλικες. 873. Κρῆναί τε, ποταμοί θ' οἵδε] καὶ ἐν ἀρχῇ ἔφη, ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι. ἐπὶ δὲ τῷ τέλει, καὶ τὰς κρήνας καὶ τοὺς ποταμοὺς καλεῖ, παρ' οἷς μέλλει τελευτᾶν. καὶ ἔστιν εὐσεβοῦς ἀνδρὸς ἐξευμενίζειν πρὸ τοῦ θανάτου θεοὺς, τόπους, χώραν, πατρίδα, ἀδελφοὺς, ὥστε μετ' εὐμενείας ἀποθανεῖν. ἴσως δὲ καὶ ἐπιμαρτυρόμενος λέγει.

SCHOL. INED. 860. Τῇ τε δυστήνῳ τροφῷ] ἤγουν, τῇ ἀναθρεψαμένῃ με, τουτέστι τῇ μητρί. L. B. 863. Μάτην] ματαίως χωρὶς ὠφελείας. L. B. 867. Σὲ δ', ὦ φαεννῆς.] σὲ δὲ ὦ σέλας τὸ νῦν τῆς φαεινῆς ἡμέρας, καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω, πανύστατον δὴ, καὶ οὔποτε αὖθις ὕστερον. *Bar.* 870. Ὦ γῆς ἱερὸν] ὦ ἱερὸν πέδον, τῆς οἰκείας γῆς τῆς Σαλαμῖνος. L. B. 871. Πατρῷον] ἀντὶ τοῦ πατρῴας, ἤγουν κρηπὶς τῆς πατρῴας οἰκίας. L. 874. Ὦ τροφεῖς ἐμοὶ] ἤγουν, ἀναθρεψάμενοί με, τουτέστιν οἱ γονεῖς. L. B.

Τοῦθ' ὑμῖν Αἴας τοὔπος ὕστατον θροεῖ·
Τὰ δ' ἄλλ' ἐν ᾅδου τοῖς κάτω μυθήσομαι.
Ημ. Πόνος πόνῳ πόνον φέρει.
Πᾶ πᾶ γὰρ οὐκ ἔβαν ἐγώ;
Κοὐδείς ἐπίσταταί με συμμαθεῖν τόπος.
Ἰδού, ἰδού· δοῦπον γὰρ κλύω τινά.
Ημ. Ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
Ημ. Τί οὖν δή;
Ημ. Πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
Ημ. Ἔχεις οὖν.
Ημ. Πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
Ημ. Ἀλλ' οὐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου μολὼν
Κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

ΠΕΡΙ-

875. Τοῦθ' ὑμῖν Αἴας] περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται. δεῖ δὲ ὑπονοῆσαι ὅτι περιπίπτει τῷ ξίφει, καὶ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτήν, ὡς ἄξαι τοὺς θεατὰς εἰς τὴν τοῦ Αἴαντος φαντασίαν. ὁποῖα περὶ τοῦ Ζακυνθίου Τιμοθέου φασίν, ὅτι ἦγε τοὺς θεατάς, καὶ ἐψυχαγώγει τῇ ὑποκρίσει, ὡς σφαγέα αὐτὸν κληθῆναι. Θροεῖ] λέγει. 877. Πόνος πόνῳ πόνον φέρει] λείπει ἡ πρός, ἵν' ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. καὶ ἔστι τὸ μὲν πόνος πόνῳ, ἀρχαϊκόν, ὡς ἔργον ἐπ' ἔργῳ· τὸ δὲ δεύτερον, πόνον, κοινῶς, οἷον κάματον. Ἄλλως. οἱ ἀπὸ τοῦ χοροῦ πρόΐασιν, ὥσπερ ἐκ διαφόρων τόπων κατ' ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν Αἴαντα. καὶ ἡ Τέκμησσα ἐξ ἄλλων, ἥτις καὶ πρώτη ἐπιτυγχάνει τῷ πτώματι. ὁ δὲ νοῦς, ὁ πόνος ἐπὶ πόνῳ πόνον φέρει· ὡς Ὅμηρος, πάντη δὲ κακὸν κακῷ ἐστήρικται. καὶ ἐν Τραχινίαις, Νὺξ γὰρ εἰσάγει καὶ νὺξ ἀποθεῖ διαδεδεγμένη πόνον. Φέρει] ἀντὶ τοῦ ἐπιφέρεται. 879. Κοὐδεὶς ἐπίσταταί με] οὐδεὶς οἶδέ με τόπος συμμαθεῖν. οἷον μεμαθηκότα τὸ γεγονὸς οὐδείς με οἶδε τόπος· ἀλλὰ μάτην περιῆλθεν. Συμμαθεῖν] ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένου. 880. Ἰδού, ἰδού] πιθανὰ ταῦτα, καὶ σχεδὸν τῆς ἀληθείας ἐγγύς. τὸ δὲ Δοῦπον, ἐλπίζοντες τῷ σώματι περιπεσεῖν. 881. Κοινόπλουν ὁμιλίαν] οἱ συνναῦται, ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες. ἢ τροπικῶς τὸν αὐτὸν ἡμῖν πλοῦν ἐσταλμένοι πρὸς τὴν ζήτησιν. ὁμιλίαν κλύω δηλονότι ἡμῶν τῆς κοινόπλου νηός, ἤγουν

τοῦ

Hanc vobis Ajax vocem postremam emittit;
Cætera apud orcum inferis dicam.

Semi. Labor labori *additus*, laborem cumulat.
Quoquo enim non ivi ego?
Neque ullus me locus docere conscius novit.
Ecce, ecce, strepitum enim quendam audio.

Semi. Et quidem navis nostræ socium cœtum.

Semi. Quid igitur est?

Semi. Totum *mihi* peragratum latus occidentale est navium.

Semi. Habesne igitur?

Semi. Laboris quidem copiam, & nihil amplius, quod viderim.

Semi. Nec mihi sane orientis in via aliquis
Occurrens usquam se vidisse dicit. PERI-

τοῦ ναυτικοῦ λαοῦ τοῦ ὁμοῦ ἡμῖν πλεύσαντος. 883. Πᾶν ἐστίβηται] ἤγουν, ὅλον τὸ ἑσπέριον μέρος τῶν νεῶν διώδευται. 884. Ἔχεις οὖν] ἀπὸ μεταφορᾶς τῶν ἐχόντων τι ἐν ταῖς χερσὶ, καθ' ὃ λέγεται οὐ κεναῖς χερσὶν ἐπανήκειν, καὶ ἐπὶ πραγμάτων μὴ χειρῶν δεομένων. 886. Ἀλλ' οὐδ' ἐμοὶ δὴ] κατὰ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου βολῶν. ἔστι δὲ καὶ οὕτως, ἀλλὰ οὐδέ μοι δὴ μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν, δηλοῦται φανεὶς οὐδαμοῦ. τουτέστιν ἐν οὐδενὶ τόπῳ φαίνεται. 887. Δηλοῖ] ἀντὶ παθητικοῦ δηλοῦται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 877. Πόνος πόνῳ] βουλόμενος ὁ χορὸς δεῖξαι τὴν ὑπερβολὴν τοῦ κόπου ὃν ἔχει ἐπὶ ζητήσει τοῦ Αἴαντος, φησὶν ὅτι πόνον ἐπὶ πόνῳ προστίθημι, καὶ οὐδαμῶς ὃ σπουδὴ γίνεται· λέγω δὴ, τὸ εὑρεῖν Αἴαντα. 879. Συμμαθεῖν τόπος] τὸ συμμαθεῖν ἀντὶ τοῦ σὺν ἐκείνῳ γνῶναι, τουτέστιν οὐδεὶς τόπος ἔχει τὸν Αἴαντα (τοῦτο γάρ ἐστι τὸ ἐπίσταται) ὥστε ἐν τούτῳ εὑρεῖν με αὐτὸν κείμενον. οἱ δὲ λέγοντες τὸ συμμαθεῖν ἀντὶ τοῦ διδάξαι, οὐκ ὀρθῶς λέγουσιν. 886. Ἀλλ' οὐδ' ἐμοὶ δὴ] ἡ σύνταξις, ἀλλ' οὔ μοι δηλοῖ ἢ φαίνεται ὁ ἀνὴρ, ἤγουν ὁ Αἴας, μολὼν καὶ ἐλθὼν τὴν ἀφ' ἡλίου κέλευθον καὶ ὁδὸν, φανεὶς οὐδαμοῦ. τοῦτ' ἔστιν, ἐπειδὴ οὐκ ἐνταῦθα εὕρηται, δείκνυται, ὡς οὐδ' ἐν τοῖς μέρεσι τούτοις ὥρμηται. ἢ καὶ οὕτως, ἀλλ' οὐδ' ἐμοὶ δὴ, μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν δηλονότι, φαίνεται οὐδαμοῦ. τουτέστιν, ἐν οὐδενὶ τόπῳ φαίνεται.

SCHOL. INED. 876. Τοῖς κάτω] τοῖς οὖσι κάτω ἐν τοῖς οἰκήμασι τοῦ ᾅδου μυθήσομαι. δεῖ δὲ ὑπονοῆσαι, ὅτι σὺν τούτῳ τῷ λόγῳ περιπίπτει τῷ ξίφει. καὶ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτὴν, ἵνα

ἄξοι

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ α'.

Χο. Τίς ἂν δή μοι, τίς ἂν
Φιλοπόνων ἁλιαδᾶν,
Ἔχων ἀΰπνους ἄγρας,
Ἢ τίς Ὀλυμπιάδων
Θεῶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν
Ἴδρις, τὸν ὠμόθυμόν γε,
Εἴποθι πλάζοιτ', ἂν
Προσβλέπων ἀπύοι;
Σχέτλια γὰρ ἐμοί, τῶν
Μακρῶν πόνων οὐρίῳ
Μὴ πελάσαι δρόμῳ.
Ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

ΣΥΣΤΗΜΑ. α'.

Τε. Ἰώ μοι μοι. Χο.

ἄξοι τοὺς θεατὰς εἰς τὸ τοῦ Αἴαντος πάθος, ὁποῖα περὶ τοῦ Ζακύνθου τοῦ ὑποκριτοῦ ὁ Τιμόθεος φησὶν, ὅτι ἦγε τοὺς θεατὰς εἰς τοιοῦτον πάθος, ὡς σφαγέα κληθῆναι αὐτόν. *Bar.* 881. Κοινόπλουν] τὴν κοινόπλουν ὁμιλίαν ἡμῶν τὴν οὖσαν ἐπὶ τῆς νηὸς ἀκούεις. *Bar.*

888. Τίς ἂν δή μοι] ὅλος ὁ χορὸς εἰς ἓν συνελθὼν ταῦτά φησι. Τίς ἂν φιλοπόνων ἁλιαδᾶν] τίς τῶν ἁλιέων ἀεὶ ἀγρυπνεῖν εἰθισμένων διὰ τὴν ἄγραν, ἢ τίς θεὰ Ὀλυμπιάς, ἢ ποταμῶν ἴδρις, τουτέστι ναῒς, ἀπαγγεῖλαι εἴπου λεύσσει τὸν ὠμόθυμον. ἁλιὰς, τὸ ἁλιευτικὸν πλοῖον· ἁλιάδας, δὲ, οἱ παῖδες τῶν ἁλιέων, ἤγουν οἱ ἁλιεῖς· ὡς Ἀσκληπιάδαι, οἱ ἰατροί. 892. Ῥυτῶν] τῶν ῥεόντων, παρὰ τὴν ῥύσιν. ἤγουν, ἢ τίς θεὰ ἴδρις τῶν ῥυτῶν ποταμῶν τῶν Βοσπορίων. 893. Βοσπορίων] ἴσως τῶν Ἑλλησποντίων, τῶν εἰς τὸν Βόσπορον ῥεόντων Τρωϊκῶν ποταμῶν. δύο δέ εἰσι Βόσποροι, ὁ μὲν, κατὰ τὴν Προποντίδα, ὁ δὲ, Θρακικὸς, ὥς φησι Φιλέας. 896. Ἀπύοι] αὔτοι. 897. Σχέτλια γὰρ ἐμέ γε] δεινὰ γὰρ πράγματα

ἐμὲ

PERICOMMATA. STROPHE, 1.

Cho. Quis igitur mihi, quisnam
Ex laboriosis piscatoribus *maris*
Piscationibus intentus somni nescius,
Vel quæ Olympiadum
Dearum, vel fluentium
E Bosphoro fluminum
Gnara, sævum *Ajacem*
Sicubi errantem
Viderit, faciet palam.
Miserum est enim mihi *vaganti*,
Longorum laborum secundum
Non assequi cursum,
Sed & *factum* debilem non *posse tamen* cernere
ubi vir sit.

SYSTEMA. 1.

Tec. Hei mihi! Hei mihi!

Cho.

ἐμὲ τὸν ἐπιπόνως πλανηθέντα, μὴ εὐθυδρομῆσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον. τοῦτο γὰρ ἂν εἴη ὕριον. 900. Ἀλλ' ἀμβλωθέντα] ἐφ' ἑαυτοῦ, οὐκ ἐπὶ τοῦ Αἴαντος. σχέτλια ἂν εἴη μὴ ἐπιτετυχηκέναι αὐτῷ, ἀλλ' ἠθενηκέναι με τῇ ζητήσει.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 888. Τίς ἂν δή μοι] ἡ σύνταξις, τίς ἁλιεὺς, ἢ θεὸς, ἢ διατριβὴν περὶ τοὺς ποταμοὺς ποιούμενος, καὶ ἔμπειρος ὢν αὐτῶν, βλέπων τὸν Αἴαντα εἴπου πλάζοιτ', ἀπύοι ἂν καὶ φωνήσοι, καὶ εἴποι ἐμοὶ εἰ ἄρα πλάζεται καὶ οὐκ ἀπόλωλεν. 895. Εἴποθι] εἴποθι πλάζοιτ' ἂν, ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ. 898. Μακρῶν πόν.] περιττὸν ἦν κἀνταῦθα εἰς τὸ μακρῶν πόνων τὸ ἀλάταν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. σύνταξις δὲ οὕτω· σχέτλιόν ἐστιν ἐμοὶ (ἤγουν χαλεπὸν) μὴ πελάσαι καὶ πλησιάσαι δρόμῳ οὐρίῳ, τοῦτ' ἔστι τέλει εὐοδουμένῳ τῶν μακρῶν πόνων. τέλει δὲ ὀφείλων εἰπεῖν, δρόμῳ εἶπεν, ἐπεὶ καὶ τὸ τέλος τοῦ δρόμου δρόμος ἐστί. 901. Ἰώ μοι μοι] εἰκότως οὐκ ἄλλον τινὰ ἢ τὴν Τέκμησσαν πεποίηκεν εὑρεῖν τὸν Αἴαντα, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς ἕτερος τοσοῦτον φροντίζει, ὅσον ἡ γυνὴ τοῦ ἰδίου ἀνδρος.

SCHOL. INED. 896. Προσβλέπων ἀπύοι] λεύσσων ἀπύοι μοι, ἤγουν ἰδὼν εἴποι μοι καὶ μηνύσοι μοι, τὸν ὠμόθυμον Αἴαντα πλαζόμενον εἴποθι, ἤγουν πούποτε. *Bar.* 897. Σχέτλια] ἀντὶ τοῦ σχέτλιον, ἤγουν χαλεπόν. L. B.

Αυ-

Χο. Τίνος βοὴ πάραυλος ἐξέβη νάπους;

Τε. Ἰὼ τλήμων.

Χο. Τὴν δυσέληπτον δύσμορον νύμφην ὁρῶ
 Τέκμησσαν οἴκτῳ τῷδε συγκεκραμένην.

Τε. Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.

Χο. Τί δ' ἔστιν;

Τε. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
 Κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

ΣΤΡΟΦΗ. β'.

Χο. Ὦ μοι ἐμῶν νόστων·
 Ὦ μοι κατέπεφνες
 Ἄναξ τόνδε τὸν συν-
 ναύταν. ὦ τάλας,
 Ὦ ταλαίφρον γύναι.

ΣΥΣΤΗΜΑ. β'.

Τε. Ὡς ὧδε τοῦτ' ἔχοντος αἰάζειν πάρα.

Χο. Τίνος ποτ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;

Τε.

Λυπηρὸν καὶ ὀδυνηρόν ἐστιν. *Bar.* 900. Ἀλλ' ἀμμενηνὸν] ἤγουν, ἀλλὰ σχέτλιον ἐστὶν ἐμὲ τὸν ἀσθενῆ γενόμενον ὑπὸ τοῦ κόπου, μὴ ἰδεῖν ποῦ ἐστιν ὁ Αἴας δηλονότι. *Bar.* 901. Ἰώ μοι μοι] ἡ Τέκμησσα βοᾷ τὸ ἰὼ, ἐντυχοῦσα τῷ σώματι τοῦ Αἴαντος κειμένῳ νεκρῷ. Φαίνεται δὲ οὐδέπω οὖσα ἔνοπλος τῷ χορῷ. *Bar.*

902. Πάραυλος] παρατεταμένη ἐγγὺς παρὰ τὴν αὐλήν. ἢ θρηνητικὴ, παρὰ τοὺς αὐλούς. 903. Ἰὼ τλήμων] τοῦτο ἐν τῷ ἐμφανεῖ γενόμενον, ὅπερ δηλοῖ ὁ χορός. Ἄλλως. Τέκμησσα βοᾷ ἐπιτυχοῦσα τῷ σώματι. φαίνεται δὲ οὐδέπω ἔνοπλος οὖσα τῷ χορῷ. 904. Τὴν δυσέληπτον] ἤγουν

Cho. Cujus vox e propinquo exiit saltu?
Tec. Heu miser *Ajax!*
Cho. Captivam miseram illam sponsam video
Tecmessam hoc luctu confusam.
Tec. Interii, perii, vastata sum, amici.
Cho. Quid vero est?
Tec. Ajax hic nobis recens mactatus
Jacet, occulto sese indutus gladio.

STROPHE 2.

Cho. Eheu meum reditum!
Hei mihi, occidisti Rex
Me tuum socium navalem.
O miser *ego*,
O misera animi *tu* mulier.

SYSTEMA 2.

Tec. Nunc ut res se habet, lugendi tempus est.
Cho. Cujus manu igitur *rem* infelix perpetravit?

Tec.

ἤγουν τὴν Τέκμησσαν ὁρῶ τὴν δύσμορον τὴν δορίληπτον· τουτέστι τὴν ἐν αἰχμαλωσίᾳ νυμφευθεῖσαν. 909. Κρυφαίῳ] τῷ λαθραίως τῶν φίλων γεγονότι· ἢ ἀποκεκρυμμένῳ εἰσδεδυκότι εἰς τὸ σῶμα τὸ δὲ ἀπεριτυχής. κυριώτατα μὲν ἀνόμασται, ἡμῶν δὲ δυσμετάβλητον, τινὲς δὲ περικεκυλισμένως. 910. Ὦ μοι ἐμῶν νόστων] ἐν πρώτοις περὶ ἑαυτῶν ὀλοφύρονται. 912. Τόνδε συνναύταν] ἀντὶ τοῦ, ἐμὲ τὸν χορόν, συνήθως. 916. Τίνος ποτ' ἄρ' ἔπραξε] ἤγουν διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον; οἱ Ἀττικοὶ τὸ ἄρα, ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφουσιν· ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς λέγηται, ἀδιαφόρως, ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχιακῶς.

SCHOL. INED. 902. Πάραυλος ἐξέβη νάπους] ἤγουν, παρατετραμμένη καὶ δριμεῖα ἐξῆλθεν ἐκ τοῦ κοιλώματος τοῦ ὄρους. *Bar.* Ἤγουν, τοῦ κοιλώματος τοῦ ὄρους τῆς νάπης. ἡ νάπη, τῆς νάπης. ἀφ' οὗ τὰς νάπας. L. B. 905. Οἴκτῳ] τῷ ὀδυρμῷ, ἤγουν σχετλιασμῷ. *Bar.* L. B. Συγκεκραμένην] συμμεμιγμένην. *Bar.* 906. Διαπεπόρθημαι] ἤγουν, ἐκπεπολιόρκημαι. ἀπὸ μεταφορᾶς τῶν ἑαλωκότων φρουρίων. L. B *Bar.* 907. Τί δ' ἐστίν] Πρὸς ὃ βλέπουσα θρηνεῖς καὶ πενθεῖς; *Bar.* 908. Νεοσφαγής] Ἤγουν πρὸ ὀλίγου

Τε. Αὐτὸς πρὸς αὑτοῦ δῆλον. ἐν γάρ οἱ χθονὶ
Πηκτὸν τόδ' ἔγχος περιπετοῦς κατηγορεῖ.

ΣΤΡΟΦΗ. γ'.

Χο. Ὤ μοι ἐμᾶς ἄτας.
Οἶος ἄρ' ἡμάχθης,
Ἄφρακτος τῶν φίλων.
Ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάν-
τ' ἄιδρις, κατημέλησα.
Πᾶ, πᾶ
Κεῖται ὁ δυστράπελος, ὁ
Δυσώνυμος Αἴας.

ΣΥΣΤΗΜΑ γ'.

Τε. Οὔτοι θεατός. ἀλλά νιν περιπτυχεῖ

Φάρει

λίγου ἐσφαγμένος. *Bar.* 909. Κρυφαίᾳ] ἤγουν, λαθραίᾳ· λάθρα ἐργασαμένῳ τὸν φόνον τοῦ φίλου τοῦ Αἴαντος. L. B. *Bar.* 916. Τίνος ποτ' ἄρ'] ἤγουν, διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον ὁ δυστυχής. L. B. Ἄλλοι δὲ ἐξηγοῦσιν οὕτως. Ἐρώτ. τῇ χειρὶ τίνος ἔπραξε τὸν φόνον ὁ ἄθλιος; Ἀποκρ. αὐτὸς παρ' ἑαυτοῦ ἔπραξε. καὶ δῆλόν ἐστιν, τὸ γὰρ ἔγχος τὸ περιπετὲς τὸ πηκτὸν ἐν τῇ χθονὶ ἐκείνῃ, ἐλέγχει καὶ δεικνύει τὸ πρᾶγμα δηλονότι. *Bar.*

917. Ἐν γὰρ οἱ χθονὶ] αὐτὸ τὸ σχῆμα (φησὶ) δηλοῖ ὅτι ὑφ' ἑαυτοῦ ἀνῃρέθη. πᾶν δὲ ἀμυντήριον, καὶ δόρυ καὶ ἔγχος καλοῦσιν οἱ νεώτεροι. 918. Πηκτὸν] περιπεπηγὸς αὐτῷ. Περιπετὲς] ᾧ περιέπεσε. τοῦ δὲ θεατοῦ εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, ἔδει καὶ τὸν χορὸν καὶ τὴν Τέκμησσαν πολυπραγμονῆσαι. Κατηγορεῖ.] σημαίνει, λέγει. τὸ δὲ ὅλον οὕτως, πηκτὸν γὰρ ὂν (δηλονότι ἐν τῇ χθονὶ) τόδε τὸ περιπετὲς ἔγχος αὐτοῦ, κατηγορεῖ (ἤγουν παριστᾷ) ὅτι ὑφ' ἑαυτοῦ δηλονότι ἐφονεύθη. Κατηγορῶ σου ἀγαθὰ ἢ φαῦλα, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. κατηγορεῖν δὲ τὸ παριστᾶν καὶ δεικνύειν, μετὰ αἰτιατικῆς μόνης λέγεται. 920. Οἶος ἄρ' ἡμάχθης] μόνος ἡματώθης. 921. Ἄφρακτος τῶν φίλων] ἀφύλακτος. οὐ πεφραγμένος καὶ

τειχι-

Tec. Sua ipse, ut liquet. nam in terra ab eo
Fixus hic ensis, in quem procubuit, hoc arguit.

STROPHE. 3.

Cho. Hei mihi, meas *ob* hasce calamitates!
Solus ergo cruentatus es
Nullis munitus amicis.
Ego vero ille surdus ad omnia,
Atque omnium ignarus neglexi.
Ubi *igitur*, ubi,
Jacet ille intractabilis,
Ille infausti nominis Ajax.

SYSTEMA. 3.

Tec. Non *est* spectandus. sed circumjecta
Veste

τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε. 922. Ὁ πάντα κωφὸς] τὰ πάντα εἰς τὴν ἀπάτην· ἐγὼ δὲ (φησὶν) ὁ ἀναίσθητος κατημέλησα. 924. Πᾶ, πᾶ] τοῦτο κατ' ἄλλης ἀρχῆς. βουλόμενοι τὸ σῶμα θεάσασθαι, τοῦτο λέγουσιν. ὁ διακωλεύει ἡ Τέκμησσα. 925. Ὁ δυστράπελος] δύσκολος, δυσκίνητος, ἀμετάτρεπτος, ὃς οὐκ εὗρεν ἐκφυγὴν τῶν παθῶν. οὕτω λέγουσι καὶ δυστράπελον τὸ ὄργημα, τὸ οὐκ εὐδιάλλακτον. Ἄλλως. δυστράπελον, φασὶν Ἀττικῶς τὸ ἀμετακίνητον ἐν ὀργῇ ἢ διαθέσει, ἢ φιλαργυρίᾳ. τὸ αὐτὸ δὲ καὶ ἀτράπελον. 926. Ὁ δυσώνυμος Αἴας] ὡς καὶ αὐτὸς λέγει ὁ Αἴας. λέγεται δυσώνυμος καὶ οὗ τὸ ὄνομα ἐπαχθῶς οἱ ἄνθρωποι δέχονται διὰ τὸ μῖσος, ὅπερ ἔχουσι πρὸς αὐτόν, καθ' ὃ λέγεται δυσώνυμος ὁ Ἰούδας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 917. Ἐν γὰρ οἱ χθονὶ] ἡ σύνταξις, τὸ γὰρ ἔγχος τὸ περιπετὲς οἱ καὶ αὐτῷ, τὸ ἐν τῇ χθονὶ πηκτὸν καὶ πεπηγμένον, κατηγορεῖ αὐτοῦ δηλονότι τὴν πρᾶξιν. ἤγουν παρίστησιν ὡς αὐτὸς τὴν σφαγὴν εἰργάσατο, καὶ αὐτόχειρ αὐτοῦ γέγονεν. ἔστι γὰρ καὶ κατηγορῶ οὐ μόνον τὸ τινὸς καταφέρομαι λόγοις, ἀλλὰ καὶ τὸ ἐπάνω τινὸς ἀγορεύω, ὥσπερ ἔχει καὶ ἡ παρὰ φιλοσόφοις κατηγορία. δηλοῖ δὲ καὶ Φιλόστρατος ἐν τῷ Ἰσοκράτους βίῳ, λέγων, Ἡ δὲ Σειρὴν ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους σήματι εὐμουσίαν κατηγορεῖ τοῦ ἀνδρός.

SCHOL. INED. 926. Δυσώνυμος] ὁ δύσφημον ὄνομα ἔχων. L. B. *Bar.* 927. Ἀλλά νιν] ἀλλὰ καλύψω αὐτόν, παμπήδην. περιπτυχεῖ τῷδε τῷ φάρει. ἤγουν, περικεκλιμένῳ. L. B.

Φάρει καλύψω τόνδε παμπήδην, ἐπεὶ
Οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
Φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
Πληγῆς, μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
Οἴμοι, τί δράσω· τίς σε βαστάσει φίλων;
Ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι;
Πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
Ὦ δύσμορ' Αἴας, οἷος ὢν, οἵως ἔχεις.
Ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Χο. Ἔμελλες δὴ τάλας,
Ποτὲ χρόνῳ στερεόφρων
Ἆρ' ἐξανύσειν κακὰν

Μοῖραν

928. Φάρει καλύψω] ἦθος γυναικὸς, τὸ μὴ αἰσχημόνως δεικνύναι τὸ σῶμα. Παμπήδην] παντελῶς, ὅλον τὸ σῶμα. 929. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ὑπερβολικῶς· ἐπεὶ οὐκ εἰκὸς ἐν τοῖς δεινοῖς τοὺς φίλους μαλακίζεσθαι. Τλαίη βλέπειν] ὑπομείνῃ. τλῶ, τὸ ὑπομένω καὶ τολμῶ. οὗ μέλλων τλήσω, δεύτερος ἀόριστος ἔτλην, τὸ εὐκτικὸν τλαίην. 931. Μελανθὲν αἷμα] χυθὲν ὤφειλεν εἰπεῖν, ἢ γεγονὸς ἀπὸ τῆς οἰκείας σφαγῆς· ὁ δὲ, διὰ τὸ μέλαν εἶναι τὸ αἷμα, μελανθὲν αἷμα λέγει. 932. Τίς σε βαστάσει φίλων] πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιστα ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν, ὑποτακτικῶς γράφεται. 933. Ὡς ἀκμαῖος] καίριος κατὰ καιρόν. παρὰ τὴν ἀκμὴν τοῦ καιροῦ. καλῶς δὲ ζητεῖ τὸν Τεῦκρον, ἵν' ἡ κηδεία γένηται ἀπὸ τοῦ συγγενοῦς. 934. Συγκαθαρμόσαι] περιστεῖλαι. 936. Ὡς καὶ παρ' ἐχθροῖς] αὔξησις περὶ τὸ πάθος, ὡς καὶ τοὺς δυσμενεῖς ἐλθεῖν. 937. Ἔμελλες τάλας] Ἰακῶς. ἐῴκεις ἄρα καὶ δῆλος ἦς. 938. Στερεόφρων] οἷον, ἐφ' οἷς ἐνόησας καὶ ἤλγεις περιυβρισμένος ὑπὸ τῶν Ἀτρειδῶν, ἔμελλες πληρώσειν κατὰ τὰς φρένας τὴν μοῖραν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 929. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ἤγουν, οὐ μόνον ἐχθρὸς βδελύξεται αὐτὸν ἰδεῖν (οὐ γὰρ μέλοι αὐτῷ τούτου) ἀλλὰ καὶ

οὐδεὶς

Vefte tegam hac undique, quoniam
Nemo, qui illius quidem amicus, fuftineat intueri ipfum
Spirantem in altum e naribus nigrum fanguinem,
Et ex cruento vulnere, propria manu inflicto.
Hei mihi quid faciam? quis te tollet amicorum?
Ubi Teucer? quam tempori nunc adveniret, fiquidem *huc* tulit gradum?
Ut lapfum fratrem hunc fuum fimul componeret.
O infelix Ajax, quantus vir, quam mifere te habes!
Ut etiam apud hoftes dignus fis fletum affequi!

ANTISTROPHE. I.

Cho. Deftinabas ergo infelix
Propofitique pertinax,
Olim nactus opportunitatem explere

Malum

οὐδεὶς φίλος τλαίη ἂν καὶ ὑπομείνοι αὐτὸν ἀπὸ τῆς οἰκείας σφαγῆς φυσῶντα καὶ ἀναπέμποντα ἄνω πρὸς τὰς ῥῖνας τὸ μελανθὲν αἷμα, καὶ ἐκ τῆς φοινικῆς πληγῆς. ἀμφοτέρωθεν γὰρ τὸ αἷμα ἐξήρχετο, καὶ ἐκ τῆς πλευρᾶς πρὸς ἣν ἡ πληγὴ γέγονε, καὶ ἐκ τῶν ῥινῶν διὰ τοιαύτην αἰτίαν. περιπεσόντος γὰρ αὐτοῦ τῷ ξίφει ἐν γῇ στερρῶς πεπηγμένῳ, καὶ διὰ τοῦτο πρὸς τὸν τόπον ἔνθα ἡ λαβὴ τοῦ ξίφους ἐπέπηκτο, ἐκ βάρους πελάσαντος, οὐκ εἶχεν διέξοδον ῥᾳδίαν, καὶ διὰ τοῦτο εἰργόμενον, καὶ ζητοῦν διέξοδον, ἐκ τῶν ῥινῶν ἀνεδίδοτο. φοινίαν δὲ πληγὴν ἴσως λέγει, οὐ τὴν πρώτην ἐν τῇ πλευρᾷ τομήν, ἀλλὰ τὴν ἑτέραν τοῦ ξίφους διέξοδον.

SCHOL. INED. 928. Παμπήδην] ἤγουν, παντελῶς, ἀπὸ τοῦ πᾶν καὶ πάμπαν, καὶ ἀπὸ τούτου παμπήδην. L. B. Ἀπὸ τοῦ πᾶν πᾶν, γίνεται σύνθετον πάμπαν. καὶ λαμβάνεται ὡς ἐπίρρημα. ἀφ᾽ οὗ κατὰ παραγωγὴν, παμπήδην. *Bar.* 929. Οὐδεὶς ἂν] Τουτέστι, οὐδεὶς ἂν ὅστις ἂν καὶ φίλος ὑπομείνειεν ἰδεῖν αὐτὸν τὸν Αἴαντα φυσῶντα ἄνω πρὸς τὰς ῥῖνας μελανθὲν αἷμα. ἀπὸ τῆς φονικῆς πληγῆς, καὶ ἰδίας σφαγῆς. *Bar.* Τλαίη] τλῶ, τὸ ὑπομένω καὶ τὸ τολμῶ. ὁ μέλλων, τλήσω. δεύτερος ἀόριστος, ἔτλην. ἡ μετοχὴ, τλὰς, τλάντος, εὐκτικὸν, τλαίην. 934. Πεπτῶτ᾽] τὸν πεσόντα καὶ θανόντα τὸν Αἴαντα τοῦτον ἐνταφιάσαι. 935. Οἷος ὢν] μέγας ὢν καὶ θαυμαστός. *Bar.* Οἵως ἔχεις] ἀθλίως διάκεισαι. *Bar.*

942. Πάν-

Μοῖραν ἀπειρεσίαν
Πόνων. τοιά μοι
Πάννυχα καὶ φαέθον-
τ' ἀνεστέναζες ὠμόφρων
Ἐχθοδόπ' Ἀτρείδαις
Οὐλίῳ σὺν πάθει.
Μέγας ἄρα γ' ἐκεῖνος
Ἄρχων χρόνος πημάτων,
Ἦμος ἀριστόχειρ
Ἀχιλλέως ὅπλων ἔκειτ' ἀγὼν πέρι.

ΑΝΤΙΣΥΣΤΗΜΑ. α'.

Τε. Ἰώ μοι μοι.
Χο. Χωρεῖ πρὸς ἧπαρ (οἶδα) γενναία δύη.
Τε. Ἰώ μοι μοι.
Χο. Οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
Τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.
Τε. Σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.
Χο. Ξυναυδῶ.

Τε.

942. Πάννυχα καὶ φαέθοντ'] κατὰ νύκτα καὶ ἡμέραν. Φαέθων, ὁ Ἥλιος, καὶ ὁ υἱὸς τοῦ Ἡλίου. 943. Ὠμόφρων] Ἀττικῶς μέγα. οὗτοι γὰρ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς· οὕτω καὶ, ὦ δύσμορ' Αἴας, ἀντὶ τοῦ Αἶαν. 947. Ἄρχων χρόνος] ἀρχηγός. γενναία δὲ ἡ ἰσχυρά. 948. Ἀριστόχειρ] ὁ γενναῖος φέρει τὰ ἀριστεῖα. τὸ δὲ ὅλον, μέγας ἄρα ἄρχων, ἤγουν ἐπιστάτης τῶν πημάτων ὁ χρόνος ἐκεῖνος, ἦμος περὶ τῶν ὅπλων ἔκειτο ἀγών. ἀριστόχειρ, ἤγουν ὑπὲρ τοῦ φανῆναι τὸν ἄριστον ταῖς χερσίν. 953. Οὐδέν σ' ἀπιστῶ] εἰώθασιν ἐν τοῖς πάθεσι καὶ συγχωρεῖν τοῖς ἀλγοῦσι. φέρει γὰρ τοῦτο καὶ κόρον τοῦ θρήνου καὶ παραμυθίαν. 955. Σοὶ μὲν δοκεῖν] σοὶ μὲν ταῦτα ἐν δόξῃ κατα-

Malum fatum laborum
Tuorum nunquam cessantium:
Ea mihi per totas noctes diesque
Ingemiscens edebas hostili animo
Infesta Atridis,
Diro cum affectu.
Magnum sane illud
Initium fuit tempus malorum,
Quando de armis Achillis
Certamen præstantiæ fuit propositum.

ANTISYSTEMA. I.

Tec. Hei mihi miseræ!
Cho. Ad jecur penetrat generosum (novi) vulnus.
Tec. Hei mihi miseræ!
Cho. Facile credo, mulier, te vel bis lamentari,
Tali amico, tanto cum tuo damno, jam orbatam.
Tec. Tu hæc opinaris tantum, ego vero nimis sentio.
Cho. Assentior *tibi*.

Tec.

καταλαμβάνεται, ἐγὼ δὲ σαφῶς ἐπίσταμαι. ἔστι μὲν γὰρ τῷ χορῷ οἰκειότης πρὸς Αἴαντα, ἀλλ' οὐχ' ὅσον πρὸς τὴν Τέκμησσαν. Δοκεῖν] δοξάζειν. Ἄγαν φρονεῖν] τὸ αἰσθάνεσθαι τῆς λύπης.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 948. Ἦμαρ ἀριστόχειρ] ἤγουν ἀγὼν ἀρίστων καὶ ἀνδρείαν διαμάχης, δηλονότι βραβεύσεσθαι τοῦ Ἀχιλλέως. ἵνα τὰ αὐτοῦ λάβῃ ὅπλα τούτου ἕνεκα. 949. Ἀχιλλέως] περισσὸς ὀφείλει εἶναι τέλειος ἐπ' ἀμφοτέροις, ἵν' ᾖ ὅμοιος τῇ ἀντιστροφῇ. διὸ τὸ Ἀχιλλέως προσετέθη παρ' ἡμῶν, ἀρμοδίως οἶμαι. 954. Τοιοῦδ' ἀποβλ.] στερηθεῖσαν. ὅταν γὰρ τις τινὸς στερηθῇ, ἀπ' ἐκείνου ἐστέρηται, βέβληται, αὐτῷ τῷ ἐστερῆσθαι.

SCHOL. INED. 944. Ἀτρείδαιν] Ἀγαμέμνονι καὶ Μενελάῳ. ἤγουν κατὰ τῶν Ἀτρειδῶν. *Bar.* 948. Ἀριστόχειρ] ἤγουν, ὁ κρίνων τίς ἐστιν ἄριστος κατὰ τὴν χεῖρα. *Bar.* 955. Σοὶ μὲν] σοὶ μὲν δοξάζειν ἐστὶ ταῦτα. μοὶ δὲ ἄγαν φρονεῖν ἐστὶ ταῦτα δηλονότι, ἤγουν ἀκριβῶς γινώσκειν. L. B.

957. Δυ-

Τε. Οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
Χωροῦμεν; οἷοι νῷν ἐφεστᾶσι σκοποί.

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

Χο. Ὤμοι ἀναλγήτων
Διοσσῶν ἐθρόησας
Ἄναυδον γ' Ἀτρειδῶν
Ἔργον τῷδ' ἄχει.
Ἀλλ' ἀπείργοι θεός.

ΑΝΤΙΣΥΣΤΗΜΑ. β'.

Τε. Οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.
Χο. Καὶ μὴν ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.
Τε. Τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ' Ὀδυσσέως χάριν.

ΑΝΤΙΣΤΡΟΦΗ. γ'.

Χο. Ἦ ῥα κελαινώπαν

Θυμὸν

957. Δουλείας ζυγὰ] ἀπὸ μεταφορᾶς τῶν ζυγῶν τῶν ζευγνύντων τοὺς βοῦς. 958. Σκοποὶ] οἱ Ἀτρεῖδαι. 959. Ὤ μοι ἀναλγήτων] ἀσυμπαθῶν, εἰ τοῦτο πράξειαν. ἢ, τῶν μηδ' ὅλως ἀλγούντων ἐπὶ ταῖς συμφοραῖς τῶν Ἑλλήνων. ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐμβεβληκότων. Ἄλλως γράφεται ἰώ μοι. συμπαθῶς δὲ ὁ χορὸς ἀναβοᾷ ἐπὶ τῷ Τεκμησσης λόγῳ. 961. Ἄναυδον ἔργον] ἔργον ἄῤῥητον, ὅπερ δηλονότι ἔχουσιν ἐν τῇ γνώμῃ πράττειν, εἴρηκας ἐν τῇδε τῇ λύπῃ τῶν ἀσυμπαθῶν δυοῖν Ἀτρειδῶν. ἄῤῥητον δὲ, τὸ μὴ δυνάμενον ῥηθῆναι, καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. ἢ ὡς ἀποτρόπαιον, οὐκ ἔστιν ἄξιον λέγεσθαι, ἢ ὡς αἰσχρὸν, ἢ ὡς μυστηριώδες· ἄῤῥητον, ὑπερβολικῶς καὶ τὸ μέγα καὶ τὸ πολύ. 962. Τῷδ' ἄχει] τῇ παρούσῃ συμφορᾷ. 964. Οὐκ ἂν τάδ' ἔστη] οὐκ ἂν ταῦτα ἐπράχθη

οὕτω,

Tec. Hei mihi, nate, quod *nunc* servitutis jugum
Subimus? quales nobis imminent speculatores?

ANTISTROPHE. 2.

Cho. Hei mihi infandum sane
Opus memorasti geminorum
Atridarum, in hoc luctu
Humani sensus expertium.
Sed prohibeat Deus.

ANTISYSTEMA. 2.

Tec. Ne hæc quidem sic se haberent, absq; Deis foret.
Cho. At sane onus nimis admodum grave concinnarunt.
Tec. Talis quidem damni Jovis filia, vehemens Dea,
Pallas causam dedit, Ulyssi gratificans.

ANTISTROPHE. 3.

Cho. Certe multa passus Ulysses

Furio-

ὗτω, μὴ θεῶν βουλομένων. ὥστε καὶ ταῦτά ἐστι προσδοκῶν περὶ τῶν Ἀτρειδῶν. Ἄλλως. πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ, ἀλλ' ἀπεύχομαι θεοῖς, φησίν, οὐκ ἄνευ συλλήψεως ὑμῖν τοὺς θεούς, ἐπεὶ οὐδ' ἂν ἐπράχθη ταῦτα. 965. Ἄγαν ὑπερβριθὲς] μέγα καὶ βαρὺ ἤνυσαν οἱ πράξαντες τὰ περὶ τὸν Αἴαντα. ὅ ἐστιν οἱ αἴτιοι τούτων. 967. Φυτεύει] ἀντὶ τοῦ ἐφύτευσεν. ἤγουν, παρασχοῦσα βλάβης ἀφορμὴν ἔδωκε. Παλλὰς ἡ μεγάλη θεός, ἡ θυγάτηρ τοῦ Διός, εἰς χάριν τοῦ Ὀδυσσέως. τὸ φυτεύειν ἐπὶ φυτῶν λέγεται κυρίως, ἤγουν τὸ τὴν ῥίζαν αὐτῶν καταβάλλειν. ἀπὸ τούτου δὲ παρὰ τοῖς ποιηταῖς καὶ ἐπ' ἀνθρώπων. ὡς παρ' Εὐριπίδῃ, Οὗτος φυτεύει Πέλοπα, καὶ ἁπλῶς ἐπὶ τοῦ καταβάλλειν ἀρχὴν ἔν τινι πράγματι, ὡς ἐνταῦθα. 968. Κελαινώπαν] οἷον, οὐκ ἐν τῷ φανερῷ, ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον, καὶ μέλανα, καὶ οἷον κεκρυμμένον καὶ δόλιον, καὶ οὐχ ἁπλοῦν θυμὸν ἐφυβρίζει. ἔξωθεν δὲ ἡ κατά· τὸ δὲ ἡμᾶς, λείπει. ἢ οὕτω, κατὰ τὸν θυμὸν ἐφυβρίζει ἡμᾶς. κελαινώπαν δὲ θυμόν, ἤγουν βαθυγνώμονα ψυχήν.

SCHOL. INED. 958. Σκοποί] ἀντὶ τοῦ, ἐπίσκοποι. οἱ Ἀτρεῖδαι δηλονότι. L. B. Ἤγουν, κατάσκοποι, ἵνα ποιήσωσι δούλους δηλονότι ἡμᾶς. *Bar.*

Θυμὸν ἐφυβρίζει
Ὁ πολύτλας ἀνὴρ,
Γελᾷ δὲ τοῖσι μαινομένοις
Ἄχεσιν πολὺν γέλωτα.
Φεῦ φεῦ,
Ξύν τε διπλοῖ βασιλέες
Κλύοντες Ἀτρεῖδαι.

ΑΝΤΙΣΥΣΤΗΜΑ. γʹ.

Τε. Οἱ δ' οὖν γελώντων, κἀπιχαιρόντων κακοῖς
Τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
" Οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
" Ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
Ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκύς,

Αὐτῷ

961. Ἄναυδον ἔργον] ἐπὶ τῷδε τῷ ἄχει ἐθρόησας ἔργον ἄναυδον τῶν ἀναλγήτων δύο Ἀτρειδῶν. τουτέστιν, ἐπάνω τῆς σφαγῆς τοῦ Αἴαντος. εἶπας καὶ ἕτερον ἔργον ἄναυδον τῶν δύο Ἀτρειδῶν τῶν ἀναλγήτων. ἤγουν ὅτι βουλεύονται ποιῆσαι ἡμᾶς δούλους. τοῦτο δέ ἐστι τὸ ἄναυδον ἔργον. *Bar.* 964. Οὐκ ἂν τάδ'] μὴ γένοιτο τοῦτο, ἤγουν τὸ λαβεῖν ἡμᾶς οἱ Ἀχαιοὶ δούλους. ἤγουν, οὐκ ἂν ταῦτα συνέβησαν οὕτως, μὴ μετὰ τῆς γνώμης τῶν θεῶν. *Bar.* 968. Ἦ ῥα κελαινώπαν] οὕτως ὁ πολύτλας ἀνὴρ, ἤγουν ὁ Ὀδυσσεὺς, κατὰ τὸν κελαινώπαν θυμόν. τουτέστιν, κατὰ τὴν βαθυγνώμονα ψυχὴν αὐτοῦ γελᾷ πολὺν γέλωτα, ἐπὶ τοῖς ἄχεσι τοῖς μαινομένοις. τουτέστι, τοῖς διὰ τὴν μανίαν συμβεβηκόσιν. ἤγουν ταῖς λύπαις ταῖς συμβεβηκυίαις διὰ τὴν μανίαν. L. B.

971. Τοῖσι μαινομένοις] τοῖς διὰ μανίαν συμβεβηκόσιν. 976. Γελώντων] ἀντὶ τοῦ γελάτωσαν. Κἀπιχαιρόντων] ἤγουν ἐπιχαιρέτωσαν. 977. Ἴσως τοι, κεἰ βλέποντα] καὶ νῦν βλέποντα εἶπεν ἀντὶ τοῦ ζῶντα, διὸ τὸ χ πρόσκειται. τὸ γὰρ οἰμώζω, ἀμεταβάτως, καὶ οἰμώζω τὸν τεθνηκότα. 981. Ἐμοὶ πικρὸς] μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν, ἤπερ ἐκείνοις γλυκύς· ἐπεὶ ἂν ἐπε-

θύμει

Furiosæ
Iræ insultat;
Multúmque risum ridet
Hosce dolores ob vesanos.
Heu heu!
Simul & gemini reges
Audientes Atridæ.

ANTISYSTEMA. 3.

Tec. Rideant illi sane & gaudeant
Hujus viri malis. forte & si vivum desiderarunt minus,
Mortuum lugebunt in necessitate pugnæ.
" Nam stulti bonum in manibus
" Cum habent, non sentiunt, priusquam quis excusserit.
Mihi acerbus perit *magis*, quam illis jucundus,

θύμει ἔτυχεν. οὐκ ἂν οὖν ἐπεγγελῷεν αὐτῷ οἱ ἐχθροί, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γενόμενοι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 976. Οἱ δ' οὖν γελώντων] ἀντὶ τοῦ γελάτωσαν. τοῦτο δὲ ἔφαμεν, λαμβάνοντες ἔξωθεν εἰς τὴν τοιαύτην γενικὴν τὸ ἔστωσαν· ἐπὶ δὲ τῶν παθητικῶν, οἷον τυπτέσθων καὶ τῶν τοιούτων, οὐχ οὕτω λέγομεν, ἀλλὰ τὸ δυϊκὸν ἀντὶ τοῦ πληθυντικοῦ φαμὲν λαμβάνεσθαι.

SCHOL. INED. 974. Ξὺν διπλοῖ βασ.] σὺν τούτῳ τε οἱ διπλοῖ βασιλεῖς γελῶσιν, ἀκούοντες τὰ ἄχη δηλονότι. L. B. 975. Κλύοντες Ἀτρεῖδαι] ἀκούοντες τὴν θλῖψιν ἡμῶν υἱοὶ τοῦ Ἀτρέως Ἀγαμέμνων καὶ Μενέλαος, ἐγγελῶσι δηλονότι. *Bar.* 979. Οἱ γὰρ] οἱ κακότροποι ἄνθρωποι ταῖς γνώμαις. *Bar.* 980. Οὐκ ἴσασι, πρίν τις ἐκβ.] οὐ γινώσκουσιν πρότερον, ἕως ἂν ἀποῤῥίψῃ αὐτὸ τὸ ἀγαθὸν δηλονότι ἀπ' αὐτῶν. *Bar.* 981. Ἐμοὶ πικρὸς τέθνηκεν] ἢ τέθνηκε γλυκὺς ἐκείνοις, ἤγουν τοῖς Ἕλλησιν, ἑαυτῷ δὲ τερπνός. ὧν γὰρ πραγμάτων δηλονότι ἠράσθη τυχεῖν, ταῦτα ἐκτήσατο ἑαυτῷ. λέγω θάνατον, ὃν ἤθελεν. εἰ οὖν οὗ ἐπεθύμει, τοῦτο ἐτέλεσε δηλονότι· πῶς ἂν ἐπαγγελῷεν αὐτῷ οἱ ἐχθροὶ αὐτοῦ, ὥσπερ ἂν εἰ εἶδον αὐτὸν παθόντα ὅπερ οὐκ ἤθελεν; ἄλλως τε, καὶ ὑπὸ τῶν θεῶν τέθνηκεν οὗτος, οὐχ ὑπ' ἐκείνων. L. B.

Αὐτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν,
Ἐκτήσαθ' αὑτῷ, θάνατον, ὅνπερ ἤθελε.
Τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
Θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ,

ΙΑΜΒΟΙ.

Χο. Πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ
Λιπὼν ἀνίας τε καὶ γόους διοίχεται.
Τευ. Ἰώ μοι μοι.
Χο. Σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν,
Βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
Τευ. Ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
Ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;
Χο. Ὄλωλεν ἀνήρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.
Τευ. Ὦ μοι, βαρείας ἆρα τῆς ἐμῆς τύχης.
Χο. Ὡς ὧδ' ἐχόντων,
Τευ. Ὦ τάλας ἐγώ, τάλας.
Χο. Πάρα στενάζειν.
Τευ. Ὦ περισπερχὲς πάθος.

Χο.

985. Θεοῖς τέθνηκεν] θεῶν βουλομένων. οὐ γὰρ οἱ Ἕλληνες τὴν τοιαύτην αἰτίαν αὐτῷ παρέσχον. 989. Ἰώ μοι μοι] δεῖ γινώσκειν, ὅτι Αἴαντος ὁ χορὸς ἐφίστησι, γνωρίζων τὸ φθέγμα τοῦ Τεύκρου βοῶντος. 991. Ἐπίσκοπον μέλος] σημαντικόν, ἔφορον. οὐχ ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ' ἐστοχασμένον. 992. Ὦ φίλτατ' Αἴας] ἔρχεται μεταπεμφθεὶς ἀπὸ Τεκμήσσης. 993. Ἆρ' ἠμπόληκας] ἐνεπόλησας, ἐκέρδανας. καὶ ἐπὶ φαύλου λέγεται, τροπικῶς δὲ, ἀντὶ τοῦ ἐξεπόνησας. 996. Ὡς ὧδ' ἐχόντων] τὸ ἑξῆς, ὡς ὧδ' ἐχόντων, πάρα στενάζειν. 999. Περισπερχὲς] ἀντὶ τοῦ βαρύ. οὗτοι ἀμηχανίαν ἐμποιοῦν. περισπῶς κατεπεῖγον. ἀπὸ τοῦ περισπέρχω

τὸ

Ipsi vero sibi lubens: quæ enim optavit assequi,
Adeptus est sibi; mortem nempe, qualem voluit.
Quid igitur habent, quod illum irrideant?
Dîs volentibus obiit ille, & neutiquam ab illis.

I A M B I.

Cho. Insultet ergo super hæc Ulysses, si libet, inaniter.
Ajax enim illis non amplius est, sed mihi
Relictis doloribusque, & luctibus, periit.
Teu. Hei mihi, mihi!
Cho. Tace. vocem Teucri mihi videor audire
Edentis clamorem huic malo appositum.
Teu. O charissime Ajax, O ocule fraterne mi!
Nactus es ergo malum, ut fama obtinet?
Cho. Periit vir *iste*, Teucer, hoc scito.
Teu. O gravem igitur meam mihi fortunam!
Cho. Rebus ita se habentibus.
Teu. O miser ego, ter miser!
Cho. Nunc lugendi adest tibi copia.
Teu. O casus undique me affligens!

Cho.

τὸ ἀναστρέφεσθαι. οἱ ἐν δεινῷ τινὶ καταστάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τούτων, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας. ἐφ' ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τοῦ ἄλη ἡ πλάνη. ¶ Σχῆμα. Τρικλ. 989. Ἰώ μοί μοι. Σίγησον] ἄφιξις Τεύκρου ἔνθα ἦν Αἴας.

SCHOL. INED. 985. Θεοῖς] τῇ γνώμῃ καὶ δίκῃ τῶν Θεῶν. *Bar.* Οὐ κείνοισιν] καὶ οὐ τῇ γνώμῃ ἐκείνων τῶν Ἑλλήνων. *Bar.* 986. Πρὸς ταῦτ'] Ὑβριζέτω ὁ Ὀδυσσεὺς ματαίως. καὶ γὰρ ὁ Αἴας οὐκέτι ἔστιν αὐτοῖς. Ἐν' ἐπεὶ δηλονότι τὴν ὕβριν, καὶ ἔχει λύπην. ἀλλὰ διοίχεται, ἤγουν διέφθαρται λιπὼν ἐμοὶ ἀνίας καὶ γόους. L. B. 993. Ἆρ' ἠμπόληκας] ἀντὶ τοῦ, ἀπημπόληκας, ἤγουν πέπρακας, προδέδωκας. L. B. Κρατεῖ] ἀντὶ τοῦ, ἐπικρατεῖ, L. B. 996. Ἐχόντων] ἤγουν, διακειμένων. τῶν κατὰ τὸν Αἴαντα πραγμάτων δηλονότι. τὸ ἑξῆς, ὡς ὧδ' ἐχόντων, πάρα στενάζειν. L. B. *Bar.* τὸ δὲ, ὢ τάλας, ἐγὼ τάλας, διὰ μέσου ἐν τοῖς θρήνοις γίνονται τὰ κομματικά. *Bar.* 998. Πάρα στενάζειν] Πάρεστιν ἡμῖν πενθεῖν, καὶ κλαίειν, καὶ θρηνεῖν. *Bar.*

1001. Τί

Διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
Ἃ 'γὼ κλυὼν δύστηνος, ἐκποδὼν μὲν ὤν,
Ὑπεστέναζον· νῦν δ' ὁρῶν ἀπόλλυμαι.
Οἴμοι.
Ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
Ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
Ὅσας ἀνίας μοι κατασπείρας, φθίνεις;
Ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἦ που Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,
Δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἰὼν
Χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὐχ; ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾶν.

Οὗτος,

1020. Ὑπεστέναζον] ἴσως ἡσύχως ἐστέναζε δεδοικὼς τοὺς ἐχθρούς. 1022. Ἴθ' ἐκκάλυψον] πρὸς τὸν χορόν φησιν, ἢ τινα τῶν θεραπόντων. ἡ γὰρ Τέκμησσα ἐπὶ τὸν παῖδα ἀπῄει. 1023. Ὦ δυσθέατον] ὡς ἀνακαλύψας τοῦτο φησί. 1024. Κατασπείρας] δαιμονίως καὶ τὸ σπείρας. οἷον, ἀρχὴν κακῶν παρασχών. ἢ τὸ σπείρας ἐπὶ πλήθους κακῶν τακτέον. 1027. Ἦ που Τελαμών] ἅμα μὲν πρὸς τὴν ἱστορίας, ὅτι ἐκβέβληται. ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας. 1028. Εὐπρόσωπος] ἀντὶ τοῦ εὐπροσώπως. τουτέστι ἱλαρῷ προσώπῳ. εὐπρόσωπος δὲ, ὁ εὐειδής. καὶ ἀπὸ τούτου εὐπροσώπου αἰτία. ἡ πιθανὴ καὶ εὐπρεπής. 1029. Πῶς γὰρ οὐχ; ὅτῳ πάρα] συνάγει τὸ ἐναντίον ὁ λόγος, ἤγουν, οὐκ εὐθύμως με δέξεται· πρὸς ὃ ἐπάγεται, πῶς γάρ οὐχ; ὅτῳ πάρα. ἤγουν ὅτῳ μηδὲν (τουτέστι μηδαμῶς) πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾶν ἡδέως. Ἄλλως πῶς γὰρ οὗτός με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. οὐχ ὅτῳ πάρα, οὐχ ᾧ τινι οὐδ' εὐτυχοῦντι πάρεστι τὸ γελᾶν. εὐτυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ, καὶ τῇ ἁλώσει τῆς Τροίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1023. Ὦ δυσθέατον ὄμμα] ἰστέον ὅτι τὸ ὦ οὐ μόνον πρὸς κλητικὴν, ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. ἀμφότεροι οὖν ἐστὶν ἐνταῦθα.

Pervasit omnes Achivos, quod periisses mortuus.
Quæ ego miser, etsi procul abessem, tamen audiens
Ingemui, nunc vero intuens dispereo.
Hei mihi!
Age retege mihi, ut totum malum videam.
O dirum spectaculum, & audaciæ nimis acerbæ!
Quibus tristitiis in me prius seminatis, obis?
Quo enim, aut ad quos homines, ire potero,
Laboribus in tuis qui nusquam juverim?
Telamon tuus pater meusque simul
Excipiet me læto vultu, propitiusque scilicet
Venientem sine te. quidni? cui non aderat
Ne quidem feliciter agenti ob quicquam solito lætius ridere.

ἐνταῦθα. Ἄλλως, Ὦ δυσθέατον λέγει ὄμμα, καὶ ὦ ὄμμα τολμῆς πικρᾶς. τολμῆς γὰρ ἦν τὸ ὄμμα. πρὸς γενικὴν δὲ, τὸ ὦ συνάπτειν, λόγον οὐκ ἔχει. πρὸς εὐθεῖαν μέντοι σπανίως, ὡς τὸ, ὦ οὗτος, ὦ δυστυχής. ¶ Σχῆμ. Τρικλ. 1021. Οἴ μοι] παρεπιγραφή.

SCHOL. INED. 1020. Νῦν δ' ὁρ.] νῦν δ' ὁρῶν καὶ δι' ἔργου, ἃ διὰ λόγου πρότερον ἤκουον, ἀπόλλυμαι. *Bar.* 1022. Ἐκκάλυψον] πρὸς τὴν Τέκμησσαν ὁ λόγος. *Bar.* 1023. Δυσθέατον] ἤγουν, δυσκόλως θεαθῆναι δυνάμενον. *Bar.* Πικρᾶς] τὸ πικρὸν ἐπὶ γεύσεως λέγεται. καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ἄλγους τῆς ψυχῆς. ὃ γὰρ πικρὸν ἐπὶ γεύσεως, τοῦτο ἀλγεινὸν ἐπὶ ψυχῆς. λέγεται καὶ πικρὸν τὶ, ὡς πρόξενον πικρίας, οὐκ ὡς πικρὸν αὐτὸ ὄν. ὡς τὸ ξίφος ἐνταῦθα λέγει πικρόν. L. B. *Bar.* 1025. Ποῖ γὰρ μολεῖν] ἤγουν, ποῦ γὰρ ἐστὶ δυνατόν μοι ἐλθεῖν με τὸν ἀρήξαντα καὶ βοηθήσαντα οὐδαμῶς τοῖς σοῖς πόνοις. τὸ δὲ ἐν παρέλκον ἐστί. *Bar.* 1026. Τοῖς σοῖς ἀρήξαντ'] ἤγουν, μηδαμοῦ ἐν τοῖς σοῖς πόνοις ἀρήξαντα, ἤγουν βοηθήσαντα. L. B. 1027. Ἦπου Τελαμὼν] τὸν ἐναντίον συνάγει ὁ λόγος. ἤγουν, οὐκ εὐμενῶς με δέξεται. πρὸς ὃ ἐπάγεται τὸ, πῶς γὰρ οὐκ; B. L. ἆρα ὁ Τελαμὼν ὁ σὸς πατὴρ καὶ ὁ ἐμὸς ἅμα, δέξαιτο ἐμὲ εὐπρόσωπος καὶ ἵλεως τάχα, ἐρχόμενον ἐκεῖ εἰς τὴν Σαλαμῖνα ἄνευ σοῦ; πῶς γὰρ δέξαιτο; οὐχὶ δέξαιτο. ᾧτινι Τελαμῶνι μηδὲ εὐτυχοῦντι πάρεστι τὸ γελᾶν ἥδιον. οὗτος ὁ Τελαμὼν ἆρα κρύψει τὸ πάθος, μηδέν. ἤγουν οὐδαμῶς. ποῖον κακὸν οὐκ ἐρεῖ πρὸς ἐμέ; *Bar.*

Χο. Ἄγαν γε, Τεῦκρε.

Τευ. Φεῦ τάλας. τί γὰρ τέκνον
  Τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;

Χο. Μόνος παρὰ σκηναῖσιν.

Τευ. Οὐχ ὅσον τάχος
  Δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
  Σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
  Ἴθ', ἐγκόνει, σύγκαμνε, « τοῖς θανοῦσί τοι
  « Φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.

Χο. Καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
  Ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.

Τευ. Ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
  Ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
  Ὁδός τ' ἀνιάσασα δὴ πασῶν ὁδῶν
  Μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
  Ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
  Μόρον, διώκων κἀξιχνοσκοπούμενος.
  Ὀξεῖα γάρ σου βάξις, ὡς θεοῦ τινος,

Διῆλθ'

1001. Τί γὰρ τέκνον τὸ τοῦδε] καὶ πρὶν ἀκοῦσαι τὴν τελευτὴν ὁ Τεῦκρος ἔδειξε τὴν περὶ τοῦ παιδὸς κηδεμονίαν ἀφ' ἑαυτοῦ φρονίμως. 1005. Ὡς κενῆς σκύμνον λεαίνης] κεκενωμένης καὶ ἐστερημένης τοῦ συζύγου καλῶς δὲ τῷ παραδείγματι χρῆται. οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρὸν ὁπότε ἔρημοι τῶν μητέρων γίγνονται οἱ σκύμνοι. 1013. Ὁδός θ' ὁδῶν] οὐ λέγει τὴν ἐπὶ τὴν Μυσίαν (ἐπιφέρει γὰρ, ἣν δὴ νῦν ἔβην) ἀλλὰ ταύτην ἣν ἦλθεν ἐπὶ τὸ ἰδεῖν τὸν νεκρόν. 1016. Διώκων] ἤγουν φθάσαι ζητῶν. Κἀξιχνοσκοπούμενος] κατ' ἴχνος ἀκολουθῶν. 1017. Ὀξεῖα γάρ σου βάξις] οὐ κοινῶς τὸ ὀξὺ ἐπὶ τῆς φήμης, ἀλλ' ὁρμὴν ἔχει, ἐπὶ τοῖς ἀξιώμασι προβεβηκέναι. Ὡς θεοῦ] ἤτοι ὡς ἀπὸ θεοῦ, ἢ ὥσπερ θεοῦ. τοῦτο δὲ πρὸς τὴν φήμην μόνον, ἐπεὶ γίγνεται βλάσφημοι διὰ τῆς ἐξῆς.

¶ Σχύμ.

Cho. Nimium quidem, Teucer.
Teu. Heu miser! quid filius autem
Hujus? ubi mihi est terra in Troica?
Cho. Solus apud tentoria.
Teu. Non eum protinus
Huc adduces, ne quis tanquam viduæ
Catulum leænæ inimicorum rapiat?
Vade, festina, adjuva labore tuo:
" Mortuis enim & jacentibus
" Omnes illudere amant.
Cho. Atqui vir ille adhuc vivens hunc tibi curæ fore
Mandabat, quemadmodum nunc curæ est.
Teu. O omnium mihi sane spectaculorum
Mœstissimum, quæ unquam hisce oculis ego vidi!
Viaque omnium certe viarum
Tristissima meo cordi, quam modo confeci,
O charissime Ajax tuam cum vidi
Necem, persequens, & investigans.
Acuta enim de te fama, tanquam a Deo aliquo profecta,

Per-

¶ Σχήμ. Τρικλ. 1007. Τοῖς θανοῦσι] γνωμικόν. 1011. Ὦ τῶν ἁπάντ.] Τεύκρου θρῆνος καὶ δεινοπάθεια ἐπὶ τῷ συμβάντι δεινῷ.

SCHOL. INED. 1005. Μή τις] ἵνα μήτις ὑπὸ τῶν δυσμενῶν ἀναρπάσῃ αὐτὸν τὸν Εὐρυσάκην, ὥσπερ σκύμνον ἀπὸ κενῆς λεαίνης, ἤγουν ἐστερημένης τοῦ ἄῤῥενος. *Bar.* 1007. Ἴθ' ἐγκόνει, σύγκαμνε] ἄπελθε. ἀπὸ τῆς σπουδῆς ἔγειρε κονιορτόν. καὶ συγκακοπάθει τοῖς θανοῦσιν. *Bar.* 1008. Κειμένοις] τὸ κεῖσθαι ἐπὶ τοῦ τεθνηκότος ἰδίως εἰώθασι ταύτην. L. B. 1012. Ἄλγιστον] ἤγουν, ἀλγεινότατον, λυπηρότατον ἐμοὶ θέαμα δηλονότι ἁπάντων τῶν θεαμάτων, ὧν εἶδον ἐγὼ τοῖς ὀφθαλμοῖς. L. B. 1013. Ὁδός τ'] καὶ ἡ ὁδὸς ἀνιάσασα τὸ ἐμὸν σπλάγχνον μάλιστα πασῶν τῶν ὁδῶν, ἣν νῦν ἔβην ὦ φίλτατ' Αἴας διώκων. ἤγουν, φθάσαι ζητῶν, καὶ ἐξιχνοσκοπούμενος. τουτέστι, κατ' ἴχνος ἀκολουθῶν, ὡς ἐπῃσθόμην ἀντὶ τοῦ, ἤκουσα τὸν σὸν μόρον. L. B.

1020. Ὑπι-

Δίηλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
Ἃ 'γὼ κλύων δύστηνος, ἐκποδὼν μὲν ὤν,
Ὑπεστέναζον· νῦν δ' ὁρῶν ἀπόλλυμαι.
Οἴμοι.
Ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
Ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
Ὅσας ἀνίας μοι καταςπείρας, φθίνεις;
Ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἦπου Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,
Δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἰδὼν
Χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὔχ; ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι, μηδὲν ἥδιον γελᾶν.

Οὗτος,

1020. Ὑπεστέναζον] ἴσως ἡσύχως ἐστέναζε δεδοικὼς τοὺς ἐχθρούς. 1022. Ἴθ' ἐκκάλυψον] πρὸς τὸν χορόν φησιν, ἤ τινα τῶν θεραπόντων. ἡ γὰρ Τέκμησσα ἐπὶ τὸν παῖδα ἀπῄει. 1023. Ὦ δυσθέατον] ὡς ἀνακαλύψας τοῦτο φησί. 1024. Καταςπείρας] δαιμονίως καὶ τὸ σπείρας. οἷον, ἀρχὴν κακῶν παρασχών. ἢ τὸ σπείρας ἐπὶ πλήθους κακῶν τακτέον. 1027. Ἦπου Τελαμών] ἅμα μὲν πρὸς τὴν ἱστορίας, ὅτι ἐκβέβληται. ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας. 1028. Εὐπρόσωπος] ἀντὶ τοῦ εὐπροσώπως, τουτέστι ἱλαρῷ προσώπῳ. εὐπρόσωπος δὲ, ὁ εὐειδής. καὶ ἀπὸ τούτου εὐπροσωπος αἰτία. ἡ πιθανὴ καὶ εὐπρεπής. 1029. Πῶς γὰρ οὐχ; ὅτῳ πάρα] συνάγει τὸ ἐναντίον ὁ λόγος, ἤγουν, οὐκ εὐθύμως με δέξεται· πρὸς ὃ ἐπάγεται, πῶς γάρ οὐχ; ὅτῳ πάρα. ἤγουν ὅτῳ μηδὲν (τουτέστι μηδαμῶς) πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾶν ἡδέως. Ἄλλως πῶς γὰρ οὗτός με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. οὐχ ὅτῳ πάρα, οὐχ ᾧ τινι οὐδ' εὐτυχοῦντι πάρεστι τὸ γελᾶν. εὐτυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ, καὶ τῇ ἁλώσει τῆς Τροίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1023. Ὦ δυσθέατον ὄμμα] ἰστέον ὅτι τὸ ὦ οὐ μόνον πρὸς κλητικήν, ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. ἀμφότερον οὖν ἐστιν ἐνταῦθα.

Pervasit omnes Achivos, quod periisses mortuus.
Quæ ego miser, etsi procul abessem, tamen audiens
Ingemui, nunc vero intuens dispereo.
Hei mihi!
Age retege mihi, ut totum malum videam.
O dirum spectaculum, & audaciæ nimis acerbæ!
Quibus tristitiis in me prius seminatis, obis?
Quo enim, aut ad quos homines, ire potero,
Laboribus in tuis qui nusquam juverim?
Telamon tuus pater meusque simul
Excipiet me læto vultu, propitiusque scilicet
Venientem sine te. quidni? cui non aderat
Ne quidem feliciter agenti ob quicquam solito lætius ridere.
Ille

ἐνταῦθα. Ἄλλως, Ὦ δυσθέατον λέγει ὄμμα, καὶ ὦ ὄμμα τολμῆς πικρᾶς. τολμῆς γὰρ ἦν τὸ ὄμμα. πρὸς γενικὴν δὲ, τὸ ὦ συνάπτειν, λόγον οὐκ ἔχει. πρὸς εὐθεῖαν μέντοι σπανίως, ὡς τὸ, ὦ οὗτος, ὦ δυστυχής. ¶ Σχῆμ. Τρικλ. 1021. Οἴμοι] παρεπιγραφή.

SCHOL. INED. 1020. Νῦν δ' ὁρ.] νῦν δ' ὁρῶν καὶ δι' ἔργου, ἃ διὰ λόγου πρότερον ἤκουον, ἀπόλλυμαι. *Bar.* 1022. Ἐκκάλυψον] πρὸς τὴν Τέκμησσαν ὁ λόγος. *Bar.* 1023. Δυσθέατον] ἤγουν, δυσκόλως θεαθῆναι δυνάμενον. *Bar.* Πικρᾶς] τὸ πικρὸν ἐπὶ γεύσεως λέγεται. καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ἄλγους τῆς ψυχῆς. ὃ γὰρ πικρὸν ἐπὶ γεύσεως, τοῦτο ἀλγεινὸν ἐπὶ ψυχῆς. λέγεται καὶ πικρόν τι, ὡς πρόξενον πικρίας, οὐκ ὡς πικρὸν αὐτὸ ὄν. ὡς τὸ ξίφος ἐνταῦθα λέγει πικρόν. L. B. *Bar.* 1025. Ποῖ γὰρ μολεῖν] ἤγουν, ποῦ γὰρ ἐστὶ δυνατόν μοι ἐλθεῖν με τὸν ἀρήξαντα καὶ βοηθήσαντα οὐδαμῶς τοῖς σοῖς πόνοις. τὸ δὲ ἐν παρέλκον ἐστί. *Bar.* 1026. Τοῖς σοῖς ἀρήξαντ'] ἤγουν, μηδαμοῦ ἐν τοῖς σοῖς πόνοις ἀρήξαντα, ἤγουν βοηθήσαντα. L. B. 1027. Ἦπου Τελαμὼν] τὸ ἐναντίον συνάγει ὁ λόγος. ἤγουν, οὐκ εὐμενῶς με δέξεται. πρὸς ὃ ἐπάγεται τὸ, πῶς γὰρ οὔ; B. L. ἆρα ὁ Τελαμὼν ὁ σὸς πατὴρ καὶ ὁ ἐμὸς ἅμα, δέξαιτο ἐμὲ εὐπρόσωπος καὶ ἵλεως τάχα, ἐρχόμενον ἐκεῖ εἰς τὴν Σαλαμῖνα ἄνευ σοῦ; πῶς γὰρ δέξαιτο; οὐχὶ δέξαιτο. ὅστινι Τελαμῶνι μηδὲ εὐτυχοῦντι πάρεστι τὸ γελᾶν ἥδιον. οὗτος ὁ Τελαμὼν ἆρα κρύψει τὸ πάθος, μηδέν. ἤγουν οὐδαμῶς. ποῖον κακὸν οὐκ ἐρεῖ πρὸς ἐμέ; *Bar.*

Οὗτος, τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
Τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
Τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
Σὲ φίλτατ' Αἶας, ἢ δόλοισιν, ὡς τὰ σὰ
Κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
Τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς
Ἐρεῖ πρὸς οὐδὲν, εἰς ἔριν θυμούμενος.
Τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
Δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
Τοιαῦτα μὲν κατ' οἶκον. ἐν Τροίᾳ δέ μοι
Πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμοι.
Καὶ ταῦτα πάντα, σοῦ θανόντος εὑρόμην.
Οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
Τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ

Φονέως

1031. Τί κρύψει] κακὸν σιγήσει, ἀπὸ κοινοῦ. Ποῖον οὐκ ἐρεῖ κακόν] οἷον, τίνος ἀπόσχοιτο λόγου; 1032. Τὸν ἐκ δορὸς] ἤγουν, τὸν γεγονότα νόθον ἐκ δορὸς πολεμίου, τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης. 1034. Ὡς τὰ σὰ] ὅπως τὰ σά. 1036. Τοιαῦτ' ἀνὴρ δύσοργος] τὸ μὲν δύσοργος, ἐκ φύσεως. (λέγει γὰρ αὐτὸν ἀεὶ σκυθρωπόν) τὸ δὲ ἐν γήρᾳ εἰς ἐπίτασιν. 1037. Πρὸς οὐδὲν] πρὸς οὐδὲν ἀληθές. ἢ αἴτιον μοι. Εἰς ἔριν] εἰς μάχην. ἔρις ὁ ζῆλος καὶ ἡ μίμησις, καὶ ἔρις ἡ μάχη. 1038. Τέλος] κατὰ τὸ τέλος, ἐπιρρηματικῶς. Ἀπορριφθήσομαι] ἐκπεσοῦμαι τῆς γῆς τῆς πατρῴας. 1039. Δοῦλος λόγοισιν] ταῖς τοῦ πατρὸς λοιδορίαις. 1041. Πολλοὶ μὲν ἐχθροί] πολλοὶ ἐχθροὶ Ἕλληνές τε καὶ Τρῶες. ὀλίγοι δὲ ὠφελήσιμοι Ἕλληνες. 1043. Πῶς σ' ἀποσπάσω] πῶς (φησὶ) τὸ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληρῶσαι δὲ βούλεται καὶ θάψειν αὐτόν. καλῶς δὲ, τῇ μὲν Τεκμήσσῃ παρέλιπε τὸ σκεπάσαι αὐτὸν, ὡς γυναικί. τῷ δὲ Τεύκρῳ ὡς ἀνδρὶ καὶ ἀδελφῷ, τὰ δέοντα ποιεῖν περὶ τὸ σῶμα. 1044. Τοῦ δ' αἰόλου κνώδοντος] τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίνειν, ὡς ὀδοὺς. ὀδοῦσι γὰρ παραβάλλεται ὀξέσιν. ἀπὸ δὲ τοῦ ἄκρου τὸ ξίφος δηλοῖ. Αἰόλου. τὴν συνεχῆ κίνησιν πάσχοντος διὰ τὴν λεπτότητα.

ΣΧΟΛ.

Ille quid reticebit? quid mali de me non dicet?
Me ex matre captiva susceptum nothum
Timiditate & ignavia qui prodiderim,
Te charissime Ajax, vel dolis, ut tuas
Opes emortui ac domum possiderem tuam.
Talia vir iracundus, & in senecta gravis
Dicet, nullam ob *meam culpam* ad jurgandum irritatus.
Tandemque extorris patria ejiciar,
Pro libero servus vulgo notatus.
Atque hæc quidem domi. hic vero in Troja mihi
Multi sunt inimici, pauca vero quæ juvent.
Et hæc omnia te mortuo nactus sum.
Hei mihi quid faciam? qui te avellam ab acerbo
Hoc acuto mucrone? O miser! a quali
Homi-

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1041. Παῦρα δ' ὠφ.] παρὰ τισὶ μὲν τῶν βιβλίων, παῦροι, παρὰ τισὶ δὲ παῦρα εὑρίσκεται. ἔστι δὲ τὸ παῦρα κρεῖττον τοῦ παῦροι, διὰ τὸ σώζειν τὸ μέτρον. τέταρτος γὰρ πούς ἐστιν· ὀφείλει δὲ οὗτος ἴαμβος εἶναι. εἰ δέ τις εἴποι, ὅτι καὶ τὸ παῦροι τὸ ροι βραχύ ἐστι (διὰ τοῦτο γὰρ καὶ τὸ παῦ περισπῶμεν) ἴστω ὅτι οἱ ποιηταὶ τῶν εὐθειῶν πληθυντικῶν τὰ τέλη, εἴτε διὰ τοῦ αι ἐκφέρονται, ὡς τὸ μοῦσαι. εἴτε διὰ τοῦ οι, ὡς τὸ πλόοι, ἀντὶ μακρῶν δέχονται, ἐὰν μὴ ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. τότε γὰρ αὐτὰ κοινὴν συλλαβὴν ἡγοῦνται. ἔστι δὲ τὸ παῦρα ἀντὶ τοῦ ὀλίγα καὶ οὐδαμῶς· ὥσπερ ἐστὶ καὶ τὸ, Τί βαιὸν οὕτως ἐντρέπῃ τοῦ συμμάχου; τὸ γὰρ βαιὸν ἀντὶ τοῦ ὀλίγον καὶ οὐδαμῶς ἐνταυθοῖ νοητέον. οὐ μόνον δὲ τὰ τέλη τῶν πληθυντικῶν εὐθειῶν, ἀλλὰ καὶ τὰ τῶν ὁριστικῶν ῥημάτων, καὶ ἀπαρεμφάτων, καὶ προστακτικῶν, τὰ δίφθογγον ἔχοντα ἐν τῷ τέλει, ἀντὶ μακρῶν δέχονται, συμφώνου ἐπιφερομένου· φωνήεντος δὲ, καὶ ταῦτα κοινὴν συλλαβὴν ἡγοῦνται.

SCHOL. INED. 1032. Δορὸς πολεμίου] ἀντὶ τοῦ, ἐξ αἰχμαλώτιδος γυναικός. L. B. *Bar.* 1035. Κράτη] ἤγουν, τὴν σὴν ἀρχὴν καὶ ἐπικράτειαν, τὴν ἀνήκουσαν σοί. L. B. *Bar.* 1036. Ἀνὴρ δύσοργος] ὁ ἄνθρωπος ὢν ἐκ φύσεως βαρύθυμος, ὁ Τελαμὼν δηλονότι. Ἰστέον, ὅτι ἴδιον ἐστὶ τοῖς γέρουσιν, ἔχειν ἀεὶ τὸ δυσάρεστον καὶ δύσκολον, καὶ τὸ βαρύνεσθαι

ἐπὶ

Φονέως ἄρ' ἐξέπνευσας· εἶδες ὡς χρόνῳ
Ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν;
Σκέψασθε πρὸς θεῶν τύχην δυοῖν βροτοῖν·
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
Ζωστῆρι πρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
Ἐγνάπτετ' αἰὲν, ἔστ' ἀπέψυξεν βίον·
Οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
Πρὸς τοῦτ' ὄλωλε θανασίμῳ πεσήματι.
Ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσε ξίφος,
Κἀκεῖνον Ἅδης δημιουργὸς ἄγριος;
Ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
Φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς.
Ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
Κεῖνός τ' ἐκεῖνα στεργέτω κἀγὼ τάδε.

Χο. Μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ

Φράζου

ἐπὶ πᾶσιν. ἦν μὲν ὁ Τελαμὼν καὶ ἀφ' ἑαυτοῦ δύσοργος, καὶ πάνυ ὀργίλος. γέγονε δὲ καὶ βαρὺς, ἕνεκα τοῦ γηράσκειν. *Bar.* L. 1041. Ὠφελήσιμοι] ἀντὶ τοῦ ὠφέλιμοι. ἐπιτήδειοι εἰς ὠφέλειαν. L. B. Ἤγουν, ὠφέλειαν ἐμοὶ προξενήσαντες. διὰ τὸ κοινῶς ἅπαντας ἐθελῆσαι βλάψαι τὸν Αἴαντα. *Bar.* 1043. Ἀποσπάσω] ἀνασπᾶν, τὸ βιαίως ἀνέλκειν. κατασπᾶν, τὸ βιαίως καθέλκειν. ἀποσπᾶν, τὸ τὰ κεκολλημένα (*Bar.* κεκολυμένα) χωρίζειν. L. B. *Bar.* 1044. Κνώδοντος] κνώδων ἐτυμολογεῖται, ἀπὸ τοῦ κινεῖν δέος, ἤγουν φόβον. ἢ ἀπὸ τοῦ ἐν τῇ κινήσει ὀδάξειν. ἤγουν, ἐσθίειν, διὰ τῆς τομῆς. *Bar.*
1049. Πρισθεὶς] ἤγουν δεθείς. Ἀντύγων] ἤγουν ἁρμάτων. 1052. Πεσήματι] ἀντὶ τοῦ πτώματι. 1054. Κἀκεῖνον] δηλονότι τὸν ζωστῆρα. 1055. Ἐγὼ μὲν οὖν καὶ ταῦτα] καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίγνεσθαι. εἰσὶ γάρ τινες ἑτεροδοξοῦντες. 1057. Ὅτῳ δὲ μὴ τάδ' ἐστὶ] τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα. 1058. Ἐκεῖνα στεργέτω] τὰ ἑαυτοῦ δόγματα. γέγονε δὲ τοῦτο καὶ παροιμιακόν. 1059. Μὴ τεῖνε] ἀντὶ τοῦ ἀπότεινε, λόγον δηλονότι. τὸ ἀποτείνειν γὰρ ἐπὶ λόγου λέγεται. οἷον, ἀπέτεινε

Homicida expiraſti! noſti quod aliquando
Hector etiam mortuus te eſſet occiſurus?
Videte, per deos, fortunam duorum virorum.
Hector quidem, *eodem illo*, quo donatus erat ab hoc
Balteo ligatus, equeſtri è curru
Raptatus erat, uſq; dum exhalavit animam.
Hic vero, ab illo hunc enſem donatum habens
Eo ipſo periit mortifero inſiliens impetu.
An non Erinnys ipſa hunc frabricata eſt gladium?
Et illum balteum Pluto ſævus opifex?
Ego igitur & hæc, & alia omnia ſemper
Hominibus aio machinari deos.
Cui autem hæc non ſunt cordi,
Illeque ſua amet, & ego mea.
Cho. Ne tende longius, ſed, ut ſepulchro condas

Hunc

τεῖνε λόγον μακρόν. Ἀλλὰ φράζου] σκόπει ὅπως κρύψεις τὸν ἄνδρα ἐν τάφῳ. ὅπως, ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά. ἐνταῦθα ἀντὶ τοῦ πῶς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1048. Ἕκτωρ] ὁ Ἕκτωρ ἐν τῷ ζωστῆρι ᾧ ἐδωρήθη καὶ ἐφιλοφρονήθη παρὰ τοῦδε τοῦ Αἴαντος, ἐνανάπτετο, καὶ συρόμενος κατεκόπτετο ἐκ τῶν ἱππικῶν ἀντύγων καὶ τοῦ τοῦ ἅρματος περιφερείας, ἕως καὶ ἕως οὗ ἀπέψυξε τὸν βίον. ἀπέψυξε δὲ εἶπεν ἀντὶ τοῦ ἀπεβάλετο τὸν βίον καὶ τὴν ζωὴν, πρισθεὶς καὶ κατακοπείς· παρ' ὅσον οἱ εἰςπνέοντες ψυχραίνονται παντὶ τῷ σώματι, τοῦ τὴν θέρμην ἐμποιοῦντος αἵματος εἰς τὴν καρδίαν εἰσδραμόντος, φυλακῆς ἕνεκα, καὶ πάντα τὰ μέρη καταλελοιπότος ψυχρά. 1059. Ἀλλ' ὅπως κρύψεις] τὸ ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά. ἐνταῦθα δὲ ἀντὶ τοῦ πῶς. ¶ Σχῆμα. Τρικλ. 1047. Πρὸς θεῶν] συνίζησις.

SCHOL. INED. 1047. Σκέψασθε] ἤγουν, ὦ ἄνδρες, σκοπήσατε καὶ ἴδετε, ἕνεκα τῶν θεῶν τὴν τύχην τῶν δύο ἀνθρώπων, Αἴαντός τε καὶ Ἕκτορος. *Bar.* 1050. Ἀπέψυξεν] ἐτελεύτησε, καὶ ἐτελεύτησε τὸν βίον. καὶ κατέστρεψε, καὶ κατέστρεψε τὸν βίον. καὶ ἀπέψυξε, καὶ ἀπέψυξε τὸν βίον. καὶ μετήλλαξε, καὶ τέθνηκεν, ἐπὶ τοῦ αὐτοῦ. L. B. 1051. Οὗτος δ' ἐκ.] οὗτος δὲ ὁ Αἴας ἔχων τὴν δωρεὰν ἐκείνου τοῦ Ἕκτορος, ἤγουν τόδε τὸ ξίφος, παρὰ τοῦδε ὄλωλε θανασίμῳ πτώματι. *Bar.* 1054. Κἀκεῖνον ᾅδης [*Bar.* ᾅδης] τουτέστι, ἄρα οὐ τὸν ζωστῆρα ὁ ᾅδης

Φράζε τὸν ἄνδρα, χ' ὤ, τι μυθήσῃ τάχα.
Βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
Γελῶν, ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.
Τεῦ. Τίς δ' ἐστὶν ὄντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;
Χο. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
Τεῦ. Ὁρῶ. μαθεῖν γὰρ, ἐγγὺς ὢν, οὐ δυσπετής.
Με. Οὗτος, σὲ φωνῶ· τόνδε τὸν νεκρὸν χεροῖν
Μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
Τεῦ. Τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;
Με. Δοκοῦντ' ἐμοὶ, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.
Τεῦ. Οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;

Με.

ὁ δημιουργὸς ἔργα ποιῶν, ὁ ἀνήμερος κατεσκεύασεν. *Bar.* 1055. Ἐγὼ μὲν] ἐγὼ μὲν οὖν φάσκοιμι ἂν τοὺς θεοὺς μηχανᾶν ταῦτα, καὶ τὰ ἄλλα πάντα ἀεὶ ἐν τοῖς ἀνθρώποις. *Bar.* 1057. Ὅτῳ μὴ] ᾧτινι μὴ ταῦτα, ἃ λέγω καὶ φρονῶ ἐγὼ, εἰσὶν ἐν τῇ γνώμῃ αὐτοῦ ἀγαπητά. *Bar.* 1059. Μὴ τεῖνε μακρὰν] μὴ ἀπότεινε τὸν λόγον ἐπὶ πολὺ, ἀλλὰ φράζε ἵνα κρύψῃς τὸν ἄνδρα ἐν τῷ τάφῳ. βλέπω γὰρ φῶτα ἐχθρὸν, καὶ τάχα ἂν ἐπὶ ταῖς δυστυχίαις ἡμῶν γελῶν, ἐξίκοιτο. ἤγουν, εἴπῃ καὶ διεξέλθοι λόγια, ἅτινα ἐξίκοιτο ἂν ἀνὴρ κακοῦργος. *Bar.*

1060. Χ' ὤ, τι μυθήσῃ τάχα] καὶ ὅτι μυθήσῃ πρὸς τὴν ἔφοδον Μενελάου. τουτέστι τὴν ἄφιξιν· ἤτοι πρὸς αὐτὸν Μενέλαον. 1062. Ἐξίκοιτ' ἀνὴρ] πιθανῶς πάρεστιν, ὅτι οὐ συμπαθήσων πάρεστιν. οὐκ ἀργῶς δὲ τοῦτο, ἀλλ' ὥσπερ προπαρασκευάζων τὸν Τεῦκρον. λέγει δὲ, ἐξίκοιτο ἂν (ἤγουν διεξέλθοι) ἃ ἀνὴρ κακοῦργος ἐξίκοιτο ἂν δηλονότι. 1063. Τίς δ' ἐστιν] ἤγουν, τίς ἀνήρ ἐστιν ἀπὸ τοῦ στρατοῦ, ὃν προσλεύσσεις, ἤγουν βλέπεις. 1064. Ὧ δὴ τόνδε πλοῦν] ἀντὶ τοῦ, δι' ὅντινα τὸν ἐπὶ Τροίαν ἐστειλάμεθα πλοῦν. Ἐστείλαμεν] ἀντὶ τοῦ ἐστειλάμεθα. στέλλω, τὸ κοσμῶ. στέλλομαι δὲ, ἐπὶ τῆς ἐν θαλάσσῃ πορείας, οἷον ἐστείλατό τις τόνδε τὸν πλοῦν. 1065. Μαθεῖν γὰρ, ἐγγὺς] ἐγγὺς γὰρ ὢν οὐ δυσπετής ἐστιν εἰς τὸ θεαθῆναι. δυσπετὴς, ὁ δυσκόλως ὑπείκων, ἤγουν ὁ δυσχερής. οὗ ἐναντίον ὁ εὐπετὴς, ὁ εὐκόλως ὑπείκων. προπετὴς, ὁ ἔμπροσθεν κείμενος. προπέτης δὲ, παροξυτόνως, ὁ προαρπάζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παῤῥησιαζόμενος· ἀπὸ τῆς στρουθίων τῶν πρὸ τοῦ καιροῦ ζητούντων πέτεσθαι. 1066. Οὗτος, σὲ φωνῶ·] ὑβριστικὸν τὸ ἦθος Μενελάου. ἴσως ἐκ τῆς συνωμοσίας Ὀδυσσέως

1067. Μὴ

Hunc virum, cogita, & quid mox reſpondebis.

Video enim virum inimicum, & forte malis noſtris

Irridens venit, ut vir malignus quiſpiam.

Teu. Quis vero eſt ille vir de exercitu quem vides?

Cho. Menelaus, cujus cauſa hanc navigationem inſtituimus.

Teu. Video: nam prope exiſtens facile agnoſci poteſt.

Me. Heus tu, tibi dico: hoc cadaver manibus

Ne componas, ſed ſinas ita ut eſt.

Teu. Quam ob cauſam edictum tam durum proponis?

Me. Quia ſic mihi placet, & illi qui præeſt exercitui.

Teu. An non & cauſam cur hoc fiat dices?

Me.

1067. Μὴ συγκομίζειν] μὴ θέλε συγκομίζειν, ἤγουν θάπτειν· ἀπὸ τῶν συναγομένων καρπῶν εἰς τὰς ἀποθήκας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκομίζειν καὶ συγκομιδή. Ἀλλ' ἐᾷν ὅπως ἔχει] ἀντὶ τοῦ ἄθαπτον. 1069. Δοκοῦντ' ἐμοί] διὰ τὴν ἐξουσίαν, οὐ διὰ δικαιολογίαν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1062. Ἐξίκοιτ' ἀνὴρ] οὐ μόνον διεξέρχομαι, ἀλλὰ καὶ ἐξέρχομαι χωρὶς τοῦ διὰ φαμὲν, ὡς ἐνταῦθα. καὶ Εὐριπίδης, Θνητοὶ γὰρ ἐξίασι πάντα δὴ κάλων. 1070. Ἥντιν' αἰτίαν προθεὶς;] τὸ ἥντινα ἀντὶ τοῦ τίνα νοητέον. ὥσπερ γὰρ φαμὲν ὅ, τι ἀντὶ τοῦ τί, καὶ πᾶς ὅστις οὖν ἀντὶ τοῦ πᾶς τις, οὕτω καὶ τοῦτο. ἰστέον δὲ ὅτι πάντα τὰ τοιαῦτα ποτὲ μὲν ἐν ἀρχῇ τὴν δύναμιν ἔχουσι, ποτὲ δὲ ἐν τῷ τέλει· οἷον τὸ, ὅντινα, ποτὲ μὲν τὸ ὃν τὴν δύναμιν ἔχει, ὡς τὸ, οὐκ οἶδα ὅντινα εἴποις. ποτὲ δὲ τὸ τινα, ὡς τὸ, ἄνθρωπον ὅντινα εὑρὼν, περὶ τοῦ δεῖνος ἠρόμην, ἀντὶ τοῦ ἄνθρωπόν τινα, παραπλησίως δὲ ἔχει καὶ τὸ ὅ, τι, καὶ τὸ ἥντινα, καὶ τὸ ὅστις, καὶ ὅσα τοιαῦτα. ¶ Σχήμ. Τρικλ. 1066. Οὗτος, σὲ φωνῶ] ἄφιξις Μενελάου οὐκ ἐῶντος θάπτειν τὸν Αἴαντα.

SCHOL. INED. 1063. Τίς δ' ἐστὶν] κατὰ ἐρώτησιν. τίς δὲ ὁ ἀνὴρ, ὅντινα ἄνδρα προσλεύσσεις ἐρχόμενον ἀπὸ τοῦ στρατοῦ. Ἀποκρ. Ὁ Μενέλαος ἐστὶν, οὗτινος ἕνεκα τὸν πλοῦν ἐστειλάμεθα. *Bar.* 1065. Ὁρῶ. μαθεῖν] ὢν γὰρ ἐγγὺς, οὐκ ἔστι δυσπετὴς, ὥστε μαθεῖν καὶ γνῶναι αὐτὸν δηλονότι. *Bar.* 1066. Οὗτος, σὲ] καταφρονητικὸν τὸ ἔπος. ὅθεν οὐδὲ τὸ ὄνομα τοῦ κεκλημένου λέγει. *Bar.* 1067. Μὴ συγκομίζειν] μὴ θέλε κηδεύειν, ἀλλὰ θέλε ἀφεῖναι καθὼς διάκειται. *Bar.* 1070. Οὐκοῦν] οὐκοῦν, εἴποις ἂν, προθεὶς δι' ἥντινα αἰτίαν προστάσσεις μοι μὴ συγκομίσαι τὸν νεκρὸν, ἀλλ' ἐᾷν αὐτὸν καθὼς διάκειται. *Bar.*

1071. Ὅθ'

Μέ. Ὅθ' οὕνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
Ἄξειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
Ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν.
Ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον,
Νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί.
Κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην,
Θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ·
Οὗτος δ' ἂν ἔζη· νῦν δ' ἐνήλλαξεν θεὸς
Τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν·
Ὧν οὕνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
Τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ·
Ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος,
Ὄρνισι φορβὴ παραλίοις γενήσεται.

Πρὸς

1071. Ὅθ' οὕνεκ'] ἀντὶ τοῦ ὅτι, ἐκ παραλλήλου. ἔστι δὲ πρῶτον κεφάλαιον, ὅτι ἐπίβουλος ἦν τῶν Ἑλλήνων. δεύτερον, ὅτι ἀπειθής. ἐντεῦθεν δὲ τὴν πρόφασιν τῆς ἀντιλογίας λήψεται ὁ Τεῦκρος, ὅτι οὐκ εἰσὶν αὐτῷ βασιλεῖς οἱ Ἀτρεῖδαι. Οἴκοθεν] ἀπὸ τοῦ οἴκου, καὶ ἀπὸ τούτου οἴκοθεν, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ. 1073. Ἐξεύρομεν] ἀντὶ τοῦ εὕρομεν. εὑρίσκει τις τὸ ὄν, ἐξευρίσκει δὲ καὶ ἐφευρίσκει τὸ μὴ ὄν. Ζητοῦντες] ἐξετάζοντες. ζητῶ τὸ ἐρευνῶ, καὶ ζητῶ τὸ ἐξετάζω. 1075. Ὡς ἕλοι δορί] γράφεται, ὡς ἕλοι δόρει. ὡς λοιδορούμενος ἐπηγγείλατο. ταῦτα γὰρ εἶπεν ὁ Αἴας. 1081. Ὧν οὕνεκ' αὐτὸν] οὐδείς ἐστιν ἀνὴρ σθένων τοιοῦτον ὥστε τυμβεῦσαι τάφῳ, ἤγουν ἐνταφιάσαι αὐτόν. εἶτα ἐπάγει τὸ σῶμα. καὶ ἔστιν ὅμοιον τῷ, ποῖόν σε φύγεν ἕρκος ὀδόντων; ἐφ' οἷς ὅλον τι δείκνυται καὶ μέρος. προαρπάζει δὲ τὸ ὅλον τὴν δύναμιν τοῦ ῥήματος, εἶτα ὥσπερ ἐκ μεταμελείας δίδωσιν αὐτὴν τῷ μέρει. συνυπακούεται γὰρ ἐν τούτοις ἐπὶ τοῦ μέρους ἡ κατὰ πρόθεσις, ἵν' ᾖ οὕτως, ποῖόν ἔπος ἔφυγέ σε; λέγω κατὰ τὸ ἕρκος τῶν ὀδόντων. καὶ οὐδείς ἐστιν ἀνὴρ σθένων τοσοῦτον, ὥστε τυμβεῦσαι τῷ τάφῳ αὐτὸν, λέγω κατὰ τὸ σῶμα. 1083. Ἀμφὶ χλωρὰν ψάμαθον] διὰ τὰ ἐκεῖσε φυτά.

Me. Propterea quod cum speraremus nos ipsum ex patria
Adduxisse socium & amicum,
Invenimus experti infensiorem *ipsis* Phrygibus.
Qui exercitui simul universo machinatus necem,
Noctu *nos* hostiliter invasit, ut hasta opprimeret;
Et nisi Deorum aliquis hoc molimen extinxisset,
Nos hac ipsa, quam ipse sortitus est fortunam,
Cæsi jacuissemus passim, fœdissima morte:
Ipse vero viveret: nunc autem mutata vice *fecit* Deus
Ut hujus violentia in oves gregesque recideret.
Quapropter homo haud est tam potens
Quisquam, ut hoc sepulchro condat illius corpus:
Sed in flavam arenam projectus
Avibus marinis fiet pabulum.

Atque

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1078. Πρὐκείμεθ'] δέον εἰπεῖν πρὸς τὸ μόρῳ ὃν εἴληχεν, ἐπειδὴ ὁ τοιοῦτος μόρος δυστυχία τὶς ἦν. οὐ γὰρ φυσικῶς, ἀλλ' οἰκτρῶς διὰ ξίφους γέγονεν, ὅθεν καὶ ἔχθιστον καλεῖ· πρὸς τοῦτο καὶ τὴν σύνταξιν ἀπέτεινεν οὕτως, ἡμεῖς μὲν θανόντες ὑπ' αὐτοῦ πρὐκείμεθα ἂν ἐν ἐχθίστῳ θανάτῳ, ἣν τύχην καὶ δυστυχίαν εἴληχε καὶ ἐκληρώσατο οὗτος, τὴν δὲ καὶ ταύτην ἣν ὁρῶμεν, σφαγεὶς αὐτὸς ὑπ' αὐτοῦ. 1081. Ὧν οὕνεκ' αὐτὸν] τὸ αὐτὸν καὶ τὸ σῶμα, καθ' ὅλον καὶ μέρος. τὸ γὰρ αὐτὸν, καὶ σῶμα καὶ ψυχὴν δηλοῖ. τὸ δὲ σῶμα, μέρος αὐτοῦ, ὃ καὶ μόνον ταφήσεσθαι ἔμελλεν. ¶ Σχήμ. Τρικλ. 1071. Ὅθ' οὕνεχ'] κατηγορία κατὰ τοῦ Αἴαντος.

SCHOL. INED. 1076. Κεἰ μὴ θεῶν] καὶ ἂν μή τις ἀπὸ τῶν θεῶν ἔσβεσε τήνδε τὴν πεῖραν, ἡμεῖς μὲν ἂν θανόντες πρὐκείμεθα ἐν αἰσχίστῳ μόρῳ, κατὰ ταύτην τὴν τύχην, ἣν εἴληχεν οὗτος ὁ Αἴας. ἤγουν ἀνελπίστως οὕτω καὶ αἰφνιδίως. *Bar.*

Πρὸς ταῦτα, μηδὲν δεινὸν ἐξάρῃς μῦθος.
Εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
Πάντως θανόντος ἄρξομεν, κἂν μὴ θέλῃς,
Χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ' ὅπου
Λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν.
" Καίτοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην
" Μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
" Οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
" Φέροιντ' ἂν ἔνθα μὴ καθεστήκοι δέος,
" Οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,
" Μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.
Ἀλλ' ἄνδρα χρὴ, κἂν σῶμα γεννήσῃ μέγα,
" Δοκεῖν πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ.
" Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ' ὁμοῦ,

Σωτη-

1085. Μηδὲν δεινὸν] στοχάζεται γὰρ ὅτι ὁ Τεῦκρος οὐ δίχα ὀργῆς δέξεται τοὺς λόγους. ἤγουν, μὴ ἀντάρῃς δεινὸν μῦθος, τουτέστι χαλεπὴν ἔνστασιν. τὸ ἀνταίρειν, κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί. καὶ ἀπὸ τούτου καὶ ἐπὶ γνώμης καὶ ἐπὶ τοιούτων τινῶν. οἷον, ἀνταίρειν γνώμην, καὶ ἀνταίρει μῦθος. 1088. Παρευθύνοντες] ἐκτρέποντες, ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρεκκλινόντων αὐτούς. Οὐ γάρ ἐσθ' ὅπου] οὐκ ἔστιν ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ· τουτέστιν οὐκ ἔστι τόπος ὅπου. οὐκ ἔστιν ὅτε, ἀντὶ τοῦ οὐδέποτε· ἤγουν οὐκ ἔστι χρόνος ὅτε. οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ, οὐκ ἔστι τρόπος ὅπως. 1091. Δικαιοῦν] δίκαιον κρίνειν. κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν. 1093. Φέροιντ' ἂν] ἤγουν διοικοῖντο. Ἔνθα μὴ καθεστήκοι δέος] καὶ Ἐπίχαρμος, Ἔνθα δέος, ἐνταῦθα καὶ αἰδώς. 1098. Δέος γὰρ ᾧ] καὶ Ὅμηρος, Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1088. Χερσὶν παρευθύνοντες] ἐκτρέποντες, ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν την ἑαυτῶν ὁδὸν, ἀλλὰ παρακλινόντων αὐτούς. 1090. Καίτοι κακοῦ πρὸς ἀνδρὸς] ἐκ γενικῆς ἀρξάμενος, αἰτιατικὴν ἐπήνεγκε πρὸς τὸ ἀπαρέμφατον. οὕτως γὰρ ἔδει εἰπεῖν, ἀνδρὸς κακοῦ ἐστι μηδὲν ἀκούειν δικαιοῦν τῶν ἀρχόντων. ἐπεὶ οὖν οὕτω μὴ ἀκούων τῶν ἐφεστώτων,

Atque ob hoc ne graves tollas animos:
Nam si viventem reprimere non potuimus,
Mortuo certe imperabimus, etiam si nolis,
Manuum *vi* dirigentes. nullibi enim
Dictis parere vivus unquam voluit meis.
" At *hoc* mali *est* hominis, æquum censere
" Ut plebeius nihil magistratibus obediat.
" Haud enim unquam, neq; in civitate leges recte
" Se habeant, ubi nullus est status timor.
" Neque exercitus certe modeste se ultra gerat in duces,
" Omni metus & pudoris obice amoto:
" Sed virum oportet, quantumvis vasto natus sit corpore,
" Cogitare, posse se cadere parvo quamlibet malo.
" Timor enim cui adest, pudorque simul,
Salutem

σάντων, ὡς πρὸς ἐκείνους ἰδιώτης ἦν, διὰ τοῦτο εἶπε τὸ, ἄνδρα δημότην, πρὸς τὸ ἀπαρέμφατον ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν τρέψας τὸν λόγον. 1098. Δέος γὰρ ᾧ πρόσ.] καλῶς εἶπεν ἀμφότερον, τὸ δέος καὶ τὴν αἰσχύνην. δέδιε γάρ τις τύραννον, οὐ μὴν αἰδεῖται· ὡς ἦν καιροῦ τύχῃ, ἑτοίμως ἂν τοῦτον καθέλοι, εἰ δέ τις σὺν τῷ φόβῳ καὶ αἰδῷ πρὸς τὸν οἰκεῖον ἄρχοντα φυλάττει, οὗς τε ἀεὶ πρὸς τὸ ἄρχεσθαι ἐστηρίζει, νεωτερίσας μηδέποτε, ὅ, τι ἄρχων τῆς αὐτοῦ σωτηρίας διὰ παντὸς φροντίζει. ¶ Σχήμ. Τρικλ. 1090. Καίτοι κακοῦ] ἐντεῦθεν οἱ ιγ στίχοι γνωμικοὶ ὅλοι.

SCHOL. INED. 1085. Δεινὸν] δεινὸν ἀντὶ τοῦ μέγα καὶ βαρὺ καὶ χαλεπὸν καὶ ἐπίβολαβὲς μῦθος ἀντάρκης. *Bar.* 1086. Μὴ δυνήθημεν] Εἰ γὰρ μὴ ἐδυνήθημεν. ἄρχειν αὐτοῦ ζῶντος, πάντως γὰρ ἄρξομεν αὐτοῦ θανόντος, κἂν σὺ μὴ θέλῃς, ὦ Τεῦκρε, βίᾳ χειρῶν νικῶντες. οὐ γὰρ ἦν δυνατὸν ποτὲ, ὑπακοῦσαι τῶν ἐμῶν λόγων. ἔχει δὲ ὁ λόγος οὕτως. οὐ γὰρ ἠθέλησε ζῶν αὐτὸς ὁ Αἴας ἀκοῦσαι τῶν ἐμῶν λόγων. *Bar.* 1090. Καί τοι κακοῦ] Καίτοι ἴδιον ἐστὶν ἀνδρὸς κακοῦ, μηδὲν δικαιοῦν ἀκούειν τῶν ἡγεμόνων, τοὺς ἄνδρας τοὺς δημότας. τουτέστιν, ἴδιον ἐστὶν ἀνδρὶ κακῷ, μηδαμῶς ἀφιέναι ἄνδρα δημότην, κλύειν τῶν ἐφεστώτων. *Bar.* 1093. Φέροιντ'] τουτέστι, διοικοῖντο ἂν ὅπου μὴ ὑπάρχοι φόβος. *Bar.* 1096. Ἀλλ' ἄνδρα] ἤγουν, ἀλλ' ἕκαστον ἄνδρα χρὴ νομίζειν πεσεῖν, καὶ ἀπὸ σμικροῦ κακοῦ ἐνίοτε, κἂν καὶ σῶμα γεννήσῃ μέγα. *Bar.* 1098. Δέος γὰρ] ᾧ τινι δὲ ἀνδρὶ πρόσεστι δέος ὁμοῦ καὶ αἰσχύνη, τοῦτον τὸν ἄνδρα γίνωσκε ἔχοντα σωτηρίαν. *Bar.*

" Σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο.
" Ὅπου δ' ὑβρίζειν, δρᾶν θ' ἃ βούλεται πάρα,
" Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ,
" Ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
" Ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
" Καὶ μὴ δοκῶμεν, δρῶντες ἂν ἡδώμεθα,
" Οὐκ ἀντιτίσειν αὖθις, ἂν λυπώμεθα.
" Ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
Αἴθων ὑβριστής· νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ,
Καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως

Μὴ

1103. Καίριον] πάνυ ἀσφαλῶς τὸ καίριον. 1104. Καὶ μὴ δοκῶμεν] ἐὰν ποιοῦντές τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν ὅτι οὐκ ἀντιτίσομεν. προλαβὼν δὲ τὸ δρῶντες, λαμβάνει τὴν αἰτιατικὴν οἰκείας, εἶτα ἐπάγει τὸ ἡδώμεθα, ἀποδιδόμενον πρὸς τὴν προηγησαμένην πτῶσιν. καὶ ἐπὶ τοῦ ἐφεξῆς στίχου τὸ αὐτὸ συμβαίνει, καὶ ἐφ' ἑτέρων πλείστων. 1105. Ἂν λυπώμεθα] ἀντὶ τοῦ δι' ὧν λυπώμεθα. τοῦτο δὲ δηλοῖ ὅτι ὃ οἱ πολλαὶ τιμῶσιν ἡδὺ, τοῦτο οὐκ ἔστι πεπηγμένον, ἀλλὰ γίνεται μεταβολὴ τῆς ἡδονῆς εἰς λύπην. 1106. Παραλλὰξ] ἤγουν κατὰ διαδοχήν. ἀλλάττομαι τοῦδε τόδε, ἤγουν διὰ τοῦδε τόδε. ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως· ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλοιοῦν. οἷον, ἐξαλλάττεις τὸ χρῶμα. συναλλάττειν, ἐπὶ συμφωνίας γάμου, ἀφ' οὗ συνάλλαγμα. καταλλάττειν, καὶ διαλλάττειν τὸ εἰς φιλίαν συνάγειν. καταλλάττεσθαι ἢ καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι. μεταλλάττειν, τὸ βαίνειν ἀπό τινος εἰς τι, καθ' ὃ λέγεται τὸ, μετήλλαξε τὸν βίον. παραλλάττειν, τὸ τῇ διαθέσει ἀλλοῖον δείκνυσθαι, ἀφ' οὗ παραλλὰξ ἐπίῤῥημα, ὅταν ἐφεξῆς ἕτεροι ἑτέρων ἀλλοῖοι κέηται· καὶ ἁπλῶς τὸ ἐφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ τὸ διάγειν. ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν. 1107. Αἴθων ὑβριστὴς] οὐχ ἵσταται ἐπὶ τῶν αὐτῶν. ἦν τότε ὑβριστὴς οὗτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε. καὶ ἡμεῖς οἱ πρότερον κρατούμενοι ὑπ' αὐτοῦ, νῦν κρατοῦμεν, καὶ μέγα φρονοῦμεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1102. Ἐξ οὐρίων δραμοῦσαν] πνεύματι δηλονότι· ἀπὸ μεταφορᾶς τῆς νεὼς τῆς ἀπὸ τῆς πρύμνης ἐχούσης τὴν φοράν. 1104. Καὶ μὴ] ὅτι ἀμφότερα τὰ ἂν, οὐ μόνοι σύνδεσμοί εἰσιν, ἀλλὰ δύο μέρη τοῦ λόγου, ἃ ἄρθρον, καὶ ἂν σύνδεσμος· ὅθεν καὶ κατὰ κρᾶσιν ἂν γέγονεν, ὡς τῷ σοφωτάτῳ ἐπενοήθη Πλανούδῃ. ὁ γὰρ ἂν σύνδεσμος βραχύς ἐστι παρὰ τοῖς μετρικοῖς· ἐνταῦθα δὲ μακρόν ἐστι τὸ ἂν. ὥστε δύο μέρη τοῦ λόγου ἐστὶ κραθέντα εἰς ἕν. σύνταξις δὲ οὕτω, καὶ μὴ δοκῶμεν καὶ νομίζωμεν

δρῶντες

"Salutem ipsum *in se* habere scito.
"Ubi vero injuriarum, faciendique quæ cuique libet datur licentia,
"Illam pro certo habeas urbem brevi tandem,
"Secundis latam ventis, tamen pessum ruituram.
"Sit ergo aliquis constitutus mihi timor utilis.
"Neque putemus, cum quæ jucunda nobis fuerunt fecerimus,
"Nos non vicissim, quæ tristia sunt, passuros esse.
"Subeunt hæc mutua vice. Ante hic erat
Fervide injuriosus, nunc ego vicissim magna de me sentio.
Tibique prædico hunc ne sepelias, ne

Hunc

δρῶντες ἐκεῖνα, ἃ ἂν ἡδώμεθα, τοῦ α, οὐ πρὸς τὸ ἡδώμεθα ὄν, ἀλλὰ πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην αἰτιατικήν, τὸ ἐκεῖνα· σὺν ἀντιτίσειν τε οὐκ ἀντιδοῦναι αὖθις καὶ πάλιν ἐκεῖνα ἃ ἂν λυπώμεθα· τοῦ αὐτοῦ κἀνταῦθα συμβαίνοντος πρὸς τὸ ἃ ὅπερ καὶ πρώην ἔφαμεν πρὸς τὸ ἕτερον.

SCHOL. INED. 1100. Ὅπου δ᾽] Ὅπου δὲ πάρεστιν ὑβρίζειν καὶ δρᾶν, ἅτινα ἕκαστος βούλεται, ταύτην τὴν πόλιν νόμιζε ἐν χρόνῳ ποτὲ, ἐξ οὐρίων ἀνέμων δραμοῦσαν, πεσεῖν εἰς βυθόν. ἀλλ᾽ ἑστάτω ἐμοὶ καὶ παντὶ, φόβος ἀναγκαῖος. *Bar.* 1103. Ἀλλ᾽ ἑστάτω καίριον] καὶ εἰ μὲν λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ σταθήτω, κανονίζεται οὕτως· ἵστημι, στήσω, ἕστακα, ἕστακας, ἕστακε. καὶ τὸ προστακτικὸν ἕστακε, ἑστακέτω. κατὰ δὲ συγκοπὴν ἑστάτω. διὸ καὶ δασύνεται. εἰ δὲ λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ ὑπαρχέτω, κανονίζεται οὕτως· εἰμὶ, τὸ ὑπάρχω. καὶ τὸ πληθυντικὸν, ἐσμέν· τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται· ὥσπερ τίθημι, τίθεμεν. τροπῇ δὲ τοῦ μεν εἰς θι, γίνεται τὸ προστακτικὸν ἔθι. καὶ ἐπενθέσει τοῦ σ, ἔσθι. ἀλλ᾽ ἡνίκα πλεονάσει σύμφωνον, τρέπεται τὸ ε εἰς ι. οἷον ἔπω, ἴσπω. ἔχω, ἴχω. οὕτω καὶ τὸ ἔθι ἐνήλλαξε τὸ ε εἰς ι, καὶ γέγονεν ἴσθι. τὸ τρίτον ἴστω. ἐφύλαξε δὲ τὸ ἔστω τὸ ὀφειλόμενον, καὶ κατ᾽ ἐπέκτασιν, ἑστάτω. διὸ καὶ χρὴ ψιλοῦσθαι. *Bar.* 1104. Δρῶντες] καὶ δρῶντες ὃ ἂν βουλώμεθα, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις αὐτὸ, ὁπότε ἂν λυπώμεθα καὶ βλαπτόμεθα. ἀλλὰ ταῦτα. ἢ καὶ ἄλλως. Καὶ ὁπόταν ἡδώμεθα, δρῶντες τὸ τῆς ἡδονῆς ἔργον, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις αὐτὸ, ὁπόταν λυπώμεθα, ἀλλὰ ταῦτα ἐπέρχονται καὶ βαδίζουσιν ἐνηλλαγμένως. ἢ, καὶ ὁπόταν ἡδώμεθα

δρῶντες

Μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.

Χο. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
Εἶτ' αὐτὸς ἐνθανοῦσιν ὑβριστὴς γένῃ.

Τευ. Οὐκ ἄν ποτ' ἄνδρες ἄνδρα θαυμάσαιμ' ἔτι,
Ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει.
Ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
Τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
Ἄγ' εἴπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν
Τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
Οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
Ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δέ σοι λεῶν
Ἔξεστ' ἀνάσσειν ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
Οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον

Ἀρχῆς

δρῶντες ἃ τινα θέλομεν, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις ὁπόταν λυπώμεθα, ἅ τινα μὴ θέλομεν δηλονότι. *Bar.*

1110. Μὴ γνώμας ὑποστήσας σοφὰς] ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα ἐγνωμολόγησε, διαφέρεται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον, ὑποσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα. 1112. Οὐκ ἄν ποτ' ἄνδρες] πρὸ τῆς ἀντιλογίας βούλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὢν, οὐκ ἄξια τῷ γένει ἐξαμαρτάνει. ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν. 1113. Μηδὲν ὢν γοναῖσιν] οὐδαμινὸς ὢν τῷ γένει, ἤτοι δυσγενὴς ὤν. 1114. Ὅθ' οἱ δοκοῦντες] ὅτε οἱ νομίζοντες. τὸ δὲ ὅπου ἁρμόζει μετὰ τοῦ καί 1116. Ἦ σὺ φῂς ἄγειν] κατ' ἐρώτησιν. 1119. Ποῦ σὺ στρατηγεῖς τοῦδε] πῶς τῷ Αἴαντι προστάττεις ὁ μὴ τὴν ὑπὸ Αἴαντι ἔχων ἐξουσίαν. 1121. Σπάρτης ἀνάσσων ἦλθες] ὁ λόγος ἅπας, ὅτι σύμμαχος ἦλθεν, οὐχ ὑπήκοος. 1122. Οὐδ' ἔσθ' ὅπου σοι] οὐδ' ἔστιν ὅπου σοι πλέον προὔκειτο τοῦτον κοσμεῖν. ἀλλ' οὐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1110. Μὴ γνώμας ὑποσ.] ἤγουν, μὴ διὰ κομψῶν καὶ πιθανῶν λόγων ἐπιχειρήσας δεῖξαι ὡς οὐκ ἔστι ταφῆς ἄξιος Αἴας·

οὐ

Hunc dum sepelire studes, ipse in sepulchrum cadas.
Cho. Menelae, *cave* ne cum sententias proposueris sapientes.
Deinde ipse in mortuos injurius fieres.
Teu. Non ego unquam amplius, o viri, mirabor hominem,
Qui, cum sit genere *prope* nullo natus, sic peccat;
Cum qui videntur generosa gente orti
Tantum in suis aberrant sermonibus.
Age dic ab initio rursus, num tu dicis te duxisse
Virum hunc Achivis huc socium assumptum?
Non ipse sua sponte huc enavigavit, ut sui juris?
Ubi tu hujus imperator factus es? ubi vero tibi militibus
His licet imperare, quibus hic dux fuit à domo usque?
Spartæ imperator venisti, non nobis imperans:
Neq; fuit ubi tibi hunc in ordinem redigere magis

Impe-

ου γάρ σοι πρέπει θανόντων ὑβριστὴν φανῆναι. ¶ Σχήμ. Τρικλ. 1112. Οὐκ ἄν ποτ'] προκατάστασις. 1116. Ἄγ' εἶπ'] ἀνασκευή. 1119. Ποῦ σὺ στρατ.] ἔνστασις.

SCHOL. INED. 1112. Οὐκ ἄν ποτ'] οὐκ ἄν ποτε, ὦ ἄνδρες, κατηγορήσαιμι τὸν ἄνδρα ἐκεῖνον, ὃς μηδὲν ὢν ἐν γένει καὶ πταίει. Bar. 1113. Ἁμαρτάνει] ἁμαρτάνω τὸ πταίω, καὶ ἐστὶν ἀμετάβατον. ἁμαρτάνω τὸ ἀποτυγχάνω, καὶ συντάσσεται γενικῇ. *Bar.* L. B. 1114. Ὅθ' οἱ δοκ.] Ὅτε ἐν τῇ τοιαύτῃ ἐννοίᾳ καὶ τὸ ὅπου ἁρμόζει μετὰ τοῦ καί. οἷον, ὅπου καὶ οἱ δοκοῦντες. L. B. 1116. Ἄγ' εἶπ' ἀπ'.] ἡ σύνταξις οὕτως ἐστί· ἄγε εἰπὲ ἀπ' ἀρχῆς αὖθις. ἆρα σὺ λαβὼν λέγεις ἄγειν τὸν ἄνδρα τὸν Αἴαντα δεῦρο σύμμαχον τοῖς Ἀχαιοῖς, οὐκ αὐτὸς ἐξέπλευσεν ὡς ἄρχων ἑαυτοῦ, ἤγουν ὡς αὐτεξούσιος. ἤ, ἆρα σὺ λαβὼν τὸν ἄνδρα τὸν Αἴαντα, λέγεις ἄγειν σύμμαχον τοῖς Ἀχαιοῖς δεῦρο, καὶ οὐκ αὐτὸς ὡς κρατῶν αὑτοῦ, ἐξέπλευσεν αὐτεξουσίως. *Bar.* 1119. Ποῦ σὺ στρατηγεῖς] τουτέστι, ἐν ποίῳ δὲ τόπῳ σὺ ἐξουσιάζεις τοῦδε τοῦ Αἴαντος. ποῦ δὲ ἔξεστι σοὶ ἀνάσσειν τῶν λαῶν, ὧν οὗτος ἡγεμόνευεν ἐκ τοῦ οἴκου. *Bar.* 1122. Οὐδ' ἔσθ'] οὐδὲ ἔστι τόπος, ὅπου σοι ἔκειτο θεσμὸς ἀρχῆς πλέον κοσμῆσαι τοῦτον τὸν Αἴαντα.

1123. Ἦ

Ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδέ σε.
Ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
Στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
Ἀλλ' ὧνπερ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν' ἔπη
Κόλαζ' ἐκείνους· τόνδε δ' εἴτε μὴ σὺ φῄς,
Εἴθ' ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
Θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
Οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
Γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ
Ἀλλ' οὕνεχ' ὅρκων οἷσιν ἦν ἐπώμοτος,
Σοῦ δ' οὐδέν. οὐ γὰρ ἠξίου τοὺς μηδένας.
Πρὸς ταῦτα, πλείους δεῦρο κήρυκας λαβὼν,
Καὶ τὸν στρατηγὸν, ἧκε· τοῦ δὲ σοῦ ψόφου
Οὐκ ἂν στραφείην ὡς ἂν ᾖς οἷός περ εἶ.

Με. Οὐκ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.

Τευ. " Τὰ σκληρὰ γάρ τοι κἂν ὑπέρδικ' ᾖ, δάκνει.

Με.

1123. Ἢ καὶ τῷδέ σε] γράφεται, ἢ καὶ τοῦδέ σοι. 1124. Ὕπαρχος ἄλλων] ἀντὶ τοῦ, καὶ αὐτὸς ἑτέροις ὑποτέταξο. 1126. Τὰ σέμν' ἔπη] διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ. 1127. Κόλαζε] ἤγουν δίδασκε. κολάζεται τὸ παιδεύεται. ἀφ' οὗ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα· καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα. 1128. Εἴθ' ἄτερος στρατηγὸς] τὸν περὶ τῆς ἐπιβουλῆς λόγον ἀποφεύγει, ὡς δυσανάτρεπτον. ἐν διατρίβει δὲ τῷ, ὅτι οὐ πάντων εἰσὶν ἄρχοντες. 1130. Οὐ γάρ τι τῆς σῆς] ἀντίκειται γάρ τις ὅτι διὰ τὴν Ἑλένην ἡ στρατεία ἐγένετο. ὅπερ οὖν ἔθλιβεν αὐτὸν, ἀνεσκεύασεν. 1131. Οἱ πόνου πολλοῦ πλέῳ] οἱ φιλοκίνδυνοι, οἱ πλήρεις τῶν πόνων. λέγει δὲ τοὺς μισθοφόρους οὐχ ὥσπερ μισθοφόρος τις, ἐπὶ μισθῷ ἐστρατεύσατο. 1132. Ἀλλ' οὕνεχ' ὅρκων] τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, ὁ Τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν συναγωνίσεσθαι τῷ γαμοῦντι αὐτὴν, καὶ στρατεύεσθαι, εἴτις ἁρπαγὴ γένοιτο περὶ τὴν Ἑλένην τῷ γήμαντι. 1133. Σοῦ δ' οὐδὲν] ὅλως γάρ σε οὐκ εἶχεν ἐν ἀριθμῷ· πεποιθὼς δὲ Ἀγαμέμνονι, ὑβρίζει Μενέλαον, συνά-

δις

Imperii concessit jus, quam huic te.
Subditus aliis *ipse* huc navigasti, non omnium
Imperator, ut Ajaci *quoq*; præesses unquam.
Sed quibus imperas, impera, & severis dictis
Eos castiga: hunc vero, sive tu vetes,
Sive ille alter dux, sepulchris ego
Indam rite, non os reveritus tuum.
Neutiquam enim tuam huc profectus est militatum
Ob conjugem, ut milites conductitii;
Sed ob juramenta, quibus erat obstrictus,
Tua vero causa nequaquam. non enim dignos censebat nullius pretii viros.
Præterea pluribus huc secum ductis præconibus,
Et duce, venit: tuum vero ob strepitum
Non me verterem, quamdiu sis qui quidem es.

Me. Non admodum talem in malis linguam probo.

Teu. " Dura enim, sint licet justissima, mordent.

Me.

δει γὰρ τῷ, Τεῦκρε φίλη κεφαλή. 1137. Οὐκ αὖ τοιαύτην γλῶσσαν] ὑποτίθησι τῷ Τεύκρῳ παύσασθαι τῆς κατηγορίας, καὶ μάλιστα ἐν τοιούτῳ καιρῷ ἐν ᾧ εὐεπιβούλευτός ἐστιν. ἢ τὸ ἐν κακοῖς, τοῦτο δηλοῖ, οὐκ ἐπιτρέψει ἡ συμφορὰ ἄλλο τι νῦν πράσσειν ἢ περὶ τὸ ἐνεστὸς κακὸν γίγνεσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1126. Καὶ τὰ σέμν' ἔπη] ὥσπερ φασὶν, ἐξέπληξά σε πληγὴν, οὕτω καὶ κολάζω σε κόλασιν. ἐπεὶ δὲ ἐνταῦθα ἡ κόλασις διὰ λόγων ἦν, διὰ τοῦτο τὰ σεμνὰ ἔπη κολάζειν ἐκείνους φησίν. ¶ Σχήμ. Τρικλ. 1124. Ὕπαρχος ἄλλων] ἀντιπαράστασις. 1130. Οὐ γὰρ] ἐνθύμημα. 1136. Οὐκ ἂν] τὸ σχῆμα δικανικόν. 1138. Τὰ σκληρὰ] γνωμικόν.

SCHOL. INED. 1133. Οὐ γὰρ ἠξ.] ἤγουν, οὐ γὰρ ἀξίους φροντίδος ἐνόμιζε τοὺς οὐδαμινοὺς, ἤγουν, σὲ τὸν Μενέλαον. *Bar.* 1134. Πρὸς ταῦτα] τουτέστιν, ἕνεκα τῶν ὅρκων, πολλοὺς ὑπηρέτας λαβὼν ὁ Αἴας, καὶ τὸν στρατηγὸν Ἀγαμέμνονα ἦλθεν ἐνταῦθα. *Bar.* 1136. Οὐκ ἂν στραφ'.] τουτέστι, οὐκ ἂν φροντίσαιμι ἕως ἂν ὑπάρχῃς ὁποῖος ὑπάρχεις. ἤγουν θρασὺς καὶ ὑπερήφανος, κἀντεῦθεν καταφρονητὴς καὶ ἄδικος. *Bar.* 1137. Οὐκ αὖ τοιαύτην] ἤγουν, οὐδαμῶς πάλιν τοιαύτην θρασεῖαν γλῶσσαν τὴν οὖσαν ἐν καιρῷ

Με. Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.
Τευ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
Με. Μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.
Τευ. Κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.
Με. Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς μέγαν τρέφει.
Τευ. “Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.
Με. Δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
Τευ. Κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.
Με. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
Τευ. Μὴ νῦν ἀτίμα θεούς, θεοῖς σεσωσμένος.
Με. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
Τευ. Εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
Με. Τούς γ' αὐτὸς αὑτοῦ πολεμίους. οὐ γὰρ καλόν.
Τευ. Ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
Με. Μισοῦντ' ἐμίσει. καὶ σὺ τοῦτ' ἠπίστασο.

Τευ.

δυστυχίας ἀγαπῶ καὶ ἀποδέχομαι. τὰ ἐλεγκτικὰ λόγια δή, κἂν λίαν δίκαια ὦσι, λυποῦσι, καὶ πλήττουσι. ἤγουν, οἱ σκληροὶ λόγοι καὶ μὴ ἱλαροί, κἂν ὦσι λίαν δίκαιοι, πλήττουσι καὶ λυποῦσιν. *Bar.*

1142. Κἂν ψιλὸς] τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας. μετὰ γὰρ τὴν ἀναίρεσιν ἐκτεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσε τὸ τραγικὸν πάθος. 1145. Κτείναντά με; κτείναντα; δεινόν] ὁ μὲν εἶπεν ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται. τὸ δὲ τοιοῦτο, κωμῳδίας μᾶλλον, οὐ τραγῳδίας. 1147. Τῷδε δ' οἴχομαι] ἤγουν ὅσον τὸ ἐπὶ τούτῳ. 1148. Ἀτίμα] ἤγουν ἀτίμους ποίει. ἀτιμάζω τὸ καταφρονῶ· ἀτιμῶ, τὸ ἄτιμον ποιῶ· καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸ παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ. 1151. Τούς γ' αὐτὸς] ἤγουν τοὺς πολεμίους αὐτὸς αὑτοῦ, ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ δηλονότι θάπτειν. 1152. Πολέμιος προὔστη ποτί;] ἤγουν προστάτης πολέμου ἐγένετο κατά σου. πολέμιος ὁ ἀπ' ἀλλοτρίας χώρας ἐχθρός· ἐχθρὸς δέ, ὁ ἀπὸ τῆς αὐτῆς.

ΣΧΟΛ.

Me. Sagittarius non humilia videtur ſentire.

Teu. Non enim illiberalem ego artem edidici.

Me. Oppido fores inſolens ſcutum ſi ſumeres.

Teu. Etiam nudus ſufficerem tibi vel armato.

Me. Lingua tua animos certe magnos alit.

Teu. "Cum juſtitia enim animos gerere magnos licet.

Me. Juſtumne eſt igitur eum feliciter agere, qui me occidit?

Teu. Occidit? rem ſane atrocem narras, ſiquidem vivis mortuus.

Me. Deus me ſervavit: quantum in illo erat, perii.

Teu. Ne igitur violes deos, à Diis ſervatus.

Me. Egóne eo contemptum deorum leges?

Teu. *Imo*, ſi mortuos ſepultura prohibes præſens.

Me. Hoſtes nimirum ipſe meos. neque enim decuit.

Te. Num tibi ergo hoſtium dux fuit Ajax unquam?

Me. Inſenſum ſibi oderat: teq; adeo hoc non latuit.

Teu.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1139. Ὁ τοξότης] διεβέβλητο ἡ τοξεία παρὰ τοῖς παλαιοῖς, ὡς μικροπρεπὴς τέχνη καὶ φαύλη, καὶ ἀξιόλογον οὐδὲν ἐργάσασθαι δυναμένη. 1152. Πρύσῃ ποτέ;] εἰκότως εἶπε τὸ πρύσῃ, ἐπειδὴ οἱ πολέμιοι ἔμπροσθεν ἐκείνων οἷς πολεμοῦσιν ἵστανται βάλλοντες. λῃστῶν γὰρ τὸ λάθρα, καὶ ὄπισθεν ἐπιτίθεσθαι. 1153. Μισοῦντ' ἐμίσει] ἴσως τισὶ τὸ μισοῦντα ἐμίσει, εὔηθες εἶναι δόξῃ· τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' εἰ μὲν ἄλλος τις τῶν ἰδιωτῶν πρὸς ἴσον τοῦτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν. ἃ γὰρ ἐποίει ἔπασχε. νῦν δὲ βασιλεὺς ἦν ὁ πρὸς ἐλάττονος τοῦτο πάσχων· διὸ καὶ βάρος παρεῖχεν. ¶ Σχήμ. Τρικλ. 1144. Ξὺν τῷ δικ.] γνωμικόν.

SCHOL. INED. 1139. Σμικρὰ φρονεῖν] ἀντὶ τοῦ, ταπεινοφρονεῖν. τὸ ἐναντίον, τὸ ὑψηλὰ φρονεῖν. καὶ μέγα φρονεῖν. καὶ ὑψηλοφρονεῖν. L. B. 1141. Ἀσπίδ'] ἤγουν εἰ συστάδην πολεμήσαις. συστάδην μάχονται, οἱ συμβάλλοντες τὴν μάχην ἐγγύθεν. ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι. ἀφ' οὗ ἀκροβολισμὸς, ὁ κοινῶς ἀντιμακροπόλεμος. L. B. Ἤγουν, ἐπειδὴ ἐκτήσας ἀσπίδα, βλέπω ὅτι ὑπερηφανεύῃ μεγάλως. *Bar*. 1144. Ἔξεστι φρονεῖν] ἤγουν, ἄδεια ἐστὶ φρονεῖν. φρονεῖν ἐστὶ μεγαλοφρονεῖν. L. B. 1150. Οὐκ ἐᾷς θάπτειν] ναὶ, οὐκ ἐῶ θάπτειν. ὥσπερ οὐδὲ σὺ αὐτὸς ἐᾷς τοὺς σαυτοῦ πολεμίους καὶ ἐχθροὺς θάπτεσθαι δηλονότι.

1154. Κλέ-

Με. Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.
Τευ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
Με. Μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.
Τευ. Κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.
Με. Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς μέγαν τρέφει.
Τευ. “ Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστι φρονεῖν.
Με. Δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
Τευ. Κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.
Με. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
Τευ. Μὴ νῦν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.
Με. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
Τευ. Εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
Με. Τούς γ' αὐτὸς αὑτοῦ πολεμίους. οὐ γὰρ καλόν.
Τευ. Ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
Με. Μισοῦντ' ἐμίσει. καὶ σὺ τοῦτ' ἠπίστασο.

Τευ.

δυστυχίας ἀγαπῶ καὶ ἀποδέχομαι. τὰ ἐλεγκτικὰ λόγια δή, κἂν λίαν δίκαια ὦσι, λυποῦσι, καὶ πλήττουσι. ἤγουν, οἱ σκληροὶ λόγοι καὶ μὴ ἱλαροί, κἂν ὦσι λίαν δίκαιοι, πλήττουσι καὶ λυποῦσιν. *Bar.*

1142. Κἂν ψιλὸς] τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας. μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπεκτεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσε τὸ τραγικὸν πάθος. 1145. Κτείναντά με; κτείναντα; δεινόν] ὁ μὲν εἶπεν ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται. τὸ δὲ τοιοῦτο, κωμῳδίας μᾶλλον, οὐ τραγῳδίας. 1147. Τῷδε δ' οἴχομαι] ἤγουν ὅσον τὸ ἐπὶ τούτῳ. 1148. Ἀτίμα] ἤγουν ἀτίμους ποίει. ἀτιμάζω τὸ καταφρονῶ· ἀτιμῶ, τὸ ἄτιμον ποιῶ· καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸν παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ. 1151. Τούς γ' αὐτὸς] ἤγουν τοὺς πολεμίους αὐτὸς αὑτοῦ, ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ δηλονότι θάπτειν. 1152. Πολέμιος προὔστη ποτέ;] ἤγουν προστάτης πολέμου ἐγένετο κατά σου. πολέμιος ὁ ἀπ' ἀλλοτρίας χώρας ἐχθρός· ἐχθρὸς δέ, ὁ ἀπὸ τῆς αὐτῆς.

ΣΧΟΛ.

Me. Sagittarius non humilia videtur ſentire.
Teu. Non enim illiberalem ego artem edidici.
Me. Oppido fores inſolens ſcutum ſi ſumeres.
Teu. Etiam nudus ſufficerem tibi vel armato.
Me. Lingua tua animos certe magnos alit.
Teu. “Cum juſtitia enim animos gerere magnos licet.
Me. Juſtumne eſt igitur eum feliciter agere, qui me occidit?
Teu. Occidit? rem ſane atrocem narras, ſiquidem vivis mortuus.
Me. Deus me ſervavit: quantum in illo erat, perii.
Teu. Ne igitur violes deos, à Diis ſervatus.
Me. Egone eo contemptum deorum leges?
Teu. *Imo*, ſi mortuos ſepultura prohibes præſens.
Me. Hoſtes nimirum ipſe meos. neque enim decuit.
Te. Num tibi ergo hoſtium dux fuit Ajax unquam?
Me. Infenſum ſibi oderat: teq; adeo hoc non latuit.

Teu.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1139. Ὁ τοξότης] διεβέβλητο ἡ τοξεία παρὰ τοῖς παλαιοῖς, ὡς μικροπρεπὴς τέχνη καὶ φαύλη, καὶ ἀξιόλογον οὐδὲν ἐργάσασθαι δυναμένη. 1152. Πρώσῃ ποτέ;] εἰκότως εἶπε τὸ πρώσῃ, ἐπειδὴ οἱ πολέμιοι ἔμπροσθεν ἐκείνων οἷς πολεμοῦσιν ἵστανται βάλλοντες. λῃστῶν γὰρ τὸ λάθρα καὶ ὄπισθεν ἐπιτίθεσθαι. 1153. Μισοῦντ' ἐμίσει] ἴσως τισὶ τὸ μισοῦντα ἐμίσει, εὔηθες εἶναι δόξῃ· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' εἰ μὲν ἄλλος τις τῶν ἰδιωτῶν πρὸς ἴσον τοῦτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν. ἃ γὰρ ἐποίει ἔπασχε. νῦν δὲ βασιλεὺς ἦν ὁ πρὸς ἐλάττονος τοῦτο πάσχων· διὸ καὶ βάρος παρεῖχεν. ¶ Σχήμ. Τρικλ. 1144. Σὺν τῷ δικ.] γνωμικόν.

SCHOL. INED. 1139. Σμικρὰ φρονεῖν] ἀντὶ τοῦ, ταπεινοφρονεῖν. τὸ ἐναντίον, τὸ ὑψηλὰ φρονεῖν. καὶ μέγα φρονεῖν. καὶ ὑψηλοφρονεῖν. L. B. 1141. Ἀσπίδ'] ἤγουν εἰ συστάδην πολεμήσαις. συστάδην μάχονται, οἱ συμβάλλοντες τὴν μάχην ἐγγύθεν. ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι. ἀφ' οὗ ἀκροβολισμὸς, ὁ κοινῶς ἀνεμοπόλεμος. L. B. Ἤγουν, ἐπειδὴ ἐκτήσας ἀσπίδα, βλέπω ὅτι ὑπερηφανεύῃ μεγάλως. *Bar.* 1144. Ἔξεστι φρονεῖν] ἤγουν, ἄδεια ἐστὶ φρονεῖν. φρονεῖν ἐστὶ μεγαλοφρονεῖν. L. B. 1150. Οὐκ ἐᾷς θάπτειν] ναὶ, οὐκ ἐῶ θάπτειν. ὥσπερ οὐδὲ σὺ αὐτὸς ἐᾷς τοὺς σαυτοῦ πολεμίους καὶ ἐχθροὺς θάπτεσθαι δηλονότι.

Τεῦ. Κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.
Με. Ἐν τοῖς δικασταῖς κοὐκ ἐμοὶ τόδ' ἐσφάλη.
Τεῦ. Πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
Με. Τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεται τινί.
Τεῦ. Οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
Με. Ἕν σοι φράσω, τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
Τεῦ. Σὺ δ' ἀντακούσῃ τοῦτον, ὡς τεθάψεται.
Με. Ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασύν,
Ναύταις ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν.
Ὧ φθέγμ' ἂν οὐκ εὗρες ἡνίκ' ἐν κακῷ
Χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυβεὶς,
Πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων·
Οὕτω δὲ καί σε καὶ τὸ σὸν λάβρον στόμα,
Σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
Χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.

Τεῦ.

1154. Κλέπτης] ἤγουν δόλιος κριτὴς αὐτοῦ ἐφωράθης. Ψηφοποιὸς] μιᾷ ψήφῳ φασὶ κατακριθῆναι τὸν Αἴαντα ὑπὸ Μενελάου. 1156. Πόλλ' ἂν κακῶς] ἤγουν πολλὰ ἂν κακὰ κακῶς κλέψειας σὺ, ἤγουν μετὰ κλοπῆς ἐργάσαιο λάθρα. 1158. Οὐ μᾶλλον, ὡς ἔοικεν] συνεκδοχικῶς λείπει τὸ λυπηθησόμεθα, ἵν' ᾖ, οὐ μᾶλλον λυπηθησόμεθα ἢ λυπήσομεν. τουτέστι, πλέον λυπήσομέν σε ἀντιβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σοῦ. ἢ οὕτως, οὐ μᾶλλον ἦλθέ σοι εἰς ἀνίαν τοῦτο τὸ ἔπος, ἢ λυπήσομεν. ἤτοι, πλέον λυπήσομεν ἔτι ἢ ἐλυπήσαμεν. 1159. Τόνδ' ἐστὶν οὐχὶ θαπτέον] ἤγουν οὐκ ἄξιόν ἐστι θάπτειν τόνδε. θαπτέον κοινῶς, θαπτέον ἐστὶν, Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, τὸ ποιητέον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης, χωρὶς προσθήκης τινὸς λεγόμενα, προστεθείκασιν αὐτοῖς τὸ ἐστὶν, ὃ συνυπηκούετο ἔξωθεν παρὰ τοῖς κοινοῖς· ἵνα καινότερον τὸν λόγον ἐργάσωνται. 1162. Ναύταις ἐφορμήσαντα] ὁρμήσαντα ἐπὶ τὸ πλεῖν. τὸ δὲ ὁρμήσαντα, ἀντὶ τοῦ παρορμήσαντα. 1165. Πατεῖν παρεῖχε] παρεῖχεν ἑαυτὸν δηλονότι τῷ θέλοντι ναυτίλων ὥστε καταπατεῖν. 1166. Οὕτω δὲ καί σε] οὕτω δὲ τάχα ἂν κατασ-

Teu. Calculos enim in eum clam ſubdere deprehenſus es.
Me. Ea culpa judicum, non mea, fuit.
Teu. Multa male tu furtim conficere poſſes mala.
Me. Hæc dicta alicui cedunt dolori.
Teu. Non magis, ut videtur, quam tibi cedent.
Me. Unum hoc tibi declarabo, non eſt hic ſepeliendus.
Teu. Tu vero hoc viciſſim audies, quod ſepelietur.
Me. Jam ante virum vidi ego lingua feroculum
Qui nautas adegit hyeme inſtante ut navigaret,
Cujus ne vocem quidem audires cum in turbine
Tempeſtatis tenebatur; ſed ſub veſte occultatus
Calcandum ultro ſe dabat quibuſlibet navitis.
Ita quidem & te & tuum petulans os
Parva è nubecula mox quædam erumpens ingens
Tempeſtas reſtinxerit, odioſoſque clamores.

Teu.

κατασβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ στόμα κατὰ τὴν πολλὴν βοὴν μεγάλη ζάλη ἀνέμων ἐκ νέφους σμικροῦ πνεύσασα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1160. Σὺ δ' ἀντακούσῃ] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦτο διά, ἀλλ' ἐστιν ὅμοιον τῷ, τοὐπίτριπτον κίναδος ἐξήρου με ὅπου. ἐκεῖ γὰρ τούτου ἐμνημονεύσαμεν. 1166. Καὶ τὸ σὸν λάβρον στόμα] τοῦτο καὶ τὴν πολλὴν βοὴν καθ' ὅλον καὶ μέρος λέγει. μέρος γὰρ τοῦ στόματος ἡ βοή. ἰστέον δὲ ὅτι ὅταν ἐκ ξηρᾶς ἀναθυμιάσεως νέφος συστῇ, ἄνεμον γεννᾷ.

SCHOL. INED. 1161. Ἤδη ποτ' εἶδον ἄνδρ'] ἤδη ποτ' εἶδον ἐγὼ ἄνδρα θρασὺν ἐν γλώσσῃ ὁρμήσαντα σὺν τοῖς ναύταις ἐπὶ τὸ πλεῖν κατὰ τὸν καιρὸν τοῦ χειμῶνος. ᾧ τινι, ἤγουν ἐν ᾧ ἀνδρὶ, οὐκ ἂν εὗρες φθέγμα, ἡνίκα εἴχετο καὶ κατελήφθη ἐν τῷ κακῷ τοῦ χειμῶνος, ἀλλὰ ὑπὸ τοῦ ἱματίου κρυβεὶς παρεῖχεν ἑαυτὸν πατεῖσθαι τῷ θέλοντι ναυτίλῳ. οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα, καὶ τὴν σὴν πολλὴν βοὴν, τάχα ἄν τις χειμὼν μέγας ἐκπνεύσας ἀπὸ σμικροῦ νέφους, κατασβέσειε. *Bar.* 1169. Κατασβέσειε] οὕτω δὲ τάχα ἂν, κατασβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ στόμα κατὰ τὴν πολλὴν βοὴν, μεγάλη ζάλη ἀνέμων ἐκ σμικροῦ νέφους πνεύσασα. L. B.

1169. Ἐγὼ

Τευ. Ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
Ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
Κἆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ,
Ὀργὴν θ' ὅμοιος, εἶπε τοιοῦτον λόγον,
Ὤνθρωπε μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς.
Εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
Τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
Ὁρῶ δέ τοι νιν' κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
Οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;
Με. Ἄπειμι. " καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις
" Λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα.
Τευ. Ἄφερπε νῦν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
Ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἔσται μεγάλης ἔριδός τις ἀγών.
Ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας

Σπεῦσον

1169. Ἐγὼ δὲ ἄνδρ'] καὶ οὗτος αἰνίττεται ὡς ἐφ' ἑτέρου τὸν λόγον ποιούμενος. 1170. Ἐν κακοῖς] ἡ ἐν ἀντὶ τοῦ ἐπί. 1173. Μὴ δρᾶ] μὴ ποίει. δρῶ σε κακῶς, μετὰ αἰτιατικῆς, καὶ δρῶ σε κακὸν, ὁμοίως. 1175. Ἄνολβον] ἀνόητον. ὄλβος γὰρ κυρίως ἡ φρόνησις. 1177. Ἠνιξάμην] εὐστόχως παρείκασα. 1180. Κἀμοὶ γὰρ αἴσχιστον κλύειν] οὐδαμῆ ὑπείκει ὁ Τεῦκρος. κἀμοὶ δὲ (φησὶν) αἴσχιστόν ἐστιν ἀνέχεσθαί σου φλυαροῦντος. 1183. Ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας] ὁ χορὸς ταχύνει τὸ ταφῆναι τὸ σῶμα πρὶν παραγενέσθαι τοὺς Ἀτρείδας. ταχύνας δὲ ἀντὶ τοῦ ταχύνας σπεῦσον, κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1175. Ἄνολβον] ἤγουν ἀνόητον. ὄλβος γὰρ καὶ εὐδαιμονία ἀνθρώπου, φρόνησις, ὥσπερ τοὐναντίον δυστυχία ἡ ἀφροσύνη. ¶ Σχήμ. Τρικλ. 1178. Καὶ γὰρ] γνωμικόν.

SCHOL. INED. 1169. Ἐγὼ δέ γ'] Ἡ σύνταξις οὕτως ἐστί. ἐγὼ δὲ

Teu. Ego quoque virum jam vidi ſtultitia plenum,
Qui ſocios malis obrutos injuria lædebat.
Dein ipſum intuitus quidam ſimilis mihi,
Iraque par, hiſce corripuit dictis.
O homo, ne mortuis maleféceris,
Si enim feceris, malo ipſe, ſcito, mactaberis.
Sic ſtolidum illum monebat alter qui aderat.
Video jam ſane illum, &, ut mihi videtur,
Non quiſquam alius eſt quam tu ipſe: num adhuc loquor ænigmata ?
Me. Abeo: " etenim turpe eſt, ſiquis audiat
" Eum verbis punientem, cui licet cogere.
Teu. Quin te jam ſubduc: nam & mihi turpiſſimum eſt audire
Hominem nugatorium inania verba effutientem.

ANAPÆSTI.

Cho. Inſtabit magnæ contentionis quoddam certamen.
Verum quantum potes, Teucer, properans

Feſtina

γε ἄνδρα ἑώρακα πεπληρωμένον μωρίας, ὃς διετίθετο ὑβριστικῶς ἐν ταῖς δυστυχίαις τῶν πέλας, ϗ εἶτα εἰσιδὼν αὐτὸν τὶς ὅμοιος ἐμοὶ, ϗ ὅμοιος κατὰ τὴν ὀργὴν, εἶπε τοιοῦτον λόγον· ὦ ἄνθρωπε, μὴ ποίει κακῶς τοὺς τεθνηκότας, εἰ γὰρ ποιήσεις, ἴσθι ὅτι ϗ σὺ αὐτὸς ἔσῃ πημαινόμενος μετὰ ταῦτα. Τοιαῦτα ἐνουθέτει ἄνολβον ἄνδρα παρών. ὁρῶ δὲ αὐτὸν τὸν πεπληρωμένον μωρίας, ϗ ὡς ἐμοὶ δοκεῖ, οὐδείς ποτε ἄλλος ἐστὶν, παρὰ σύ. ἆρα αἰνιγματωδῶς παρείκασα. *Bar.* 1170. Ὅς ἐν κακοῖς] ὃς ἐφύβριζε τοῖς κακοῖς, ἤγουν ταῖς δυστυχίαις τοῦ πλησίον. L. B. 1178 Ἄπειμι.] ἄπειμι. ϗ αἰσχρὸν ἐστὶν ἐμοὶ τῷ Μενελάῳ, εἰ πύθοιτο τὶς, ᾧ τινι Μενελάῳ πάρεστι βιάζεσθαι ϗ τύπτειν σὲ τὸν Τεῦκρον, πειρᾶσθαι ϗ δοκιμάζειν λόγοις παιδεύειν. ὅτι ὃν ἐξὸν βιάζεσθαι τοῦτον βούλομαι κολάζειν λογαῖς, τουτέστιν, αἰσχρόν ἐστιν, εἰ ἀκούσειε τις τοῦτο, ὅτι ᾧ ἀνδρὶ ἤγουν ἐμοὶ τῷ Μενελάῳ δηλονότι πάρεστι βιάζεσθαι ϗ τύπτειν σε τοῦτον. *Bar.* 1179. Λόγοις κολάζειν] τουτέστι, δοκιμάζειν, ϗ πειρᾶσθαι, ἢ παιδεύειν λόγοις. *Bar.* Βιάζεσθαι] ἰστέον, ὅτι τὸ βιάζομαι κοινὸν ῥῆμα ἐστὶν, οἷον βιάζομαι τὸν ἐχθρὸν, ϗ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. *Bar.*

1184. Κα.

Σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
Τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
Τάφον εὐρώεντα καθέξει.

ΙΑΜΒΟΙ.

Τεῦ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
Πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
Τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
Ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας,
Ἱκέτης ἔφαψαι πατρὸς ὅς σ' ἐγείνατο.
Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
Κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
Ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
Βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
Κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός,
Γένους ἅπαντος ῥίζαν ἐξημημένος,
Αὕτως ὅπως περ τόνδ' ἐγὼ τέμνω πλόκον.

Ἔχ'

1184. Κάπετον] τάφον. 1185. Ἀείμνηστον] τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον. 1186. Εὐρώεντα] σεσημμένον. σκωληκώδη. τὸ δὲ ὅλον, ἔνθα καθέξει οὗτος δηλονότι τὸν εὐρώεντα τάφον, τὸν ἀείμνηστον ἐσόμενον δηλονότι τοῖς βροτοῖς, ἤγουν ὑπὸ τῶν βροτῶν. 1187. Ἐς αὐτὸν καιρὸν οἵδε πλησίον] πάρεισιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός. οὐχ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτι νικῆσαι δυνατά. 1192. Προστρόπαιος] προστετραμμένος αὐτῷ. ἢ ἱκετεύων. 1194. Ἱκτήριον θησαυρόν] τὰς πολλὰς ἱκεσίας. ἤ, τὸ πλῆθος τῶν ἱκετευόντων. Ἄλλως. τὸ ἱκέσιον κλῆμα. λέγει δὲ τὰς τρίχας. ἱκτήριοι δὲ κλάδοι, δι' ὧν ποιοῦνται τὰς ἱκετηρίας· καὶ ἱκτήριος θησαυρός, ὁμοίως. 1197. Ἐξημημένος] ὑπ' ἐμοῦ ἀφῃρημένος. 1198. Αὕτως] ἀντὶ τοῦ ὡσαύτως. ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο (λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον, οὕτως

ποιῶ

Festina fossam aliquam cavam procurare
Huic, ubi mortalibus semper memorabile
Habeat sepulchrum squalidum.

IAMBI.

Teu. Et quidem in ipso tempore hi prope
Adsunt, viri hujus filiusque & uxor,
Sepulchrum ornaturi infelici mortuo.
O puer, huc accede, & adstans prope
Supplex tange patrem, qui te genuit;
Sede autem illi adversus, in manibus tenens
Comas meas, & hujus, & tuas tertii,
Qui supplicum thesaurus est. siquis vero ex exercitu
Vi te abstraxerit hoc a funere,
Malus male insepultus excidat sua patria,
Totius generis radice demessa,
Hoc, quo nunc, modo deseco capillum.

Tene

ποιῶ ὡς ἐκέλευσας· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν) οὕτως ἀπὸ τοῦ αὐτῆς, τὸ αὔτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα, λέγεται γὰρ τὸ αὔτως καὶ ἀντὶ τοῦ κατὰ τοῦτον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται) παρὰ τοῖς κοινοῖς, μετὰ τοῦ ὡς· καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1184. Σπεῦσον] τὸ σπεῦσον καὶ τὸ ταχύνας οὐκ ἐκ παραλλήλου ῥητέον· ἀλλ' οὕτω λέγε, σπεῦσον τάφον ἰδεῖν τινὰ τῷδε τῷ Αἴαντι, ταχύνας τοῦτο ὡς δύνασαι· τοῦτ' ἔστι, τὴν περὶ τούτου σπουδὴν ὡς ἔνι σπουδάσας· ὥστε τὸ ταχύνας σπουδή τις ἐστὶ τοῦ σπεῦσον. τὸ δὲ τινὰ, μὴ πρὸς τὸ κάπετον νοήσῃς, ἀλλὰ πρὸς τὸ ἄνθρωπον. 1192. Θάκει δὲ προστρόπ.] ἤγουν πλησιάζων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ναυτῶν τῶν πρὸς τῇ πρύμνῃ καθημένων. 1194. Ἱκτήριον θησαυρὸν] εἰκότως τοῦτό φησιν. ὥσπερ γὰρ τοῦτον ἔχει τὶς ἐπ' ὠφελείᾳ σφετέρᾳ, οὕτω καὶ διὰ ταύτης τῆς κόμης προξενίζειν αὐτοῖς εὐμένειαν παρ' Αἴαντος ἐλπίζων θησαυρὸν καλεῖ.

SCHOL. INED. 1192. Προστρόπαιος] παρακλητικός. *Bar.* ἤγουν, πρὸς αὐτὴν τετραμμένος. προστροπὴ δὲ τὸ μίασμα. L. B. 1194. Ἱκτήριον] ἱκτήριοι κλάδοι, δι' ὧν ποιοῦνται τὰς ἱκετηρίας. καὶ ἱκτήριος θησαυρὸς ὁμοίως. L. B. 1198. Πλόκον] ἰδοὺ σὺν τῷ λόγῳ, ἐκκόπτει ὁ Τεῦκρος καὶ τὸν πλόκαμον τῆς αὐτοῦ κεφαλῆς. *Bar.*

1201. Υ-

Ἔχ' αὐτὸν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
Κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχε.
Ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
Παρέστατ', ἀλλ' ἀρήγετ', ἔστ' ἐγὼ μόλω,
Τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ. α'

Χο. Τίς ἄρα νέατος ἐς πότε λήξει
Πολυπλάγκτων ἐτέων ἀριθμὸς,
Τὰν ἄπαυστόν γ' αἰὲν ἐμοὶ
Δορυσσόντων μόχθων
Ἄταν ἐπάγων
Ἀνὰ τὰν εὐρώδη Τροίαν,
Δύστανον ὄνειδος Ἑλλάνων;

ΑΝΤΙ-

1201. Ὑμεῖς τε] καλῶς ἐγείρει τοὺς στρατιώτας πρὸς βοήθειαν· τὸν δὲ παῖδα πρὸς οἶκτον προβάλλεται καθ' ἡλικίαν. 1203. Κἂν μηδεὶς ἐᾷ] ἀπονενοημένου (φασὶ) τὰ πάντα ἐπὶ αὐτῷ ἀνατιθέναι, ὅτι μόνος κρατήσει τῶν ἐχθρῶν βιαζομένων. ῥητέον οὖν ὅτι ὑπὸ φιλοστοργίας πάντα λέγει ὑπομένειν. 1204. Τίς ἄρα νέατος] ὁ χορὸς πάλιν καθ' ἑαυτὸν γενόμενος, ἐν ἀναλογισμῷ γίγνεται. καί φησι, τίς ἄρα ἡμῖν ὁ ἔσχατος τῶν ἐτῶν ἀριθμὸς τῶν πολυπλάγκτων; ἐς πότε λήξει ὁ ἀριθμὸς τῶν ἐτῶν ἐμοὶ πόνους παρασκευάζων; τουτέστι, τῶν κατὰ πόλεμον μόχθων, κατὰ τὴν σήπουσαν ἡμᾶς Τροίαν τῷ χρόνῳ. τὴν Τροίαν λέγω, τὸ δύστηνον ὄνειδος τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ χρονίαν διατριβήν. νέατος δὲ, ὁ ἔσχατος, καὶ νεάτη, ἡ ἐσχάτη· ἀφ' οὗ νήτη κατὰ κρᾶσιν, ἡ τελευταία χορδὴ τῆς μουσικῆς. 1205. Πολυπλάγκτων] καθ' ὃ πολλὰ πλανώμεθα ἐν ἀλλοδαπῇ. 1209. Εὐρώδη] σκοτεινὴν καὶ ἀειρώδη τοῖς Ἕλλησιν. ἢ σεσηπυῖαν, ἔνθα ἐχρονίσαμεν.

ΣΧΟΛ.

Tene hunc, O fili, & ſerva, neque te
Amoveat quis, ſed firmiter adhærens tene.
Voſque ne mulieres *facti* pro viris prope
Aſſiſtite, ſed opitulamini, donec ego rediero,
Sepulchrum huic cum curavero, quamvis nemo ſinat.

ANTISTROPHICA. STROPHE. I.

Cho. Quándo ergo tandem ultimus
Annorum deſinet numerus, quibus hic diu jactati fuimus,
Infinitas ſemper ſaltem mihi
Bellicorum laborum
Miſerias inducens
Latas vias habentem circa Trojam,
Infelix Græcorum dedecus?

ANTI-

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1205. Πολυπλάγκτων ἐτέων] ἤτοι τῶν πολλῶν χρόνων, οὓς ἐν Τροίᾳ πλανώμεθα, μηδὲν πράττοντες ὧν χάριν ἀφίγμεθα. 1210. Ὄνειδος Ἑλλάνων] εἰς ὄνειδος γὰρ τοῦτο πίπτει τοῖς Ἕλλησι τοσοῦτον χρόνον μηδὲν κατορθοῦσι. μὴ λάβῃς δὲ εἰς τὸ ὄνειδος ἔξωθεν εἰς· ἀλλ' εἰπὼν, ὅτι ἐν τῇ Τροίᾳ πολὺν χρόνον πλανώμεθα, ἐπιφέρει, δύστανον ὄνειδος Ἑλλάνων, λέγων τοσοῦτον χρόνον καθῆσθαι μάτην ἐνταῦθα, δύστανον ὄνειδος Ἑλλάνων. ἐρεῖ δὲ καὶ προϊὼν τὸ τοιοῦτον σχῆμα. λέγων γὰρ μετὰ τὴν στέρησιν ἃ πάσχει, εἶτ' ἐπάγει μνήματα Τροίας.

SCHOL. INED. 1204. Τίς ἄρα] ἡ σύνταξις ἐστί· Τίς ἄρα ἐστὶν ὁ νέατος καὶ ἔσχατος ἀριθμὸς τῶν ἐτῶν τῶν πολυπλανήτων; ἕως πότε λήξει καὶ παύσεται ὁ ἀριθμὸς τῶν ἐτῶν, ὁ ἐπάγων τὴν ἄπαυστον ἄτην, καὶ βλάβην ἐμοὶ ἀεὶ τῶν πολεμικῶν μόχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν, διὰ τὸ ἄθλιον ὄνειδος τῶν Ἑλλήνων; ἤγουν, διὰ τὴν Ἑλένην. ἤγουν ἄριστον. ἆρα τίς ἐστιν ὁ νέατος, ἀριθμὸς τῶν πολυπλάγκτων ἐτῶν, ὁ ἐπάγων ἐμοὶ αἰὲν τὴν ἄπαυστον ἄτην τῶν δορυσσόντων μόχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν. διὰ τὸ δύστηνον ὄνειδος τῶν Ἑλλήνων. ἕως πότε λήξει; *Bar.*

ΑΝΤΙΣΤΡΟΦΗ. α΄.

Ὄφελε πρότερον αἰθέρα δῦναι
Μέγαν, ἢ τὸν πολύκοινον ᾅδαν
Κεῖνος ἀνὴρ, ὃς στυγερῶν
Ἔδειξ' ὅπλων Ἕλλα-
σι κοινὸν ἄρην.
Ὦ πόνοι πρόγονοι πόνων·
Κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

ΣΤΡΟΦΗ. β΄.

Κεῖνος οὔτε στεφάνων,
Οὔτε βαθειᾶν κυλίκων
Νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
Οὔτε γλυκὺν αὐλῶν ὄτοβον,

Δύσμο-

1211. Ὤφελε πρότερον] ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα. ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τὸ ἀδικεῖν. τὸ δὲ ὤφελεν, ἀπὸ τοῦ ὀφείλω ὤφειλον, ἐκβολῇ τοῦ ι, ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω μεγάλου. τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. λέγεται καὶ μετὰ τοῦ οὐκ, οἷον, οὐκ ὤφελον. καὶ μετὰ τοῦ ὡς, καὶ τοῦ μή· ἢ τοῦ οὐκ προτασσομένου τοῦ ὡς. οἷον, ὡς μὴ ὤφελον. ἢ, οὐκ ὤφελον· οἷον, ἐπεὶ ἐγένετο τόδε, ὡς οὐκ ὤφελεν. γενέσθαι δηλονότι. συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. καὶ, ἐπεὶ παραγενόμενον, ὡς μὴ ὤφελον. παραγενέσθαι δηλονότι. ἀφ' οὗ ὤφελες ἐπὶ δευτέρου, καὶ ὤφελε ἐπὶ τρίτου, λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν. ὤφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ, καὶ τάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου, λέγεται τοῦτο ἐνίοτε μετὰ τοῦ ὡς, οἷον, ὡς ὤφελον γε καὶ σὲ δὴ κακοδοξίᾳ

νεκρῷ

ANTISTROPHE. 1.

O utinam prius æthera ſubiiſſet
Vaſtum, communemve omnibus orcum
Ille vir, qui triſtium
Monſtravit armorum Græcis
Communem uſum,
Unde heu! alii alios genuere labores.
Ille enim exitio dedit homines.

STROPHE. 2.

Ille neque coronarum
Neque profundorum cyathorum
Diſpenſavit mihi voluptatem fruendam,
Neque dulcem tibiarum cantum,

Infelix,

νεκρωμένον. 1216. Πρόγονοι πόνων] ἢ παλαιοί, ἢ ἀρχηγοὶ τῶν πόνων, οἷον, ἄσπερ εἰσαγωγὴ τῶν ὅπλων ἐγένετο. οὐ δεῖ δὲ ἀπειροκάλως ζητεῖν τίς πρῶτος ἐχρήσατο ὅπλοις. 1218. Ἐκεῖνος οὔτε στεφάνων] ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, οὐ στεφάνων, οὐ κύλικος, οὐκ αὐλῶν τέρψιν μοι ἔνειμεν, ἀλλὰ πᾶν (φησὶ) τερπνὸν ἐξέκοψεν. ἥδιστος δὲ ὢν ὁ Σοφοκλῆς, πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν. ὅθεν καὶ μέλιττα ἐκλήθη. 1221. Ὀτοβον] ὅμαδον ἦχον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1211. Ὄφελε πρότερον] τὸ ὄφελε διὰ τοῦ ο μικροῦ ὀφείλει γράφεσθαι, ἵν' ᾖ ὅμοιον τῷ κώλῳ τῆς στροφῆς. οἱ γὰρ ποιηταὶ πολλὰ τοιαῦτα συνεσταλμένως γράφουσι, διὰ τὸν τοῦ μέτρου κανόνα. ἔστι δὲ τοῦτο Ἰωνικῆς διαλέκτου. οὗτοι γὰρ χωρὶς αὐξήσεως τοὺς παρῳχημένους χρόνους ἐκφέρουσι. Αἰθέρα δῦναι] εἰς ἀφανισμὸν καὶ ὄλεθρον ἐλθεῖν. αἰθέρα δέ, ἢ τὸ πῦρ νόει, διὰ τὸ ἀφανιστικὸν εἶναι· ἢ τὸν ἀέρα, διὰ τὸ μὴ σύστασιν ἔχειν. 1221. Αὐλῶν ὄτοβον] τὸ ὄτοβος ἐνταῦθα δι' ἑνὸς τ ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. φύσει γὰρ ὄττοβος διὰ δύο τ γράφεται, ὥσπερ πάταγος, τὸ αὐτὸ σημαινόμενον, δι' ἑνός.

SCHOL. INED. 1211. Ὤφελε] ἀντὶ τοῦ ἔπρεπε, ἤγουν, ἐχρεώστει

ἐχρεώ-

Δύσμορος, οὔτ' ἐννυχίαν
Τέρψιν ἰαύειν ἐρώτων·
Ἐρώτων δ' ἀπέπαυσεν, ὤ μοι.
Κεῖμαι δ' ἀμέριμνος οὕτως,
Ἀεὶ πυκιναῖς δρόσοις
Τεγγόμενος κόμας λυγραῖς,
Μνήματα Τροίας.

ΑΝΤΙΣΤΡΟΦΗ. β'.

Πρὶν μὲν οὖν ἐννυχίου
Δείματος ἦν μοι προβολὰ
Καὶ βελέων θούριος Αἴας
Νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
Δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
Τέρψις ἐπέσται; γενοίμαν

Ἵν'

ἐχρεώσει ἐκεῖνος ὁ ἀνὴρ, ὃς ἔδειξε τοῖς Ἕλλησι τὸν κοινὸν ἄρην καὶ πόλεμον διὰ μισητῶν ὅπλων, δῦναι καὶ ὑπελθεῖν πρότερον εἰς τὸν αἰθέρα τὸν μέγαν, ἢ εἰς τὸν πάγκοινον ᾅδην. *Bar.*

1222. Ἐννυχίαν] τὴν ἐν παννυχίσιν· ἢ τὴν ἐν κοίτῃ. 1223. Ἐρώτων] τῶν ἐρωτικῶν. καὶ ἄκαιρον μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παροῦσιν, ὅμως δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προκείμενα. Ἰαύειν δὲ, διατελεῖν, ἀνύειν. 1225. Κεῖμαι δ' ἀμέριμνος] ἤτοι πολυμέριμνος. οἷον, μὴ σκοπῶν περὶ θυμηδίας μηδὲν, ἀλλ' ἐν δρόσοις τεγγόμενος, ἅπερ ἐστί μοι μνημόσυνα εἰς τὸν ἀεὶ χρόνον, ἡ ἐνταῦθα κακοπάθεια. ἢ, ἐν οὐδεμιᾷ μερίμνῃ ὢν ἢ μόνον περὶ πολέμων. 1229. Ἐννυχία] τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων. καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας. 1234. Γενοίμαν ἵν' ὑλᾶεν] ἔνθα ὑλώδης ἐξοχὴ τῆς θαλάττης. εὔχονται δὲ ἀπαλλαγῆναι ἐπὶ τὰ οἰκεῖα. γενοίμην οὖν (φασὶν) ἐπὶ τὴν ἄκραν πλάκα τοῦ Σουνίου. διὰ γὰρ Σουνίου ὁ πλοῦς τοῖς ἀπὸ Τροίας ἐπὶ Σαλαμῖνα. τὸ δὲ ὅλον, εἴθε γενοίμην ὅπου ἐστὶ τοῦ πόντου

τὶ

Infelix, nec inter nocturnas
Delicias amorum quiescere:
Amores autem sustulit, hei mihi.
Jaceo autem ita neglectus
Rore frequenti semper
Madens comas, infaustæ
Monimenta Trojæ.

ANTISTROPHE. 2.

Prius quidem nocturni
Timoris erat mihi propugnaculum
Et telorum strenuus Ajax;
Nunc vero ipse traditur inviso
Dæmoni. Quæ mihi, quænam posthac
Voluptas aderit? utinam essem,

Ubi

τὸ σύνδενδρον ἀκρωτήριον, τὸ κλυζόμενον ὑπὸ τῆς ἁλὸς, λέγει, ὑπὸ τὴν ἄκραν πλάκα, ἤγουν γῆν τοῦ Σουνίου. ἀντὶ τοῦ, ὑπὸ τὸ ἄκρον τῆς γῆς τοῦ Σουνίου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1225. Κεῖμαι δ' ἀμέριμνος] τοῦτο ἢ ἀντὶ τοῦ ἀπόγνωσιν ἔχων, καὶ μεριμνῶν καὶ ἐλπίζων περὶ τῆς ἐνταῦθα ἀπαλλαγῆς, ἀδήλου τοῦ μέλλοντος ὄντος ὅπη τὰ τῆς νίκης χωρήσει· ἄλλως τε καὶ τοῦ τοσούτου χρόνου εἰς ἀπορίαν ἐμβάλλοντος· ἢ ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν, καὶ μὴ ἔχων φροντίδα ὧν εἶπεν, στεφάνων φημὶ, καὶ κυλίκων, καὶ ἐρώτων. 1226. Ἀεὶ πυκναῖς δρόσοις] ἀντὶ τοῦ ὑετοῖς συνεχέσι βρεχόμενος. οὐ γὰρ ὁ πολὺς τοῦ στρατοπέδου λαὸς ἔχει σκηνὰς, φυλακὴν ὄμβρων καὶ τῶν ἄλλων ἐξ ἀέρος δυσχερῶν, ἀλλ' οἱ ἄρχοντες μόνοι. ἔστι δὲ καθ' ὅλον καὶ μέρος. τὸ μὲν τεγγόμενος, ὅλον· τὸ δὲ κόμης, μέρος. δέον δὲ λυγρῶς εἰπεῖν, πρὸς τὸ κόμας ἐπήνεγκεν. 1229. Πρὶν μὲν οὖν] οὕτω χρὴ γράφειν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. τὸ γὰρ καὶ πρὶν μὲν οὐκ ὀρθῶς ἔχει τοὺς χρόνους.

SCHOL. INED. 1222. Οὔτε ἐννυχίαν] ἤγουν, οὔτε νυκτερινὴν τέρψιν ἔδωκεν ἐμοὶ ἔχειν ἐν τῷ ἰαύειν. τουτέστιν, ἐν τῷ κοιμᾶσθαι. ἀλλὰ ἀπὸ τῶν ἐρώτων ἔπαυσεν ἐμὲ δηλονότι. *Bar.* 1229. Πρὶν μὲν οὖν]

καὶ

Ἵν' ὑλᾶεν ἔπεστι πόντῳ
Πρόβλημ' ἁλίκλυστον, ἄκραν
Ὑπὸ πλάκα Σουνίου,
Τὰς ἱερὰς ὅπως προσεί-
ποιμεν Ἀθάνας.

καὶ πρότερον μὲν ἦν ἐμοὶ ὁ θοῦρος Αἴας προβολὴ τοῦ νυκτερινοῦ δείματος καὶ τῶν βελέων, ἤγουν τοῦ πολέμου. L. B.



Ubi sylvosum imminet ponto
Promontorium undisonum, summo
Sub vertice Sunii,
Sacras ut alloquerer
Athenas.

1238. Τὰς ἱερὰς] φιλοτέχνως εὐφραίνει τοὺς ἀκροωμένους διὰ τῶν ἐπαίνων τῆς Ἀττικῆς.



ΤΕΥΚΡΟΣ, ΑΓΑΜΕΜΝΩΝ, ΟΔΥΣΣΕΥΣ, ΧΟΡΟΣ,

Ἴαμβοι.

Τευ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.
Δῆλος δέ μοι 'στὶ σκαιὸν ἐκλύσων στόμα.
Αγα. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
Τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν;
Σέ τοι τὸν ἐκ τῆς αἰχμαλώτιδος λέγω.
Ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
Ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
Ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ,
Κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
Ἡμᾶς Ἀχαιῶν, οὔτε σοῦ, διωμόσω,

Ἀλλ'

1240. Καὶ μὴν ἰδὼν] Τεῦκρος ἀκηκοὼς ἥκειν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπουδῆς. 1242. Σκαιὸν στόμα] σκαιοὺς λόγους, ἤγουν κακούς. σκαιὸν γὰρ καὶ τὸ κακὸν, καὶ τὸ ἀπαίδευτον, καὶ τὸ ἀριστερόν. 1244. Τλῆναι] τολμῆσαι. Ἀνοιμωκτεὶ] χωρὶς οἰμωγῆς, ἀτιμωρητεί. Χανεῖν] εἰπεῖν. 1245. Αἰχμαλώτιδος] τῆς Ἡσιόνης. 1247. Κἀπ' ἄκρων] ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν. 1248. Ὅτ' οὐδὲν ὢν] οὐδὲν μὲν ὢν, διὰ τὴν δυσγένειαν· τοῦ μηδὲν δὲ, τοῦ Αἴαντος τελευτήσαντος. 1250. Διωμόσω] γράφεται καὶ διωρίσω.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1240. Ἔσπευσα τὸν στρατηλάτην] ἐσπούδασα ἐλθεῖν ἐνταῦθα παρὰ τὸν Αἴαντα, καὶ ἀφῆκα τὴν τοῦ τάφου διορυγὴν, πρὸς τοῦτο γάρ ἐστι τὸ, καὶ μὴν, ἔμφασιν ἔχον, ὥσπερ ἂν εἴτις αὐτὸν

ἤρετο

TEUCER, AGAMEMNON,

ULYSSES, CHORUS.

Iambi.

Teu. ATQUI properabam, conspicatus ducem
Agamemnonem ad nos huc ruentem:
Nec enim dubium est quin improbum sit soluturus os.
Aga. Tene acerba dicta renunciant mihi
Audere contra nos impune adeo profundere?
Te quidem dico ex captiva *natum.*
Certe si matre satus esses generosa,
Quam magnifica jactares? summisque digitulis incederes?
Quando cum sis ipse homo nihili, pro eo qui nihil est, obnixe nos oppugnasti,
Et neque exercitus, neque navium duces venisse
Nos Achivorum, neque tuos, dejerasti:

Sed

ἤρετο, τί οὕτω πάρει ταχέως; ¶ Σχήμ. Τρικλ. 1240. Καὶ μὴν] τίνα Τεῦκρος πρὸς τὸν υἱὸν Αἴαντα ἔφη. 1243. Σὲ δὴ τὰ] προτάσεις. ἔστι δὲ καὶ ἐνταῦθα Ἀγαμέμνονος ἄφιξις διὰ νεοπαθοῦντος κατὰ τοῦ Τεύκρου. 1246. Ἦ πυ τραφ.] κατασκευή.

SCHOL. INED. 1240. Καὶ μὴν] Ὥσπερ ἂν εἴτις ἤρετο τὸν Τεῦκρον, τί οὕτω πάρει ταχέως, ἀποκρίνεται, λέγων· Καὶ μὴν ἰδὼν τὸν στρατηλάτην Ἀγαμέμνονα ὁρμώμενον δεῦρο ἐν ἡμῖν, ἔσπευσα, καὶ ἦλθον, καταλιπὼν δηλονότι τὴν διορυγὴν τοῦ τάφου· ἐκλύσων δὲ αὐτὸς ὁ Ἀγαμέμνων τὸ σκαιὸν αὐτοῦ στόμα κατ' ἐμοῦ δῆλος ἐστὶν ἐμοὶ, ὅτι αὐτός ἐστι, καὶ οὐκ ἄλλος δηλονότι. *Bar.* Καὶ μὴν ἰδὼν τὸν στρατηλάτην Ἀγαμέμνονα τόνδε καθ' ἡμῶν δεῦρο ὁρμώμενον, ἐτάχυνα. L. B. 1243. Σὲ δὴ] σὲ δὴ ἀγγέλλουσιν ἐμοὶ, τολμῆσαι εἰπεῖν καθ' ἡμῶν οὕτως ἀνοιμωκτεὶ τὰ χαλεπὰ ῥήματα. L. B. 1248. Ὅτ' οὐδὲν ὢν] ἤγουν, ὅτε οὐδαμινὸς ὢν, ὡς συγγενὴς τοῦ τεθνηκότος ἀντιτάξω. *Bar.*

Ἀλλ᾽ αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
Ταῦτ᾽ οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
Ποίου κέκραγας ἀνδρὸς ὧδ᾽ ὑπέρφρονα;
Ποῦ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
Οὐκ ἆρ᾽ Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
Πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
Ἀγῶνας Ἀργείοισι κηρύξαι τότε,
Εἰ πανταχοῦ φανούμεθ᾽ ἐκ Τεύκρου κακοί.
Κοὐκ ἀρκέσει ποθ᾽ ὑμῖν οὐδ᾽ ἡσσημένοις
Εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·
Ἀλλ᾽ αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
Ἢ σὺν δόλῳ κεντήσεθ᾽ οἱ λελειμμένοι·
" Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
" Κατάστασις γένοιτ᾽ ἂν οὐδενὸς νόμου,
" Εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,

" Καὶ

1256. Πικροὺς ἔοιγμεν] πικροὺς ἀγῶνας ἐοίκαμεν κηρύξαι τοῖς Ἀργείοις τότε ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανούμεθα κακοὶ ἐκ Τεύκρου. ἐν μὲν τῷ ἔοιγμεν τρέπεται τὸ κ εἰς γ, ἀπὸ τοῦ ἐοίκαμεν. ἐν δὲ τῷ σύξαι, τὸ γ εἰς ξ, ἀπὸ τοῦ συγήσαι, ὅθεν τὸ σύξαι. 1260. Εἴκειν] οὐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμένοις. Πολλοῖσι] πιθανοῖς. 1261. Κακοῖς] δηλονότι λόγοις. Βαλεῖτε] ἀντὶ τοῦ βλασφημήσετε. 1262. Οἱ λελειμμένοι] οἱ ἡττηθέντες ἐν τῇ κρίσει. τοῦτο δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ Αἴαντος. 1264. Κατάστασις γένοιτ᾽ ἂν] γενναῖος ὁ λόγος, εἰ ὁ ἡττώμενος ἰδίᾳ δικαίᾳ παριστανόμενος, πάλιν μάχοιτο, καὶ οὐκ εἴξει τοῖς κεκριμένοις, οὐδέποτε κατάστασις ἔσται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1256. Πικροὺς ἔοιγμεν] εἴκω τὸ πρέπω, εἴξω, εἶχα, ὁ μέσος παρακείμενος οἶκα. καὶ προσθήκη τοῦ ε, ἔοικα, ἐοίκαμεν, καὶ κατὰ συγκοπὴν ἔοικμεν, καὶ τροπῇ τοῦ κ εἰς τὸ μέσον γ, ἔοιγμεν. ¶ Σχήμα. Τρικλ. 1252. Ταῦτ᾽ οὐκ] βάσις. 1253. Ποίου κέκραγ.] ἔνστασις. 1256. Πικροὺς ἔοιγμ.] ἐνθύμημα, καὶ ἐργασία ἀπὸ τοῦ πράγματος. 1263. Ἐκ τῶνδε] γνωμικόν.

SCHOL.

Sed ipse dux suus, ut ais, Ajax enavigavit.
Nonne hæc à servis audire ingens est dedecus?
Propter qualem autem virum adeo superba vociferatus es?
Ubi progressum? vel ubi stantem, quo non & ego?
Nulline ergo Achivis sunt viri, præter hunc?
Acerba sane videmur de armis Achilleis
Proposuisse Achivis certamina tunc temporis,
Si nullibi non declarabimur à Teucro mali.
Nec unquam libuerit vobis, ne victis quidem,
Cedere in iis, quæ pluribus placuere judicibus:
Sed semper nos vel maledictis petetis,
Vel dolose nos pungetis, utcunque causa inferiores.
" His profecto moribus nullus unquam
" Ullius legis firmus erit status,
" Si, qui jure vicerint, repellemus,
" Et

SCHOL. INED. 1252. Ταῦτ' οὐκ] ἄλλως. ταῦτα οὐχὶ μεγάλα κακά εἰσιν, ὥστε παρὰ τῶν δούλων ἀκούειν; *Bar.* 1255. Οὐκ ἄρ'] ἄρα ἐδόξαμεν τοῖς Ἀργείοις κηρύξαι τότε πικροὺς ἀγῶνας, ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανούμεθα κακοὶ ἐκ τῶν λόγων τοῦ Τεύκρου. Τουτέστι, ἄρα ἐδόξαμεν τότε τοῖς Ἕλλησι ἀποφῆναι πικρὰς, ἤγουν ἀδίκους ἀποφάσεις ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ φανούμεθα ἤγουν ἐλεγχόμεθα πανταχοῦ κακοὶ, τουτέστιν ἄδικοι, ἐκ τῶν λόγων τοῦ Τεύκρου. *Bar.* 1256. Πικροὺς] ἀντὶ τοῦ, πικροποιοὺς, εἰς πικρίαν ἡμῶν. πικροὺς ἀγῶνας ἐοίκαμεν κηρύξαι τοῖς Ἀργείοις τότε, ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανοίμεθα κακοὶ ἐκ Τεύκρου. L. B. 1259. Κοὐκ ἀρκέσει] οὐκ ἀρκέσει ποτὲ ὑμῖν οὐδ' ἡττημένοις, εἴκειν καὶ στέρξειν ἐκεῖνα ἅτινα ἤρεσκον τοῖς πολλοῖς κριταῖς, ἀλλ' ἀεὶ ὑμεῖς οἱ λελειμμένοι, ἢ κακοῖς λόγοις βαλεῖτε ἡμᾶς, ἢ σὺν δόλῳ κεντήσετε; ἀποροῦσι τινὲς λέγοντες, τίς ἡ αἰτία ὅτι οὐκ εἶπεν, βάλλετε καὶ κεντεῖτε, ἀλλὰ βαλεῖτε καὶ κεντήσετε. καὶ λέγομεν, ὅτι τὸ ἀεὶ μὲν εἶπε, διὰ τὴν ἄπαυστον ἐπιβουλὴν, διὰ δὲ τὸ μηδέπω δεδυνῆσθαι ἐκβαλεῖν τὴν ἐπιβουλὴν εἰς ἔργον, τὸ βαλεῖτε καὶ τὸ κεντήσετε εἴρηκεν. *Bar.* 1256. Ἔοιγμεν] ἤγουν, ὑποτάσσεται, ἐν μὲν τῷ ἔοιγμεν τρέπεται τὸ κ εἰς γ ἀπὸ τοῦ ἐοίκαμεν. ἐν δὲ τῷ στύξω, τὸ γ εἰς κ. ἀπὸ τοῦ στυγήσω. ὅθεν τὸ στύξαι. L. B. 1264. Κατάστασις] ἤγουν, εὐταξία. εὐταξία δὲ νόμου, ἣν καὶ νόμος ποιεῖ. L. B. 1266. Τοὺς

Τεῦ. « Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
« Χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται·
Εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν πόνων
Αἴας ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
Τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί.
Ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐῤῥιμμένα.
Ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη·
Οὐ μνημονεύεις οὐκέτ' οὐδὲν, ἡνίκα
Ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
Ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
Ἐῤῥύσατ' ἐλθὼν μοῦνος· ἀμφὶ μὲν νεῶν
Ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
Πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
Πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;

Τίς

1283. Φεῦ, τοῦ θανόντος] περιπαθὴς ὁ λόγος, εἰς ἀχαριστίαν ἐννιῶν, ὅτι ταχεῖα διαῤῥεῖ ἡ χάρις τοῦ ἀποθανόντος. Ταχεῖά τις] τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, οἷον, τί τόδ' ἐστίν; ἄνθρωπος τυχὸν, ἢ ἵππος. τὸ δὲ τίς, ὑπόστασιν, καὶ πρόσωπον, οἷον, τίς ὅδε ἐστί; Σωκράτης τυχὸν ἢ Πλάτων. καὶ, τίς, πόθεν εἰς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, οἶδε μὲν ὅτι ἀνὴρ, πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα, ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον (οἷον τίς ὅδ' ἐστίν; ὁ ἡδὺς Λουκιανὸς) διὰ τοῦτο σὺν ὀνόματι μόνον κυρίῳ ὑποτάσσεται τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. οἷον, Λουκιανός τις ἐποίησε τόδε. καὶ, ὁ Λουκιανὸς, ἡδύς τις ἐστίν. ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως τοῦτο ἐπιῤῥηματικὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὕτη λέγεται διαῤῥεῖν. κατὰ ταυτὰ λέγεται καὶ τὸ ὅστις, καὶ τὸ ὁποῖός τις, ἐπὶ ἐπιθέτου, ὡς παρὰ Λουκιανῷ. τὸ δὲ ὅλον, οἱ δῆμοι οὐκ ἐξετάζοντες τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκὼς, εἴτε καλὸς δηλονότι, εἴτε τὸ ἐναντίον. ἅπερ ἐπιθετικῶς λέγεται. 1284. Προδοῦσα] ἀντὶ τοῦ προδεδομένη καταλαμβάνεται. 1285. Εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε, ὦ Αἴας, ὅδε ὁ ἀνὴρ οὐκ ἔτι

ἔχει

Teu. " Heu mortui quam velociter apud mortales
" Gratia effluit, & prodita deprehenditur!
Si tui ſaltem, O Ajax, hic vir ne parvos quidem ob labores
Adhuc retinet memoriam, pro quo tu ſæpe
Tuam objiciens animam laboraſti bello;
Sed perierunt jam cuncta hæc, abjecta & vilia.
O multa qui locutus es modo & inutilia dicta,
Nihilne amplius omnino meminiſti, quando
Intra vallum vos hic vir olim incluſos,
Jam penitus perditos, fuſoſque prælio,
Liberavit adventu ſolus ſuo, cum per navium
Summos jam nauticos foros
Ignis graſſaretur, jam nauticas ſcaphas
Hector inſiliret ferox, ſuperatis foſſis?

Quis

ἔχει μνήμην. 1286. Οὗ σὺ πολλάκις] οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνήμης, οὗ πολλάκις, ὦ Αἴας, προεκινδυνεύσας ἐν πολέμοις. παρὰ τὸ Ὁμηρικὸν, Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν. 1290. Οὐ μνημονεύεις] καλῶς, πρὸς τὸ, ποῦ βάντος, ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ; 1291. Ἑρκέων] λείπει ἐντός. Ἐγκεκλεισμένους] ἡ ἐν ἀντὶ τοῦ ἐντὸς, ἵν' ᾖ ἐντὸς κεκλεισμένους. 1292. Ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τοῦ πολέμου. τρόπαιον, ἡ νίκη· τροπὴ δὲ, ἡ ἧττα. τρόπαιον ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν διωκομένων. 1294. Ἄκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυτικοῖς ἐδωλίοις τῶν νεῶν, ἤγουν ὑποστρώμασι, σανιδώμασι, τοῦ πυρὸς ἤδη ἀναπτομένου καὶ ἀναφλεγομένου. 1296. Ἄρδην] αἴρω, τὸ ἀφανίζω καὶ τὸ ὑψῶ. ἀφ' οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ. ¶[Σχήμ. Τρικλ. 1283. Φεῦ τοῦ θαν.] γνωμικόν. ἔστι δὲ ἐνταῦθα καὶ προκατάστασις μετὰ σχετλιασμοῦ. 1289. Ὦ πολλὰ λε.] ἀντιπαράστασις καὶ ἀναφορὰ ὧν αὐτοῖς πεποίηκεν Αἴας.

SCHOL. INED. 1283. Θανόντος] ἡ χάρις τοῦ θανόντος, ἤγουν ἡ ὀφειλομένη τῷ τεθνηκότι, λίαν ταχεῖά τις διαρρεῖ καὶ διαφθείρεται ὑπὸ τῶν βροτῶν, καὶ γεγονυῖα προδιδομένη, ἀφανίζεται. *Bar.* 1289. Ὦ πολλὰ λέξας] ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸν Ἀγαμέμνονα· Ὦ σὺ Ἀγάμεμνον, ὁ λέξας ἄρτι πολλὰ ἔπη καὶ ἀνόητα. οὐ μνημονεύεις οὐκέτι οὐδὲν, ἡνίκα ποτὲ μόνος αὐτὸς ὁ Αἴας ἐλθὼν ἐρρύσατο ὑμᾶς ἐγκεκλεισμένους ἐντὸς τῶν ἑρκέων ὄντας ἤδη τὸ μηδὲν ἐν τῇ δυνάμει τοῦ δορός. καὶ πάλιν ἡνίκα τοῦ πυρὸς καίοντος

" Καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
" Ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
" Οὐδ' εὐρυνῶτοι φῶτες ἀσφαλέστατοι.
" Ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ.
" Μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
" Μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
Καί σοι προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
Ὁρῶ τάχ', εἰ μὴ νοῦν καταχτήσῃ τινά.
Ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
Θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
Οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
Ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
Ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
Σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ.
Τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
Χο. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
Τούτου γὰρ οὐδὲν σφῶιν ἔχω λῷον φράσαι.

Τε.

1266. Τοὺς ὄπισθεν] τοὺς ἡττωμένους. ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν δρομέων. 1267. Ἀλλ' εἰρκτέον] δεῖ (φησὶν) ἐμμένειν τοῖς ἅπαξ κεκριμένοις. ἐπειδὴ δὲ αὐτοῦ τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν διαβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ. 1269. Ἀλλ' οἱ φρονοῦντες εὖ] ἤγουν οἱ φρόνιμοι κρατοῦσιν. καὶ πρὸς τοῦτο ἐπάγεται τό, μέγας δὲ βοῦς ἂν τὴν πλευρὰν, καὶ τὸ ἑξῆς. 1271. Ὀρθὸς] ἤγουν, κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται, οὐ παρακλίνων. 1272. Τοῦτ' ἐγὼ τὸ φάρμακον] τὸ τῆς μάστιγος. 1274. Ἀλλ' ἤδη σκιᾶς] ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τουτέστιν ἀποπεσάτου. 1280. Τὴν βάρβαρον γὰρ γλῶσσαν] σκώπτει αὐτὸν εἰς τὴν μητέρα. 1281. Εἴθ' ὑμῖν] ἐπεὶ οὐ συμβουλεύει διὰ τὸ Ἀγαμέμνονος ἀξίωμα ὁ χορὸς, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκε.

ΣΧΟΛ

" Et posteriores in priorem locum ducemus:
" Sed prohibenda hæc sunt. non enim vasti
" Latisque humeris viri sunt tutissimi,
" Sed qui recta sapiunt ubique vincunt.
" Et magnus-latera bos ab exiguo tamen
" Flagello rectus in via incedit;
Tibique adventare hoc remedium
Video protinus, nisi ad sanam redieris mentem.
Qui virum propter mortuum, & jam umbram
Fidenter convitiaris, & libero blateras ore.
Non modeste te geres? non, cum noris qualis es genere,
Alium quempiam huc adduces virum liberum,
Qui nobis pro te, quæ habes dicenda, dicat?
Te enim dicente discere non ego valeam;
Barbaram enim linguam non intelligo.
Cho. Utinam utrique vestrum foret mens sanior.
Hac enim nihil, vobis quod optem, habeo melius.

Teu,

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1267. Ἀλλ' εἰρκλέον] σημείωσαι ὅτι τὸ εἴργω ἀμφιβολίαν ἔχει τοῦ πνεύματος. δύναται γὰρ καὶ ψιλοῦσθαι καὶ δασύνεσθαι.

SCHOL. INED. 1272. Τοῦ τ' ἐγὼ τὸ φάρμακον] ἀντὶ τοῦ, ταύτην τὴν θεραπείαν. τουτέστι, τὴν τοῦ κέντρου. L. B. Φάρμακον, τὸ θεραπευτικὸν, ἀπὸ τοῦ φέρειν ἄκος. ἤγουν, θεραπείαν. Φάρμακον θανάσιμον, ἀπὸ τοῦ φέρειν ἄχος. ἤγουν, λύπην. κατὰ τροπὴν τοῦ χ, εἰς κ. *Bar*. 1277. Ἄλλον ἐλεύθερον] νόμος ἦν, τοὺς ἐξ ἑταίρας καὶ δεδουλωμένης τεχθέντας μὴ δημηγορεῖν. L. B. 1282. Τούτου γὰρ] Τουτέστι, τούτου γὰρ τοῦ λόγου, οὐκ ἔχω ἄλλο λῷον φράσαι ὑμῖν. *Bar*. Ἤγουν, οὐδὲν ἄλλο βέλτιον ἔχω φράσαι σφῷν, ἤγουν ὑμῖν. L. B.

1283. Φεῦ,

Τά. " Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
" Χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται·
Εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν πόνων
Αἴας ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
Τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί.
Ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
Ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη·
Οὐ μνημονεύεις οὐκέτ' οὐδὲν, ἡνίκα
Ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
Ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
Ἐρρύσατ' ἐλθὼν μοῦνος· ἀμφὶ μὲν νεῶν
Ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
Πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
Πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;

Τίς

1283. Φεῦ, τοῦ θανόντος] περιπαθὴς ὁ λόγος, εἰς ἀχαριστίαν ἐνεχθῶν, ὅτι ταχεῖα διαρρεῖ ἡ χάρις τοῦ ἀποθανόντος. Ταχεῖά τις] τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, οἷον, τί τό δ' ἐστίν; ἄνθρωπος τυχὸν, ἢ ἵππος. τὸ δὲ τίς, ὑπόστασιν, καὶ πρόσωπον, οἷον, τίς ὅδε ἐστί; Σωκράτης τυχὸν ἢ Πλάτων. καὶ, τίς, πόθεν εἷς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, οἶδε μὲν ὅτι ἀνὴρ, πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα, ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον (οἷον τίς ὅδ' ἐστίν; ὁ ἡδὺς Λουκιανὸς) διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ ὑποτάσσεται τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. οἷον, Λουκιανός τις ἐποίησε τόδε. ἤγουν, ὁ Λουκιανὸς, ἡδύς τις ἐστίν. ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως τοῦτο ἐπιρρηματικὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὕτη λέγεται διαρρεῖν. κατὰ ταυτὰ λέγεται καὶ τὸ ὅστις, καὶ τὸ ὁποῖός τις, ἐπὶ ἐπιθέτου, ὡς παρὰ Λουκιανῷ. τὸ δὲ ὅλον, οἱ δῆμοι οὐκ ἐξετάζοντες τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκὼς, εἴτε καλὸς δηλονότι, εἴτε τὸ ἐναντίον. ἅπερ ἐπιθετικῶς λέγεται. 1284. Προδοῦσα] ἀντὶ τοῦ προδεδομένη καταλαμβάνεται. 1285. Εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε, ὦ Αἴας, ὅδε ὁ ἀνὴρ οὐκ ἔτι

ἔχει

Teu. " Heu mortui quam velociter apud mortales
" Gratia effluit, & prodita deprehenditur!
Si tui saltem, O Ajax, hic vir ne parvos quidem ob labores
Adhuc retinet memoriam, pro quo tu sæpe
Tuam objiciens animam laborasti bello;
Sed perierunt jam cuncta hæc, abjecta & vilia.
O multa qui locutus es modo & inutilia dicta,
Nihilne amplius omnino meminisiti, quando
Intra vallum vos hic vir olim inclusos,
Jam penitus perditos, fusosque prælio,
Liberavit adventu solus suo, cum per navium
Summos jam nauticos foros
Ignis grassaretur, jam nauticas scaphas
Hector insiliret ferox, superatis fossis?

Quis

ἔχει μνήμην. 1286. Οὗ σὺ πολλάκις] οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνήμης, οὗ πολλάκις, ὦ Αἴας, προεκινδυνεύσας ἐν πολέμοις. παρὰ τὸ Ὁμηρικὸν, Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν. 1290. Οὐ μνημονεύεις] καλῶς, πρὸς τὸ, ποῦ βάντος, ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ; 1291. Ἑρκέων] λείπει ἐντός. Ἐγκεκλεισμένους] ἢ ἐν ἀντὶ τοῦ ἐντὸς, ἵν' ᾖ ἐντὸς κεκλεισμένους. 1292. Ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τοῦ πολέμου. τρόπαιον, ἡ νίκη· τροπὴ δὲ, ἡ ἧττα. τρόπαιον ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν διωκομένων. 1294. Ἄκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυτικοῖς ἑδωλίοις τῶν νεῶν, ἤγουν ὑποστρώμασι, σανιδώμασι, τοῦ πυρὸς ἤδη ἀναπτομένου καὶ ἀναφλεγομένου. 1296. Ἄρδην] αἴρω, τὸ ἀφανίζω καὶ τὸ ὑψῶ. ἀφ' οὗ ἄρδην, ἀντὶ τοῦ μετεώρως καὶ κούφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοῦ. ¶[Σχήμ. Τρικλ. 1283. Φεῦ τοῦ θαν.] γνωμικόν. ἐστι δὲ ἐνταῦθα καὶ προκατάστασις μετὰ σχετλιασμοῦ. 1289. Ὦ πολλὰ λε.] ἀντιπαράστασις καὶ ἀναφορὰ ἃν αὐτοῖς πεποίηκεν Αἴας.

SCHOL. INED. 1283. Θανόντος] ἡ χάρις τοῦ θανόντος, ἤγουν ἡ ὀφειλομένη τῷ τεθνηκότι, λίαν ταχεῖά τις διαρρεῖ καὶ διαφθείρεται ὑπὸ τῶν βροτῶν, καὶ γεγονυῖα προδιδομένη, ἀφανίζεται. *Bar.* 1289. Ὦ πολλὰ λέξας] ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸν Ἀγαμέμνονα· Ὦ σὺ Ἀγάμεμνον, ὁ λέξας ἄρτι πολλὰ ἔπη καὶ ἀνόητα. οὐ μνημονεύεις οὐκέτι οὐδὲν, ἡνίκα ποτὲ μόνος αὐτὸς ὁ Αἴας ἐλθὼν ἐρρύσατο ὑμᾶς ἐγκεκλεισμένους ἐντὸς τῶν ἑρκέων ὄντας ἤδη τὸ μηδὲν ἐν τῇ δυνάμει τοῦ δορός. καὶ πάλιν ἡνίκα τοῦ πυρὸς καίοντος

ἐπὶ

Τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
Ὃν οὐδαμοῦ φὴς οὐδὲ συμβῆναι ποδί;
Ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
Χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
Λαχών τε κἀκέλευστος ἦλθεν ἀντίος,
Οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
Ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
Κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;

Ὅδ'

ἐπὶ τοῖς ἄκροις καθίσμασι τοῖς ναυτικοῖς τῶν νηῶν, καὶ τοῦ Ἕκτορος πηδῶντος ἄρδην ὑπὲρ τὴν τάφρον εἰς τὰ ναυτικὰ σκάφη, τίς ταῦτα ἀπεῖρξεν; οὐκ ἦν οὗτος ὁ δράσας ταῦτα, ὃν λέγεις ἐν οὐδενὶ τόπῳ συνελθεῖν ἐν ὁδῷ μετὰ σοῦ μηδέποτε; *Bar.*

1298. Οὐδὲ συμβῆναι ποδί] πρὸς τὸ ποῦ βάντος, ἢ ποῦ στάντος. συμβῆναι δὲ ἀντὶ τοῦ συνελθεῖν, ἐνταῦθα. βαίνω γὰρ τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι, ἀφ' οὗ βάσις ἀνδριάντος. 1301. Λαχών τε] ἤγουν κληρωθείς, ἀφ' οὗ λαχμὸς ὁ κλῆρος, ποιητικῶς. Κἀκέλευστος ἦλθεν ἐναντίος] αὐτοκέλευστον φησὶν αὐτὸν ἀναστῆναι εἰς τὸ μονομάχιον, ἐπαινῶν αὐτὸν οὐχ Ὁμηρικῶς. 1302. Οὐ δραπέτην τὸν κλῆρον] οὐδὲν πανουργήσας περὶ τὸν κλῆρον, ἀλλ' εὐξάμενος λαχεῖν αὐτόν. τοῦτο δὲ ἱστορεῖται περὶ Κρεσφόντου καὶ τῶν Ἀριστοδήμου παίδων. ὅτι πανοῦργος ὁ Κρεσφόντης βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ Μεσσήνης. οὐκ ἄτοπον δὲ τὸν Τεῦκρον λοιδορεῖν Ἀγαμέμνονι ὑπὸ τοῦ πάθους προσαγόμενον. καὶ γὰρ Ἀχιλλεὺς οὐκ ἀπέχεται λοιδορίας, καὶ οὐκ ὢν ἐν τοιούτῳ πάθει. Κλῆρον] κλῆρος δι' οὗ ἐκληροῦντο, καὶ κλῆρος αὐτὸ τὸ κληροῦσθαι. 1303. Ἀρούρας] ἤγουν ἠροτριασμένης γῆς. χέρσος γὰρ, ἡ ξηρὰ γῆ. ἄρουρα, ἡ ἠροτριασμένη· λήϊον, τὸ ἔχον ἀστάχυας χωράφιον. Ἀλλ' ὃς εὐλόφου] ὅστις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἔμελλε πρῶτος κουφιεῖν τὸ ἅλμα τοῦ Αἴαντος. 1304. Ἅλμα] πήδημα. ἅλμα, πάλμα, καὶ πήδημα, ταὐτόν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1298. Ὃν οὐδαμοῦ φὴς] φασὶν ἐνταῦθα ὡς συκοφαντεῖ Τεῦκρος Ἀγαμέμνονα. οὐ γὰρ ἐν τοῖς πρόσθεν αὐτοῦ λόγοις πρὸς τοῦτον τοιοῦτόν τι εὕρηται. ἀλλ' ἔφη, ποῦ βάντος, ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ; φαμὲν οὖν ὅτι ὥσπερ κατὰ τὰς ἔριδας συμβαίνει προφέρειν ἔσθ' ὅτε τὸν ἀντίδικον ἀπολογούμενον τῷ προηγουμένῳ τῆς δίκης τοιαῦτα, ἃ οὐδέποτ' αὐτὸς ἐφθέγξατο, οὕτω κἀνταῦθα. 1302. Οὐ δραπέτην τὸν κλῆρον] ἤγουν οὐκ ἐντὸς τοῦ κράνους ἔνθεν κἀκεῖσε στρεφόμενον, καὶ μὴ ἰόντα πρὸς ἔξοδον· ἢ δραπέτην, ἀντὶ τοῦ ἐντὸς μένοντα, καὶ τὴν ἔξοδον φεύγοντα. τὸ δὲ καθεὶς, ἀντὶ τοῦ καταβαλών.

Quis hæc propulſavit? non hic fuit, qui fecit hæc,
Quem nuſquam dicis congreſſum eſſe pede?
Hic ergo vobis hæc contulit beneficia?
Et cum rurſus ipſe ſolus Hectori ſoli
Sortituſque & injuſſus ibat obviam adverſarius,
Non fugitiva ſorte in medium immiſſa,
Udæ nimirum telluris gleba, ſed quæ criſtata
E galea prima ſaltum erat levem factura?

Hic

SCHOL. INED. 1299. Ἄρ' ἔνδικα] ἤγουν, δικαίως ταῦτα ἔδρασεν, ἤγουν ἔπαθεν, ὑμῖν τοῖς ἀχαρίστοις, ἤγουν ὑφ' ὑμῶν τῶν ἀχαρίστων. *Bar.* 1300. Χὤτ'] ἤγουν, οὐ μνημονεύεις, καὶ ὅτε αὖθις αὐτὸς λαχών τε, ἤγουν κληρωθεὶς, καὶ ἀκέλευστος, τουτέστιν αὐθόρμητος, οὐ περιμένων τὸν προστάξαντα, ἦλθε μόνος ἀντίος, ἤτοι ἐναντίος μόνος τοῦ Ἕκτορος, ἀντὶ τοῦ ἐμονομάχησε μετὰ τοῦ Ἕκτορος. L. B. Ἤγουν, καὶ ὅτε αὖθις αὐτὸς ὁ Αἴας κληρωθεὶς μόνος ἀντίος ἐλθεῖν δηλονότι κατὰ μόνου τοῦ Ἕκτορος. ἀκέλευστος δὲ αὐτοθέλητος ἦλθεν. *Bar.* 1302. Οὐ δραπέτην τὸν κληρὸν] τουτέστιν, οὐδὲν πανουργήσας περὶ τὸν κλῆρον. οὐδὲ καταβαλὼν αὐτὸν τὸν κλῆρον, λέγω τὸν βῶλον τῆς ὑγρᾶς ἀρούρας ἐπιτήδειον εἰς τὸ διαφυγεῖν μὴ πολεμῆσαι. οὐ καταβαλὼν τὸν κλῆρον λέγω δὴ τὸν βῶλον τῆς ὑγρᾶς ἀρούρας δραπέτην εἰς τὸ μέσον τῆς κυνῆς τῆς εὐλόφου, ἵνα δηλονότι φύγῃ μονομαχῆσαι τῷ Ἕκτορι. ἀλλ' αὐτὸς ὁ κλῆρος ἔμελλε πρῶτος κουφιεῖν καὶ πηδῆσαι ἅλμα καὶ πήδημα ἀπὸ τῆς εὐλόφου κυνῆς. ἤγουν, κατέβαλεν αὐτὸν τὸν κλῆρον εἰς τὸ μέσον τῆς κυνῆς οὕτως ἐπιτηδείως, ὥστε κουφιεῖν ἅλμα ἀπὸ τῆς κυνῆς, πρῶτα τῶν ἄλλων κλήρων. τοσαύτην ἐπιθυμίαν ἔχων μονομαχῆσαι τῷ Ἕκτορι. ἰστέον ὅτι διὰ πηλοῦ ἔπλαττον στρογγυλοειδῆ τινα, καὶ ἐξήραινον αὐτὰ ἡλιακῷ καύματι, καὶ ἐποίουν τοὺς κλήρους δι' αὐτῶν· Ἑλένου τοῦ μάντεως υἱοῦ τοῦ Πριάμου συμβουλεύσαντος, ὁ Ἕκτωρ προκαλεῖται εἰς μονομαχίαν. τὸν ἄριστον τῶν Ἑλλήνων, πολλῶν δὲ προαιρουμένων, Αἴας ὁ Τελαμώνιος ἐκληρώθη. ἕκαστος γὰρ τῶν προαιρουμένων ἐσημειώσατο κλῆρον, καὶ ἔβαλλον ἐν τῇ περικεφαλαίᾳ τοῦ Ἀγαμέμνονος. εἶτα εἶπον τῷ Νέστορι σεῖσαι τὴν περικεφαλαίαν. καὶ οὗτινος ὁ κλῆρος πεσεῖται πρῶτος, αὐτὸς ἐλθέτω μονομαχῆσαι τῷ Ἕκτορι. σείσαντος δὲ τοῦ Νέστορος, ἔπεσεν ὁ κλῆρος τοῦ Αἴαντος πρῶτος. Διότι οὐ κατέβαλεν αὐτὸν ὁ Αἴας ἐς μέσον τῆς περικεφαλαίας, ἵνα φύγῃ μὴ μονομαχῆσαι τῷ Ἕκτορι, ἀλλὰ μᾶλλον τέθεικεν οὕτως ἐπιτήδειον, ὅπως πρῶτος ἐκπηδήσῃ τῆς περικεφαλαίας. *Bar.* 1303. Ὑγρᾶς ἀρούρας] ἡ ξηρὰ γῆ, ἄρουρα ἡ ἠροτριασμένη. λήϊον τὸ καὶ ἔχον ἀστάχυας χωράφιον. Εὐλόφου] ἐκ τῆς κυνῆς τῆς λόφον ἐχούσης. ὥσπερ εὔκαρπον θέρος, ἀντὶ τοῦ καρποφόρον. L. B.

Ὅδ' ἦν ὁ προςάσσων ταῦτα· σὺν δ' ἐγὼ παρὼν
Ὁ δοῦλος οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
Δύστηνε, ποῦ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
Οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ,
Ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ' ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον,
Προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
Αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ
Λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φυτεύσας πατὴρ,
Ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
Τοιοῦτος ὢν, τοιῷδ' ὀνειδίζεις σποράν;
Ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς,
Ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας, ἐμὴν

Ἴσχει

1307. Ποῦ βλέπων] ἤγουν, ἀφορῶν. ἤγουν, εἰς ποίαν εὐγένειαν σὺ ἀφορῶν ταῦτα λέγεις; 1308. Οὐκ οἶσθα, σοῦ πατρὸς] εἰκότως καὶ αὐτὸς τὰ ὅμοια ἐξεῦρεν. ἐν δὲ εἰπὼν Ἀγαμέμνων, μυρία ἤκουσεν. 1312. Αὐτὸς δὲ μητρὸς] οὐχ' ὡς βαρβάρων τῶν Κρητῶν ὄντων, ὀνειδίζει αὐτῷ τὰ περὶ τῆς μητρὸς, ἀλλ' οἷον, ἐξ ἀλλοφύλων γέγονέ σοι τὸ γένος. 1313. Ἐπακτὸν] ἐπείσακτον, ἤγουν μοιχόν. ἐφῆκεν δὲ, ἀντὶ τοῦ ἐπέταξε δοθῆναι. Φυτεύσας] γεννήσας. φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐνθεῖναι, ψιλὸν τὸ φυ καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητικῶς, ὃ παράγεται ἀπὸ τοῦ φίτυς ὁ πατὴρ, ι, καὶ μακρόν. ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δ' ὕστερον ἡμαρτήθη. 1314. Ἐφῆκεν ἐλλοῖς] ἤτοι ἀφώνοις. ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποποντῶσαι. ὁ δὲ οὐκ ἐποίησεν, ἀλλ' ἐνεγύησε Πλεισθένει. 1317. Ὅστις στρατοῦ] ἤγουν τὰς τῆς πρώτης μοίρας ἀνδραγαθίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1309. Πέλοπα βάρβαρον] Τάνταλος ὁ τοῦ Πέλοπος πατὴρ ἐκ Φρυγίας ἦν. πολέμου δ' ἐπιπεσόντος αὐτῷ, μετὰ χρημάτων πέμπει Πέλοπα πρὸς Ἑλλάδα κινδυνεύοντα τῆς ἀρχῆς ἐκπεσεῖν. 1311. Οἰκείων τέκν.] μὴ λάβῃς εἰς τὸ τέκνων ἔξωθεν τὸ ἀπὸ, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε, προθέντα τῷ ἀδελφῷ δεῖπνον τῶν οἰκείων τέκνων. τὸ γὰρ δεῖπνον, οὐκ ἄλλου τινὸς ἦν δεῖπνον (ἰχθύος λέγω, ἢ ὄρνιθος) ἀλλὰ τῶν οἰκείων

τέκνων,

Hic erat qui ea fecit, simulque ego præsens
Ille servus, ille è barbara matre natus.
Miser, quo tandem respiciens & hæc audes fari?
Num ignoras, qui tui patris olim extitit pater,
Antiquum illum Pelopa, barbarum Phrygem?
Num & Atrea, qui te porro genuit, impiissimum?
Qui fratri apposuit suos in cœnam filios?
Tu autem ipse matre natus eras Cressa, quam
Ubi cum adultero deprehendisset pater tuus,
In mare immisit mutis piscibus laniandum.
Talis cum sis, mihi tali exprobras genus?
Qui patre quidem sum Telamone natus,
Qui ob egregiam præ cæteris virtutem in bello, meam

Tenet

τέκνων. ὥσπερ γὰρ φαμὲν, βρῶσιν ἰχθύος, καὶ πόσιν οἴνου, οὕτω καὶ δεῖπνον τέκνων, ἢ ἄλλων, ὧν ἂν εἴποις. 1313. Ὁ φυτύσας πατὴρ] φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐντιθέναι, υ ψιλὸν τὸ φυ, καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητικῶς· ὃ παράγεται ἀπὸ τοῦ φίτυς, ὁ πατὴρ, ι καὶ μακρόν. ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δ' ὕστερον ἡμαρτύθη. ¶ Σχήμ. Τρικλ. 1308. Οὐκ οἶσθα] ἐργασία μετ' ἐπιπλήξεως καὶ εὐτελείας. 1316. Ὃς ἐκ πατρ.] αὔξησις, καὶ σεμνολογία τοῦ καθ' αὐτόν.

SCHOL. INED. 1306. Ὁ δοῦλος] ὅρα ἐνταῦθα μωρολογίαν τῆς ἀτίμου λοιδορίας, ἵνα καὶ μᾶλλον ἐπισκώψῃ τὸν Ἀγαμέμνονα, καὶ δικαίως ἐλέγξῃ. *Bar.* 1308. Οὐκ οἶσθα] ἤγουν οὐ γινώσκεις Πέλοπα ὄντα ἀρχαῖον βάρβαρον Φρύγα, ὃς τοῦ σοῦ πατρὸς προὐπῆρξε πατὴρ, Ἀτρέα δὲ ὄντα δηλονότι δυσσεβέστατον, προθέντα τῷ ἀδελφῷ δεῖπνον ἀπὸ τῶν σαρκῶν τῶν ἰδίων τέκνων, ὃς ἔσπειρε σέ. L. B. 1312. Αὐτὸς δὲ μητρὸς] σὺ δὲ αὐτὸς ὁ Ἀγαμέμνων, ἐξέφυς ἐκ τῆς Κρήσσης μητρὸς τῆς Ἀερόπης. ἐφ' ᾗ ὁ φυτεύσας σε πατὴρ λαβὼν μοιχὸν ἄνδρα, ἐφῆκεν αὐτὴν τοῖς ἀφώνοις ἰχθύσι διαφθοράν. *Bar.* 1315. Τοιοῦτος ὢν] σὺ ὢν τοιοῦτος, ὀνειδίζεις ἐμοὶ τῷ ὄντι τοιῷδε τὴν σποράν, ὅστις ἐγὼ εἰμὶ γεγὼς, ἀντὶ τοῦ ἐγεννήθην, ἐκ πατρὸς τοῦ Τελαμῶνος. ὅστις Τελαμὼν ἀριστεύσας ἔλαβε τὰ πρῶτα τοῦ στρατοῦ. λέγω δὲ ἔλαβε σύνευνον τὴν ἐμὴν μητέρα τὴν Ἡσιόνην. ἥτις ἦν μὲν βασίλεια τῇ φύσει, θυγάτηρ δηλονότι τοῦ Λαομέδοντος. ὁ γόνος δὲ τῆς Ἀλκμήνης ὁ Ἡρακλῆς, ἔδωκεν ἐκείνῳ μοι τῷ πατρὶ ἐκείνην τὴν μητέρα μου ἔκκριτον δώρημα. ἄρα γεννηθεὶς ἐγὼ οὕτως ἄριστος ἐκ δύο ἀρίστων, ἤγουν ἐκ Τελαμῶνος

καὶ

Ἴσχει ξυνεύνον μητέρ᾽· ἣ φύσει μὲν ἦν
Βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
Δώρημα κείνῳ δῶκεν Ἀλκμήνης τόκος.
Ἆρ᾽ ὧδ᾽ ἄριστος ἐξ ἀριστέοιν δυοῖν
Βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
Οὓς νῦν σὺ τοιοῖσδ᾽ ἐν πόνοισι κειμένους
Ὠθεῖς ἀθάπτους, οὐδ᾽ ἐπαισχύνῃ λέγων;
Εὖ νῦν τόδ᾽ ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
Βαλεῖτε χ᾽ ἡμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
Ἐπεὶ καλόν μοι τοῦδ᾽ ὑπερπονουμένῳ
Θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὑπερ
Γυναικός, ἢ τοῦ σοῦ θ᾽ ὁμαίμονος λέγω.

Πρὸς

καὶ Ἡσιόνης, ταχ᾽ ἂν αἰσχύνοιμι τοὺς ἰδίους τοῦ γένους, τουτέστιν τὸν Αἴαντα, ὅντινα Αἴαντα κείμενον ἐν πόνοις τοιοῖσδε ἀποδιώκεις ἄθαπτον, οὐδὲ ἐπαισχύνῃ λέγων τοιοῦτον λόγον δηλονότι. *Bar.*

1318. Ἡ φύσει μὲν ἦν βασίλεια] ἀνασκευάζει τὰ εἰρημένα περὶ δυσγενείας αὐτοῦ, φύσει δὲ ἐπὶ γένους λέγεται κυρίως· ἐπὶ δὲ τῶν υἱοθετουμένων τὸ θέσει· καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ᾽ ἕτερα. 1322 Τοὺς πρὸς αἵματος] τοὺς συγγενεῖς. ἴσως δεικτικῶς εἰς τὸν Αἴαντα, ἵν᾽ ᾖ συμπαθὴς ἡ λέξις. 1324. Ὠθεῖς ἀθάπτους] πιθανῶς πάλιν εἰσέβαλεν εἰς τὸν λόγον τοῦ δράματος. 1326. Βαλεῖτε χ᾽ ἡμᾶς] ἑαυτὸν λέγει, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην. Τρεῖς ὁμοῦ συγκειμένους] ἐμὲ, καὶ σαυτὸν, καὶ Μενέλαον, οὐ γὰρ λέγει περὶ τῆς Τεκμήσσης καὶ τοῦ παιδός. ἐλεεινὸς γὰρ ὁ λόγος, οὐκ ἀπειλητικός. 1227. Ἐπεὶ καλόν μοι] καλόν μοι ἐστὶν προδήλως ὑπὲρ τοῦδε πονουμένῳ μᾶλλον ἀποθανεῖν, ἢ ὑπὲρ τῆς σῆς γυναικὸς, λέγω τοῦ σοῦ ἀδελφοῦ. 1328. Θανεῖν προδήλως] ἀντὶ τοῦ λαμπρῶς, ἀνδρείως. λέγει δὲ ὅτι ταῦτα ἃ βούλεσθε περὶ τὸν Αἴαντα δρᾶσαι, πρότερον οὐ δράσετε πρὶν ἢ κἀμὲ ἀποκλεῖσαι. ἀποθνήσκων μέντοι, σὺν ὑμῖν ἀπολοῦμαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1326. Βαλεῖτε χ᾽ ἡμᾶς] τινὲς ὑποστίζοντες εἰς τὸ τρεῖς, τὸ ἡμᾶς ἀντὶ τοῦ ἐμὲ τὸν Τεῦκρον, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην, φασίν. ὅπερ οὐκ ἔχει λόγον. τίς γὰρ χρεία ἐνταῦθα Τεκμήσ-

σης

Tenet tori sociam matrem, quæ stirpe quidem erat
Regina, Laomedontis *filia:* eximium vero ipsam
Ut munus, illi dedit Alcmenæ proles.
An hoc modo optimus, ex duobus optimis
Genitus, dedecorarem mihi sanguine junctos,
Quos tu nunc in his ærumnis jacentes
Insepultos projicis, nec erubescis istud dicere?
At hoc jam certo scias velim, si quo hunc abjicietis,
Abjicietis & nos tres simul sitos.
Quoniam honestius est mihi pro illo viriliter pugnanti
Mori præclare, quam tua pro conjuge,
Imo vel fratris istius tui.

Pro-

σης καὶ Εὐρυσάκους· οὓς αὐτὸς ἐάσας, πρὸς τὸ ἡμᾶς ὑποστίζων, οὕτω λέγει, Βαλεῖτε καὶ ἡμᾶς, ἀντὶ τοῦ ἐμὲ καὶ σεαυτὸν, συγκειμένους ὁμοῦ τῷ Αἴαντι τρεῖς· ἑκὼν γὰρ οὐχ ὑφήσω· ἀλλ' εἰ καὶ αὐτὸς θανοῦμαι, σὲ πρῶτον ἀναιρεῖν βουλήσομαι. ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ καὶ αὐτὸς λέγων, ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ, καὶ τὰ ἑξῆς. ἰστέον δὲ ὅτι οὐ κακῶς εἶπε τὸ τῆς σῆς ὑπὲρ γυναικὸς, ὡς οἴονταί τινες, ἀλλ' ὥσπερ φαμὲν πρὸς τὰς ἔριδας τινὸς, ἄλλου πρὸς τινὰ τοὺς λόγους ποιούμενοι, προσάπτοντες καὶ αὐτῷ τὰ ἐκείνου, ἔστω καὶ τοῦτο. ἄλλως τε οὐκ ἀπέχρησεν αὐτῷ μόνον εἰπεῖν τῆς σῆς ὑπὲρ γυναικὸς, ἀλλὰ καὶ ἢ τοῦ σοῦ θ' ὁμαίμονος λέγων. ¶ Σχήμ. Τρικλ. 1325. Εὖ νῦν τόδ'] ἐνθύμημα μετ' ἀπειλῆς.

SCHOL. INED. 1326. Τρεῖς] ἑαυτὸν λέγει, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην. L. B. Ἰστέον ὅτι τινες ὑποστίζοντες εἰς τὸ τρεῖς, τὸ ἡμᾶς λαμβάνουσιν ἀντὶ τοῦ, τὸν Τεῦκρον, καὶ τὸν Εὐρυσάκην, καὶ τὴν Τέκμησσαν. ὅπερ οὐκ ἔχει λόγον. ἀλλὰ πρὸς τὸ ἡμᾶς ὑποστίζων, οὕτω λέγει, βαλεῖτε καὶ ἡμᾶς, ἤγουν ἐμὲ, καὶ σὲ τὸν Ἀγαμέμνονα, καὶ σὲ τὸν Μενέλαον. τρεῖς ὁμοῦ συγκειμένους τῷ Αἴαντι. ἑκὼν γὰρ οὐχ ὑφήσω, ἀλλ' εἰ καὶ ἐγὼ θανοῦμαι. ἀλλὰ καὶ ὑμᾶς βουλήσομαι πρῶτον ἀναιρέσθαι. ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ καὶ αὐτὸς λέγων, ἐπεὶ καλόν μοι τοῦδε ὕπερ πονουμένῳ, καὶ τὰ ἑξῆς. *Bar.* 1325. Εὖ νῦν τόδ'] καλῶς, νῦν τοῦτο γίνωσκε, ὅτι εἰ τοῦτον τὸν Αἴαντα βαλεῖτε που, βαλεῖτε καὶ ἡμᾶς. ἤγουν ἐμὲ, καὶ σαυτὸν, καὶ τὸν Μενέλαον, τρεῖς ὁμοῦ συγκειμένους. ἐπεὶ καλόν μοί ἐστι θανεῖν μᾶλλον προδήλως πονουμένῳ ὑπὲρ τοῦ Αἴαντος, ἢ θανεῖν ὑπὲρ τῆς σῆς γυναικὸς, ὦ Μενέλαε, ἢ ὑπὲρ τοῦ σοῦ ἀδελφοῦ. *Bar.* L. B.

1331. Βου-

Πρὸς ταῦθ', ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν·
Ὡς εἴ με πημανεῖς τι, βουλήσῃ ποτὲ
Καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς.
Χο. Ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθὼς,
Εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
Οδ. Τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
Βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.
Αγα. Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους
Ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
Οδ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
Κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.
Αγα. Ἤκουσεν αἰσχρά. δρῶν γὰρ ἦν τοιαῦτά με.
Οδ. Τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν;

Αθα.

1331. Βουλήσῃ ποτὲ] μεταμεληθήσῃ ὡς προπετὴς εἰς ἐμὲ ὁρμηθεὶς, καὶ μὴ ἀποδειλιάσας παρὰ τὸ ἄρχειν. ἀμυνοῦμαι γάρ σε. ἢ βουλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ' ἐμοῦ ἀναιρεθῆναι. δειλὸς δὲ καὶ θρασὺς, ἐναντία κακὰ ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν· μέσον δὲ τούτων ἡ ἀνδρεία. 1332. Ἢ 'ν ἐμοὶ] ἤγουν ἢ ἐν ἐμοί. 1333. Ἄναξ Ὀδυσσεῦ] ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰσήνεγκε τὸν Ὀδυσσέα, τοιοῦτον γὰρ ὁ καιρὸς ἐζήτει. εἰσῆκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος. καιρὸν δὲ ἀντὶ τοῦ εἰς καιρὸν, ἤγουν ἐγκαίρως. 1334. Ξυνάψων] αὐτοὺς δηλονότι εἰς τὴν μάχην, ἀλλὰ διαλύσων καὶ χωρίσων. Πάρει] ἀντὶ τοῦ παρεγένου. 1336. Βοὴν Ἀτρειδῶν] οὐκ ἐξ ἑτοίμου φησὶν ὅτι ἥκοι ἀνασχετῶν Ἀγαμέμνονα, ἀλλ' ἐπιμελόμενος τί πράττουσιν οἱ βασιλεῖς. τὴν δὲ ἑαυτοῦ γνώμην ἐδήλωσε διὰ τοῦ ἀλκίμου νεκροῦ, ὅτι γενναίαν αὐτοῦ ἐδήλωσε τὴν τελευτήν. διδάσκει δὲ ὁ λόγος ὅτι οὐ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν. 1337. Οὐ γὰρ κλύοντες] ἆρα γὰρ οὐ κλύοντες ἐσμὲν αἰσχίστους λόγους, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρός; 1339. Ἐγὼ γὰρ ἀνδρὶ] συνετὸς ὁ Ὀδυσσεὺς, οὐκ εὐθὺς προστιθέμενος τῇ ὀργῇ. ἔστι γὰρ συγγνώμη καὶ τῷ κακῶς εἰπόντι, εἰ κακῶς πάσχων ἀμύνεται διὰ λόγων. 1341. Ἤκουσεν αἰσχρὰ] οὔτε θεραπεύει Ὀδυσσέα ὁ Τεῦκρος, διὰ τὸ ἀδελφοῦ. οὔτε ἀντιλέγει, διὰ τὸν καιρόν. 1342. Τί γάρ σ' ἔδρασεν] τί δέ σ' ἐποίησεν τοιοῦτο δηλονότι ὥστε καὶ ὑπέχειν σοι βλάβην;

ΣΧΟΛ.

Proinde, vide non meum quod ſit modo, ſed & tuum *commodum*.
Nam ſiquid me læſeris, optabis aliquando
Te vel timidum fuiſſe potius, quam in me ferocem.
Cho. O Rex Ulyſſe, te tempori veniſſe ſcito,
Si non commiſſurus hos, ſed litem diremprurus ades.
Ul. Quid rei eſt, viri? eminus enim audivi
Clamorem Atridarum ſuper hoc forti cadavere.
Ag. Non enim audimus turpiſſima verba,
O Rex Ulyſſe, iſtoc à viro jamdudum?
Ul. Qualia? ego enim viro ignoſco
Audienti turpia, ſi maledicta commiſerit maledictis.
Ag. Audiit turpia *quidem*: facturus enim erat ſimilia mihi.
Ul. Quid fecit autem, quod pro injuria habeas?

Ag.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1339. Ἐγὼ γὰρ συγγνώμην ἔχω] οὐ καλῶς λέγεις, Ὀδυσσεῦ, ἐνταῦθα. οὐ γὰρ ὁ λέγων τὰς ὕβρεις, καὶ ἀκούων, ἐν ὁμοτίμοις. ἀλλ' ὁ μὲν βασιλεὺς, ὁ δ' ἰδιώτης· εὕροις δὲ τὰ ἄλλα πάντα ἴδια τῆς Ὀδυσσέως μούσης πλὴν εἰ μήπως εἴπῃς ὡς οὐκ ἀπὸ τοῦ λελογισμένου, οὐδὲ παντὶ τῷ θυμῷ, ἀλλὰ μηχανῇ τινι τοῦτ' ἔλεξε τῆς διαλλαγῆς ἕνεκα, καὶ ἅμα τῷ βασιλεῖ τὰ μέγιστα πεποιθώς. 1341. Ἤκουσεν αἰσχρὰ] ἤγουν, ὅτε πρὸς Μενέλαον ἐποίει τοὺς λόγους· ὅτε αὐτός ἐστιν ἄρχων τῆς ὕβρεως, ἐγὼ δὲ ἀμυνόμενος. οὕτω τοῦτο νόει, καὶ μὴ πρὸς τὰς ὕστερον ὕβρεις. ἄλλως γὰρ οὐκ ἂν τοῦτο προὐβάλλετο εἰς δικαίωμα Ἀγαμέμνων. ¶ Σχόλ. Τρικλ. 1335. Τί δ' ἐστιν, ἄνδρες;] ἄφιξις Ὀδυσσέως ἐπὶ διαλλαγῇ τῶν μαχομένων.

SCHOL. INED. 1330. Τὸ σόν] ὃ, καὶ σὺ αὐτὸς ὡς ἄνθρωπος φθαρτὸς μέλλεις παθεῖν δηλονότι ὁτιδήποτε. ἤγουν, πρὸς ταῦτα ὅρα, ὦ Μενέλαε, μὴ μόνον τὸ ἐμὸν βλάβος, ἀλλὰ καὶ τὸ σόν. ὅτι εἰ πημανεῖς με τὶ, βουλήσῃ ποτὲ, ἤγουν μετέπειτα, εἶναι μᾶλλον δειλὸς ἐν ἐμοὶ, ἢ θρασύς. *Bar.* 1333. Ἄναξ Ὀδυσσεῦ] ἤγουν, ἄναξ Ὀδυσσεῦ, ἴσθι ὅτι ἦλθες εἰς καιρὸν, εἰ μὴ πάρει καὶ παραγένει, καὶ σὺ αὐτὸς συνάψων τούτους εἰς ἔριν, ἀλλὰ συλλύσων, ἤγουν διαλύσων. *Bar.* 1336. Τῷδ' ἐπ'] ἐπὶ τῷδε τῷ ἀλκίμῳ, ἤγουν, τῷ ποτὲ ἀλκίμῳ, τουτέστι γενναίῳ. L. B. 1337. Αἰσχίστους

Αγα. Οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
Ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
Οδ. Ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
Σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;
Αγα. Εἴπ'· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
Φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
Οδ. Ἄκουέ νυν· τὸν ἄνδρα τόνδε πρὸς θεῶν
Μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν.
Μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
Τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
Κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
Ἐξ οὗ κράτησα τῶν Ἀχιλλείων ὅπλων·
Ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοί,
Οὐκ ἂν γ' ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
Ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι

Τροίαν

λόγους] μὴ γὰρ οὐκ αἰχίστους, ἤγουν, πάνυ αἰσχροὺς λόγους ἀκούομεν, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρὸς (τοῦ Τεύκρου. *Bar.*) ἀρτίως. L. B. *Bar.*

1343. Οὔ φησ' ἐάσειν] διατείνεται οὐκ ἐάσειν. 1344. Ἄμοιρον] ἀμέτοχον. Ἀλλὰ πρὸς βίαν] ἀλλὰ διατείνεται θάψειν αὐτὸν πρὸς βίαν ἐμοῦ. βίαν λέγει, ἣν βιάζεται αὐτόν. 1345. Ἔξεστιν οὖν] δαιμονίως ἡ ἐπιτήρησις. ἠπίστατο γὰρ ὅτι πάντες ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι καὶ ἀντιλέγουσι. τὸ δὲ ἑξῆς, ἔξεστιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντ' ἀληθῆ. καὶ τὰ ἑξῆς. 1346. Ξυνηρετμεῖν] συμφωνεῖν, συντρέχειν, ὡς πρότερον, ἐκ μεταφορᾶς τῶν κοινῶς ἐρεσσόντων. 1351. Μηδ' ἡ βία σε] μὴ ἡ ἐξουσία βιασάσθω σε ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον. τουτέστι, μὴ ὑπὲρ τοῦ ἐνδείξασθαι τούτῳ τὴν ἐξουσίαν, παραβῇς τὸ δίκαιον. 1353. Κἀμοὶ γὰρ ἦν ποθ'] ἱκανὸς ὁ λόγος εἰς πειθώ, ὅτι κἀγώ ποτε ἐχθρὸς ὤν, ἐνδέδωκα νῦν διὰ τὸ δίκαιον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1344. Θάψειν ἐμοῦ] ἀπορίαν τινὰ ἔχει ἡ τοιαύτη γενικὴ τὸ ἐμοῦ. ἔχει δὲ οὕτω, πρὸς βίαν ἐμοῦ, ἀντὶ τοῦ εἰς δυναστείαν ἐμοῦ. ἐπεὶ γὰρ ἡ δυναστεία οὐκ ἄλλου τινὸς ἦν, ἀλλ' Ἀγαμέμνονος (πρὸς γὰρ αὐτὸν ἐκ Τεύκρου γενήσεσθαι ἔμελλε) διὰ τοῦτο πρὸς βίαν ἐμοῦ λέγει.

2 1346. Η

Ag. Ait se non passurum hoc cadaver sepulturæ
Expers *esse*; sed me invito sepulturum.
Ul. Licetne igitur vera dicenti amico
Tua, non minus quam ante, manere in concordia?
Ag. Dic: aliter enim forem mentis non sanæ, quoniam
Te amicum ego maximum ex Argivis duco.
Ul. Audi igitur: virum huncce per Deos
Ne sustineas insepultum adeo inhumaniter abjici:
Neque violentia te ullo modo vincat
Usque adeo odisse, ut ipsum jus calces.
Etenim mihi erat olim ille inimicissimus omnium,
Ex quo *judicum sententia* obtinui Achillis arma:
Hunc tamen ego, talis in me licet fuerit,
Non irem læsum aliqua ignominia, ne quidem tacendo
Unum hunc virum vidisse me fortissimum Argivorum, quotquot

1346. Ἦ πάρος ξυνηρετμεῖν] εὕρηται καὶ ξυνηρετμεῖν, ὅπερ ἀντὶ τοῦ συμφωνεῖν εἴποις. εἴρηται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν κωπηλατούντων. 1352. Ὥστε τὴν δίκην πατεῖν] πατεῖται γὰρ ἡ δίκη διὰ τὸ μὴ τῆς σῆς ὀργῆς τὴν ἐκείνου ἀρετὴν προτιθέναι, ἀλλ' ἄκαμπτον εἶναι, ἵνα τὸ τῆς ἐξουσίας μέγεθος βεβαιώσῃ. ¶ Σχῆμα. Τρικλ. 1349. Ἄκουε νῦν] συμβουλή. 1353. Κἀμοὶ γὰρ] παράδειγμα ἐξ ἑαυτοῦ.

SCHOL. INED. 1345. Ἔξεστιν οὖν] ἤγουν, ἔξεστιν οὖν φίλῳ εἰπόντι τἀληθῆ, οὐδὲν ἔλαττον ἢ πρότερον, ἀντὶ τοῦ ὥσπερ πρότερον, συνηρετμεῖν σοί, ἤγουν συμφωνεῖν φίλῳ εἶναι. L. B. ἤγουν, ἔστιν ἄδεια ἐμοὶ τῷ σῷ φίλῳ εἰπόντι τὰ ἀληθῆ σοί, μηδὲν ὀλιγότερον συμφωνεῖν, ἢ παρὸ πρότερον. *Bar.* 1346. Ξυνηρετμεῖν] ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων τὴν αὐτὴν εἰρεσίαν, ἤγουν κωπηλασίαν, καὶ μὴ ἐναντιουμένων. *Bar.* L. B. 1347. Εἴπ' ἂν γὰρ εἴην] εἰπέ. οὕτως γὰρ οὐκ ἂν εἴην εὖ φρονῶν, εἰ μὴ φιλίως ἀκούσομαι σοῦ δηλονότι. L. 1353. Ἔχθιστος] ἐχθρότατος, ἤγουν πάνυ ἐχθρὸς, μάλιστα μεμισημένος. L. B. *Bar.* 1355. Ἀλλ' αὐτὸν ἔμπας] ἀλλ' ὅμως ἐγὼ ὄντα αὐτὸν ἐμοὶ τοιόνδε ἤγουν ἔχθιστον, οὐκ ἂν ἀπαξιώσαιμι ὥστε μὴ λέγειν. καὶ τὸ ἑξῆς. L. B.

Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
Ὥστ' οὐκ ἂν ἐνδίκως ἀτιμάζοιτό σοι.
Οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
Φθείροις ἄν. "ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
" Βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς.
Αγα. Σὺ ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;
Οδ. Ἔγωγ'· ἐμίσουν δ' ἡνίκ' ἦν μισεῖν καλόν.
Αγα. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
Οδ. Μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.
Αγα. " Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
Οδ. " Ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
Αγα. " Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.

Οδ.

1362. Βλάπτειν τὸν ἐσθλὸν] δύναται καὶ ἐπὶ τοῦ μισοῦντος εἶναι, τὸν ἐσθλὸν οὐ δεῖ μνησικακεῖν. δύναται καὶ ἐπὶ τοῦ μισουμένου καὶ τετελευτηκότος, τὸν ἐσθλὸν οὐ δεῖ βλάπτεσθαι, οὐδ' ἐὰν μισούμενος ᾖ. εὐκαταλλάκτους γὰρ δεῖ πρὸς τοὺς ἀγαθοὺς εἶναι. 1365. Οὐ γὰρ θανόντι] οὐ γὰρ χρὴ θανόντι καὶ προσεπεμβῆναί σε; τουτέστι πρὸς τῷ μισεῖν ἐπεμπηδῆσαι; ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι. 1366. Μὴ χαῖρ'] ἤγουν μὴ πρόσκεισο. 1367. Τόν τοι τύραννον] ὁ λόγος ὅτι οὐ πάντη τῷ δικαίῳ ἀκολουθητέον, ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον. ἀπρεπὲς γὰρ ὑπὸ Ἀγαμέμνονος ὁμολογεῖσθαι, πᾶς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας, περὶ τὰ τοιαῦτα τῶν ἔργων ταύτην προβαλλόμενος. 1368. Ἀλλ' εὖ λέγουσι] κατὰ κοινοῦ τὸ ῥᾴδιον. ἔστιν οὖν ὁ νοῦς τοιοῦτος, ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν, ἀντὶ τοῦ, ἐμοὶ καλῶς σοι συμβουλεύοντι τιμὴν ἀπόδος. τουτέστιν ἄκουσόν μου. 1369. Κλύειν τὸν ἐσθλὸν] ἄκρως αἱ ἀντιθέσεις. ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τιμῇ τῶν φίλων ὑφεῖναι τὸν βασιλέα τῆς ἐξουσίας παρακαλεῖ· ὁ δὲ ἀντιστρέψας φησὶν ὅτι τὸν ἀγαθὸν ἄνδρα χρὴ πείθεσθαι τοῖς βασιλεῦσι. κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν. Ἐσθλὸν] ἤγουν τὸν ἀγαθόν. ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ἀνδρεῖος, καὶ ἀπὸ τούτου ἀγαθός. Τῶν ἐν τέλει] τῶν ἐν ἀρχῇ, τῶν βασιλέων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1361. Ἄνδρα δ' οὐ δίκαιον] τοῦτο πρῶτον

ἀκ

Ad Trojam pervenimus, excepto Achille.
Proinde neutiquam jure eum debito privaveris honore.
Nullo enim hunc modo, sed Deorum leges
Violaveris. " virum autem strenuum nefas est post mortem
" Lædere, ne quidem si prius oderis admodum.
Ag. Tune in his, Ulysses, pro isto mecum pugnas?
Ul. Ego sane: oderam vero quamdiu fuit odisse honestum.
Ag. Non itaq; & mortuum insultare te convenit?
Ul. Ne gaudeas, Atrida, lucris non bonis.
Ag. " Haud est facile ut tyrannus sit pius.
Ul. " At facile ut amicis bene monentibus honorem tribuat.
Ag. " Obedire tamen virum bonum decet magistratibus.

Ul.

ὡς καθόλε γνώμlω ἐξήνεγκεν· εἶτα μερικῶς πρὸς τὸν Ἀγαμέμνονα. δίον γὰρ εἰπεῖν, ἐδὲ ἐὰν μισῶν κυρῇ, ὁ δὲ κυρῆς εἶπεν, εἰκότως τῦτο ποιήσας, ἵνα μισῦντα τῦτον ἵλεων καὶ εὐμενῆ ἐντεῦθεν ποιήσῃ τῷ Αἴαντι. 1363. Σὺ ταῦτ', Ὀδυσσεῦ] μὴ λάβῃς εἰς τὸ ταῦτα ἔξωθεν τὸ κατὰ, ἀλλ' ὥσπερ μάχομαί σοι ταῦτα, φαμὲν, ὅτω καὶ τῦτο. 1367. Τόν τοι τύραννον εὐσεβεῖν] ἤγυν ὅλως εὐσεβεῖν, καὶ ὅσια πράττειν, κωλύει γὰρ ἀπὸ τῆς ἀρχῆς διὰ τὸ ταύτης συμφέρον. εἰ γὰρ καὶ Αἴας ἐδὲν ἔμελλε δρᾶσαι εἰς αὐτόν (τέθνηκε γὰρ) διὰ τῦτό γε μὴν δεῖ τῦτον τετιμωρῆσθαι, ἵνα μή τις ἰδὼν αὐτὸν ἀτιμώρητον μείναντα, ἐγχειρήσῃ τοῖς ἴσοις. ¶ Σχήμ. Τρικλ. 1361. Ἄνδρα δ' ἐ δίκ.] γνωμικόν.

SCHOL. INED. 1359. Ἀτιμάζοιτό σοι] ἀντὶ τῦ, ὑβρίζοιτο ὑπό σε. L. B. 1363. Ὑπερμαχεῖς ἐμοί] ἤγυν ὑπὲρ τύτε μάχῃ ἐμοί. L. B. Ἔγωγε] ναί. μάχομαι σοὶ ὑπὲρ τύτε τῦ Αἴαντος. ἡνίκα ἦν καλὸν τὸ μισεῖν, ἐμίσεν αὐτὸν τὸν Αἴαντα καὶ ἐγώ. *Bar.* 1364. Καλὸν] εὔκαιρον, ἁρμόδιον, ἀνέγκλητον. *Bar.* 1365. Οὐ γὰρ] ὐ γὰρ πρέπει σε προσεπιτιθῆναι ἐχθρωδῶς τύτῳ τῷ Αἴαντι θανόντι. 1367. Τόν τοι τύραννον] ἤγυν, τὴν μέντοι βασιλέα, ὅνομα πράττειν ὐκ εὔκολον ἐςίν. τῦτο λέγει ὁ Ἀγαμέμνων, ὅτι ὐκ ἐᾷ αὐτὸν ὁ Ὀδυσσεὺς πράττειν τὰ τῦ νόμε. *Bar.*

1371. Μίμο-

Οδ. Παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.

Αγα. Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.

Οδ. Ὅδ' ἐχθρὸς ἀνὴρ, ἀλλὰ γενναῖός ποτ' ἦν.

Αγα. Τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδῇ νέκυν;

Οδ. Νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ.

Αγα. Τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.

Οδ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί.

Αγα. Τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;

Οδ. Σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.

Αγα. Ἡμᾶς σὺ δειλοὺς τῇδε θ' ἡμέρᾳ φανεῖς.

Οδ. Ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.

Αγα. Ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;

Οδ. Ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.

Αγα. Ἦ πάνθ' ὁμοῖα πᾶς ἀνὴρ αὐτῷ πονεῖ.

Οδ.

1371. Μέμνησ'] ἀντὶ τοῦ ἀναλογίζου. 1373. Τί ποτε ποιήσεις;] ἐν ἐρωτήσει ὁ λόγος, ποδαπός τις ἔσῃ πρὸς ἐχθροὺς, καὶ τί αὐτοὺς διαθήσεις δεινὸν, ὁπότε οὕτως ὑπὸ τοῦ νεκροῦ ἥττησαι; 1374. Ἡ ἀρετὴ] ἡ ἀρετὴ, ἤγουν ἡ ἀνδρεία. Πολὺ] ἀντὶ τοῦ πλέον. 1375. Τοιοίδε φῶτες] οἱ τοιοίδε φῶτες οἷος ἦν ὁ Αἴας, δηλονότι εἰς μάχην ῥᾳδίως μεταβαλλόμενος, ἔμπληκτοί εἰσι παρὰ τοῖς βροτοῖς πρὸς ὃ ἀπαιτεῖ ὁ Ὀδυσσεὺς, ὄντως πλεῖστοι, ἄλλοι δηλονότι, νῦν εἰσὶ φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλγους πρόξενοι. ἔμπληκτος ὁ, καὶ ἀπόπληκτος, καὶ παραπλὴξ ταυτά. λέγεται δὲ ταῦτα ἐπὶ τῶν κατεστραμμένων τὴν ψυχήν. Ἔμπληκτοι βροτῶν οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ, ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως. ἔμπληκτοι, κοῦφοι, εὐμετάβολοι. ὀνειδίζει δὲ Ὀδυσσεῖ ὡς εὐμεταβλήτῳ· οἱ τοιοῦτοι οὖν ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται. ὡς καὶ Ὅμηρος, Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν. 1376. Ἦ κάρτα] πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλέγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ποτὲ μὲν φίλοι εἰσὶ, ποτὲ δὲ ἐχθροί. πολὺ (φησὶ) τοῦτο ἀνθρώπων ἐστὶ τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν. 1380. Ἐνδίκους] ὁ μὲν, τὸ τῆς ἀνδρείας· ὁ δὲ τὸ τῆς δικαιοσύνης προβάλλεται. λέγει δὲ μᾶλλον μὲν οὖν δείξω πᾶσι τοῖς Ἕλλησιν ἄνδρας ἐνδίκους εἶναι ὑμᾶς, ἤγουν δικαίους. 1381. Ἄνωγας] συμβουλεύεις. 1382. Καὶ γὰρ αὐτὸς]

Ul. Desine: victus enim hac in re ab amicis, victor es.

Ag. Memento in quem virum hanc confers gratiam.

Ul. Inimicus hic quidem, at erat olim strenuus.

Ag. Quidnam facturus es? inimicum adeo revereris mortuum?

Ul. Virtus nempe apud me plus quam odium valet.

Ag. Hujusmodi homines sunt fere stupidi.

Ul. Certe admodum multi nunc amici, qui postea fiunt acerbi.

Ag. Tales tu probas igitur parare amicos?

Ul. Prædutos laudare animos ego non amo.

Ag. Nos tu ignavos hac ipsa die ostendes.

Ul. Imo viros Græcis omnibus justos *ostendam potius.*

Ag. Suades ergo ut mortuum hunc sepeliri sinam?

Ul. Equidem: nam & ipse huc venturus sum.

Ag. Profecto omnia *sunt* similia, quisq; sibi studet.

Ul.

αὐτὸς] καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ, ἢ καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν. 1383. Ἦ πάνθ᾽ ὁμοῖα] ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια. πᾶς γὰρ ἄνθρωπος τὴν οἰκείαν πραγματεύεται σωτηρίαν. ἔχει δέ τινα δυσκολίαν. καὶ ἔστιν οὕτως κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις τὸ εἶναι ἕκαστον φίλαυτον. τοῦτο οὖν ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι εὐδοξίαν σοὶ ἐργάζεται τὸ ὑπεικειν ταφῆναι τὸν Αἴαντα. οὐδαμῇ τὸ κεχαρισμένον ἑτέρῳ διαπράττει. καὶ ὁμολογεῖ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν. Ἄλλως. Ἦ πάνθ᾽ ὁμοῖα] ὄντως πᾶς ἀνὴρ συμφέροντα ἑαυτῷ πάντα ποιεῖ. τὸ γὰρ ὁμοῖα ἀντὶ τοῦ ἐρμοδίως συμφέροντα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1374. Τῆς ἔχθρας πολὺ] δέον πλέον εἰπεῖν, πολὺ εἶπεν. εὕρηται γὰρ πολλαχοῦ τὰ ἁπλᾶ ἀντὶ συγκριτικῶν τιθέμενα· ὥσπερ αὖ τοὐναντίον, τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν. 1379. Ἡμᾶς σὺ δειλοὺς] ἐὰν γὰρ τεθάφθαι συγχωρήσωμεν Αἴαντα, πᾶς τις ὃς οὐκ οἶδεν ὅτι σὴν χάριν τοῦτο ποιοῦμεν, οἰηθείη ἂν διὰ τὴν Τεύκρου θρασύτητα ἡμᾶς βιασθέντας ἐνδοῦναι.

SCHOL. INED. 1373. Ἐχθρὸν ὧδε] καθιστορεῖ ὁ Ἀγαμέμνων ἐνταῦθα δειλίαν τοῦ Ὀδυσσέως. *Bar.* 1382. Ἔγωγε. καὶ] ἤγουν, ἐπει-

δη

Οδ. Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;

Αγα. Σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.

Οδ. Ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ' ἔσῃ.

Αγα. Ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
Σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
Οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν, ἔμοιγ' ὅμως
Ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρή.

Χο. Ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
Φῦναι τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.

Οδ. Καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
Ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
Καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
Καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
Χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.

Τευ. Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι

Λόγοι-

δὴ μέλλω καὶ αὐτὸς ἐγὼ ἀποθανεῖν, θέλω καὶ βούλομαι θάπτειν πάντας, διότι πᾶς ἄνθρωπος ποιεῖ τὰ ὅμοια ἑαυτῷ. Bar.

1384. Τῷ γάρ με μᾶλλον] τίνι γὰρ ἄλλῳ δηλονότι (ἀντὶ τοῦ τίνος ἄλλου χάριν) εἰκός ἐστιν πονεῖν ἐμὲ ἢ χάριν ἐμαυτοῦ; 1385. Σὸν ἆρα] ἀντὶ τοῦ δή. 1386. Ὡς ἂν ποιήσῃς] καθὰ, ἤγουν καθ' ὁποῖον δή τινα τρόπον ἂν ποιήσῃς. πανταχῇ, ἐν πᾶσι. 1387. Ἀλλ' εὖ γε μέντοι] τοῦτο μὲν ποίησαι δηλονότι. ἀλλ' εὖγε τοῦτο ἐπίστασο, καὶ τὸ ἑξῆς. συγκατάθεσις δὲ συνυπακούεται, πρὸς ἣν ἐπάγεται, ἀλλ' εὖ γ' ἐπίστασο. 1393. Ἀπὸ τοῦδε] ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομαι καὶ σημαίνω αὐτῷ φιλίαν. Ἀγγέλλομαι] ἀντὶ τοῦ ἐπαγγέλλομαι, ὑπισχνοῦμαι. 1395. Συνθάπτειν θέλω] καλῶς τὸ θέλω. εἰ ἐπιτρέποιτε, σὺν σοὶ θάπτω τόνδε. διττῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος, ἢ ὅτι καί σε θάπτω μετὰ τοῦδε, ἢ ὅτι τοῦτον ἐγώ καὶ σὺ θάπτομεν. 1398. Ἄριστ' Ὀδυσσεῦ] εὐγνωμόνως πρὸς τὸ παρὸν ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα. κατατιθέμενος καὶ τὴν πρὸς αὐτὸν ἔχθραν.

¶ Σχόμ.

Ul. Cui enim me magis convenit, quam mihi studere?
Ag. Tuum igitur opus hoc, non meum vocabitur.
Ul. Ut feceris, *ita* bonus habeberis ubique.
Ag. At tamen hoc certo scias, me
Tibi quidem majorem vel hac gratiam facturum:
Hic vero, seu ubi tu vis *sepultus* seu hic *insepultus*, mihi tamen
Invisissimus erit; tibi autem facere licet quæ visum est.
Cho. Quicunque te, Ulysse, non sapientem prædicat
Mente hac præditum, *næ ille* stultus est homo.
Ul. Et nunc sane Teucro id in posterum denuntio,
Me, quam tunc inimicus fuerim, tam nunc amicum esse.
Et mortuum hunc simul sepelire volo,
Una & laborem capere, nihil & omittere,
Quod homines decet impendere viris optimis.
Teu. Optime Ulysse *nunc* te in omnibus laudare possum,

Facto-

¶ Σχήμ. Τρικλ. 1393. Καὶ νῦν γε] καταλλαγὴ Ὀδυσσέως καὶ Τεύκρου. 1398. Ἄριστ' Ὀδυσσεῦ] ἔπαινος Τεύκρου πρὸς Ὀδυσσέα.

SCHOL. INED. 1386. Πανταχοῦ χρηστός γ' ἔσῃ] τουτέστιν, ἢ ἕνεκα τῆς σῆς ἐξουσίας, ἢ ἕνεκα τῆς ἐμῆς παρακλήσεως, πανταχοῦ ἔσῃ χρηστός. *Bar.* 1389. Οὗτος δὲ κἀκεῖ] Ἐνταῦθα ἐν ᾅδῃ, ἤγουν, καὶ ἐν τῇ παρούσῃ ζωῇ, τουτέστι, καὶ ζῶν καὶ ἀποθανὼν ὁμοίως. L. B. 1393. Καὶ νῦν γε] ἢ καὶ οὕτως, καὶ νῦν γε ἀπὸ τοῦ νῦν ὑπέχομαι εἶναι σοὶ τῷ Τεύκρῳ φίλος, ὅσον πρότερον ἦν ἐχθρός. *Bar.* 1395. Συνθάπτειν] σὺν ἡμῖν δηλονότι θέλω θάπτειν. σὸν σοὶ θάπτω τόνδε. διττῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος. ἢ ὅτι καὶ σὲ θάπτω μετὰ τοῦδε, ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάπτομεν. L. B. 1396. Ξυμπονεῖν] ἤγουν, συνεργεῖν ὑμῖν δηλονότι. L. B. ἤγουν συγκοπιᾶν, καὶ μηδὲν ἐλλείπειν πονεῖν τόσον, ὅσον χρὴ τοὺς βροτοὺς πονεῖν ἐν τοῖς ἀρίστοις ἀνδράσιν. *Bar.*

Λόγοισι· καί μ' ἔψευσας ἐλπίδος πολύ.
Τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ,
Μόνος παρέστης χερσὶν, οὐδ' ἔτλης παρὼν
Θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα.
Ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
Αὐτός τε χὡ ξύναιμος ἠθελησάτην
Λωβητὸν αὐτὸν ἐκβαλεῖν, ταφῆς ἄτερ.
Τοι γάρ σφ' ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ,
Μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος Δίκη,
Κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
Τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
Σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαρτίου πατρὸς,
Τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
Μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
Τὰ δ' ἄλλα καὶ ξύμπραττε· κεἴ τινα στρατοῦ
Θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
Ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
Ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

Οδ.

1399. Καί μ' ἔψευσας] ψευσθῆναι ἐποίησας τῆς ἐλπίδος, ἣν καλὴν εἶχον περὶ σέ. 1401. Παρέστης χερσὶν] συνεμάχησας ἔργῳ, οὐ λόγῳ. τοῦτο δὲ λέγει ἐπὶ τῶν μετὰ σπουδῆς ἐργαζομένων τι. 1403. Οὑπιβρόντητος] ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον. ἐμβρόντητος δέ ἐστιν ὁ ἐκτραπεὶς τῶν φρενῶν ὑπὸ ἤχου βροντῆς. 1405. Λωβητὸν] ἐφύβριστον. 1406. Τοι γάρ σφ' ὀλύμπου] διὸ αὐτοὺς τῶν ἐν ὀλύμπῳ θεῶν τὰ πρεσβεῖα ἔχων Ζεὺς, μνήμων τ' Ἐριννὺς, τῶν ἀδικημάτων δηλονότι, ἤγουν ἡ ταμιεύουσα τὰς τιμωρίας. Ἐριννὺς δέ εἰσιν αἱ κατάραι καὶ ἔφοροι τῶν καταρῶν θεαί. 1411. Τάφου μὲν ὀκνῶ τοῦδ'] πιθανῶς καὶ εὐσχημόνως τοῦτο λέγει ὁ Τεῦκρος. 1413. Κεἴ

τινα

Factoque hoc longe meam fefelliſti ſpem.
Huic enim cum ante fueris Argivorum inimiciſſimus,
Solus tamen aſtitiſti manu, nec paſſus es præſens
Ut à vivente fiat mortuo gravis injuria.
Ut attonitus ille imperator *huc* profectus,
Ipſeque & *ſuus* frater voluerunt
Cum contumelia hunc abjicere inſepultum.
Quare hos, hunc qui Olympum regit Jupiter,
Furiæque memores, cunctiſque ſua tribuens Juſtitia,
Malos male perdant, ſicut voluerunt
Hunc virum contumeliis objicere indigne.
Te vero, O longævi proles Laertæ patris,
Hoc funus ut attingas, vereor pati,
Ne faciam quod mortuo ingratum ſit:
Cætera vero nos adjuva; & ſi quem de exercitu
Vis huc mittere, non graviter feram.
Ego vero reliqua omnia adminiſtrabo; tu autem te
Viri in nos boni officio functum eſſe ſcito.

Ul.

τινα στρατοῦ] καί τινα ἄλλον δηλονότι ἀπὸ τοῦ στρατοῦ. 1415. Πορσυνῶ] παρέξω.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1407. Μνήμων τ' Ἐριννὺς] ἤγουν μνημονεύουσα τῶν ἑκάστοις πεπραγμένων κακῶν, καὶ μηδέποτ' εἰς λήθην ἰοῦσα, ἀλλὰ τιμωρουμένη. διὰ τοῦτο δὲ τὴν δίκην τελεσφόρον καλεῖ, διὰ τὸ μὴ αὐτίκα τοῖς ἁμαρτάνουσιν ἀπαντᾷν, ὅπως ἂν μεταγνοῖεν· ἀλλ' ὕστερον κατ' αὐτῶν φέρεσθαι μετὰ μείζονος τοῦ κολάζειν παρασκευῆς.

SCHOL. INED. 1399. Ἔψευσας] ἤγουν, ἐξέβαλες. εἶχε γὰρ ἐλπίδα ὁ Τεῦκρος, ἰδὼν τὸν Ὀδυσσέα, μὴ εἶναι τοῦτον εἰς βοήθειαν· ἀλλ' ὅτι εἶδε τοῦτον βοηθοῦντα, τότε φησίν· ἔψευσάς με κατὰ πολὺ τῆς ἐλπίδος, καὶ νομίσας εἶναί σε ἐχθρὸν, εὗρόν σε φίλον. *Bar.* 1410. Σὲ δ', ὦ γερ.] σὲ δ', ὦ σπέρμα πατρὸς τοῦ γεραιοῦ Λαέρτου, ἕνεκα τοῦ ταφῆ, ἤγουν ἐνταφιασμοῦ, δέδοικα ἐᾶν ἐπιψαύειν τοῦδε. L. B. 1416. Καθ' ἡμᾶς] ἤγουν, κατὰ τὴν ἡμετέραν γενεάν. L. B. *Bar.*

Οδ. Ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'στί σοι φίλον
Πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τευ. Ἅλις. ἤδη γὰρ πολὺς ἐκτέταται
Χρόνος· ἀλλ' οἱ μὲν κοίλην κάπετον
Χερσὶ ταχύνατε, τοὶ δ' ὑψίβατον
Τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
Θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
Ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
Κόσμον φερέτω.
Σὺ δέ, παῖ, τοῦ πατρός, ὅσον ἰσχύεις,
Φιλότητι θιγών, πλευρὰς σὺν ἐμοὶ
Τάσδ' ἐπικούφιζ'. ἔτι γὰρ θερμαὶ
Σύριγγες ἄνω φυσῶσι μέλαν
Μένος·

1417. Ἀλλ' ἤθελον] συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν. μάλιστα καινόσχημον τοῦτό γε. 1418. Εἶμ' ἐπαινέσας τὸ σόν] πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπουδὴν τῆς ταφῆς. πολὺς οὖν ἤδη χρόνος, ἀφ' οὗ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι. 1419. Ἅλις. ἤδη] ἀντὶ τοῦ, ἀρκούντως ἔχει τὸ πρᾶγμα. 1420. Κοίλην κάπετον] ἤγουν τάφον. 1421. Χερσὶ ταχύνετε] μετὰ σπουδῆς ὀρύξατε. Τοὶ δ' ὑψίβατον] οἱ δὲ θέσθε, ἐπὶ τοῦ πυρὸς δηλονότι, ἐπίκαιρον ἀντὶ τοῦ ἐπικαίρως, ἤγουν εὐκαίρως, χυτρόποδα ἀμφίπυρον, ἀμφοτέρωθεν τὸ πῦρ δεχόμενον, ὑψίβατον, ὑψηλὴν βάσιν ἔχοντα. 1422. Λουτρῶν ὁσίων] τουτέστιν ἐπιταφίων. χυτρόπους δὲ ὁ κοινῶς πυροστάτης, ὃ καὶ λάσανον λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης, καὶ τὸ θερμαινόμενον ὕδωρ. 1423. Ἐπίκαιρον.] εὔκαιρον. καιρὸς γὰρ ἤδη καὶ τοῦτο ὥστε ἀπολοῦσαι τὸ σῶμα, καὶ καθᾶραι. Ἐκ κλισίας] τῆς σκηνῆς. 1424. Ἴλη] σύστημα· κυρίως δὲ φατρία. Ὑπασπίδιον] ἐνόπλιον. 1426. Σὺ δέ, παῖ] τραγικὰ καὶ ταῦτα καὶ πάθους ἐχόμενα. 1429. Σύριγγες] ἀναδόσεις. αἱ ὀπαὶ τῆς πληγῆς. Μέλαν μένος] ἀντὶ τοῦ τὴν δύναμιν τοῦ Αἴαντος. καὶ ἀντὶ τοῦ μέλαν αἷμα μετὰ ἰσχύος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1422. Τρίποδ' ἀμφίπυρον] ἤγουν χυ-

Ul. Curare sane una volebam: si vero non est tibi
gratum,
Nos hæc facere, abeo tuam laudans sententiam.

ANAPÆSTI.

Teu. Satis *est*; jam enim multum elapsum est
Temporis: at *vos*, hi quidem cavam fossam
Manibus ocyus apparate, illi vero sublimen,
Tripodem in ignem ponite, lavacris sacris
Idoneum: at una ex tentorio
Virorum turma armorum
Ornatum afferat.
Tu vero, fili, patris, quantum vales,
Amore, prehensans latera simul mecum
Hæc alleva. adhuc enim calidæ
Fistulæ sursum efflant nigrum
Cruorem:

τρόπου, τῆς κοινῆς πυροστάτης, ὃ καὶ λόβανον λέγεται. ἀπὸ δὲ τῆς θέσεως τοῦ χυτρόποδος νοεῖται ὁ λέβης, καὶ τὸ θερμαινόμενον ὕδωρ. Λουτρῶν ὅσιον] μὴ λάβῃς εἰς τὸ λουτρῶν ἔξωθεν τὸ ἕνεκα· ἀλλ' ἐπειδὴ ὁ τρίπους διὰ λουτρὰ ἦν, καὶ οὐ δι' ἄλλο τι, διὰ τοῦτο τρίποδα λουτρῶν λέγει. 1424. Τὸν ὑπασπίδιον] ἤγουν τὸν ὑποκάτω τῆς ἀσπίδος. πάντων γὰρ ὅπλων ἡ ἀσπὶς ἐπίκειται. τοῦτο δὲ λέγει, ἵνα αὐτὸν συνάψῃ τῷ Αἴαντι, ὥσπερ πρόσθεν ἐνετείλατο. 1427. Πλευρὰς, σὺν] εἰ μὲν τὸ πλευρᾶς περισπάσεις, καθ' ὅλον καὶ μέρος ἐρεῖς (τὸ γὰρ Αἴαντος, ὅλον· τὸ δὲ πλευρᾶς, μέρος) εἰ δὲ ὀξυνεῖς, πρὸς τὸ ἐπικούφιζε συντάξεις. σκόπει δὲ ὅταν περισπάσῃς μὴ οὕτω συντάσσειν, θιγὼν τῆσδε τῆς πλευρᾶς. ἀλλὰ θίγων τοῦ πατρὸς τῆσδε τῆς πλευρᾶς. οὕτω γὰρ καὶ τὸ καθ' ὅλον καὶ μέρος σώζεται. 1429. Μέλαν μένος] μέλαν αἷμα λέγει τὴν τοῦ αἵματος ἀνάδοσιν καὶ πρὸς τὸ ἄνω ὁρμὴν, ἐπειδὴ καὶ τὸ μέλαν αἷμα. ¶ Σχήμ. Τρικλ. 1419. Ἅλις. ἤδη] ἐπίλογος.

SCHOL. INED. 1423. Ἐπίκαιρον] ἀντὶ τοῦ ἐπικαίρως, ἤγουν εὐκαίρως. L. B. 1426. Σὺ δὲ, παῖ] ἤγουν, ὦ Εὐρύσακες, σὺ δὲ φιλοφροσύνῃ θιγὼν, ἤγουν ψαύσας σὺν ἐμοὶ τῆς πλευρᾶς τῆς δὲ τοῦ πατρὸς, ὅσον ἰσχύεις ἐπικούφιζε. ἀντὶ τοῦ ἀνακούφιζε, ἀναβάσταζε. L. B. 1429. Ἄνω φυσῶσι] ἀντὶ τοῦ ἀναφυσῶσιν, ἀναπέμπουσι μέλαν μένος, ἀντὶ τοῦ μέλαν αἷμα μετὰ ἰχῶρος. L. B.

1430. Πᾶς

Μέν. ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνὴρ
Φησὶ παρεῖναι, σούσθω, βάτω,
Τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ
Καὶ οὐδενί πω λῴονι θνητῶν
Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ.
Χο. " Ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσι
" Γνῶναι· πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
" Τῶν μελλόντων ὅ, τι πράξει.

Σοφοκλέους Αἴαντος Μαστιγοφόρου Τέλος.

1430. Πᾶς φίλος] ὅστις τῷ παρόντι φίλος ἐστὶ, σπευδέτω εἰς τὴν ταφήν. 1431. Σούσθω] παρακινείσθω. Βάτω] πορευέσθω. 1432. Τῷ πάντ' ἀγαθῷ] οἱ τοιοῦτοι ἔπαινοι περὶ τῶν ἰδίων λεγόμενοι ἀνεπαχθέστεροί εἰσιν. 1435. Ἦ πολλὰ βροτοῖς] οἰκείως ἔχει τοῖς ἀπαλλαχθήσεσθαι μέλλουσιν ἡ τελευταία γνώμη, ὅτι πλεῖστά ἐστι τοῖς ἀνθρώποις γνῶναι ἐπ' αὐτῶν τῶν πραγμάτων γιγνομένων. προμηθεία δὲ ἀδύνατον χρήσασθαι, καὶ μαντεύσασθαι ὅ, τί ποτε ἀποβήσεσθαι μέλλει. ταῦτα δὲ ἅμα λέγοντες προπέμπουσι τὸν νεκρόν· καὶ γίγνεται ἔξοδος πρέπουσα τῷ λειψάνῳ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1430. Ἀλλ' ἄγε] ἡ σύνταξις, Ἀλλ' ἄγε, πᾶς ἀνὴρ ὅστις φησὶ παρεῖναι καὶ ὑπάρχειν φίλος τοῦ Αἴαντος. ὅτε ἦν ὁ Αἴας τότε φίλον καὶ αὐτὸν τούτου παρεῖναι λέγω. σούσθω καὶ ὁρμάσθω, βάτω καὶ πορευέσθω, πονῶν καὶ συναγωνιζόμενος τῷδε τῷ ἀνδρὶ τῷ Αἴαντι τῷ κατὰ πάντα ἀγαθῷ, φρόνησιν λέγω, καὶ ἀνδρείαν, καὶ τἄλλα, καὶ ἐν οὐδενὶ πράγματι λῴονι καὶ κρείττονι τῶν θνητῶν, τουτέστι πᾶσι μὲν τοῖς καλοῖς ὅσων ἄνθρωπον ἡ φύσις ἠξίωσεν, ἐνευθηνουμένῳ, θνητῷ δὲ ὄντι. οὕτω τὸ οὐδενὶ οὐδέτερον λέγει· τὸ δὲ λῴονι, ἀρσενικὸν πρὸς τὸ Αἴαντι· οὐχ' ὥς τινές φασι, τὸ οὐδενὶ ἀντὶ

οὐ



Cruorem: verum age, omnis, quicunque se amicum
Ait adesse, moveat, eat
Huic viro operam dans in omnibus bono;
Nullique unquam mortalium meliori
Ajace: quamdiu superfuit, hoc dico.
Cho. "Profecto hominibus plurima, ubi viderint,
" Nosse datur; prius vero quam videant, nullus *adeo* vates
" Futurorum *est*, *ut sciat* quid faciet.

Sophocl. Ajac. Flagel. Finis.

τοῦ νεκροῦ καὶ ἑτέρ' ἄτλα, σκαιότητος γέμοντα καὶ ἄλλως. ἀλλ' εἶα, πᾶς ὅστις φησὶν εἶναι φίλος τῷ ἀνδρὶ τῷδε τῷ κατὰ πάντα ἀγαθῷ, ὁρμάσθω πονῶν ὑπὲρ τοῦδε, καὶ ὑπὲρ οὐδενὸς ἄλλου ἀπὸ τῶν θνητῶν, κρείττονος τοῦδε τοῦ Αἴαντος· ὅτε ἦν καὶ ὑπῆρχεν, τότε φωνῶ, τοῦτ' ἐστι λέγω. 1435. Ἦ πολλὰ] ὄντως πολλά ἐστι τοῖς βροτοῖς γνῶναι ἰδοῦσι καὶ θεασαμένοις· οὐδεὶς δὲ πρὶν ἰδεῖν, ἐστὶ μάντις τῶν μελλόντων τί ποιήσει. ἤγουν, ὅπερ τις εἶδεν, ἐπίσταται. ὁ δὲ μὴ ἰδὼν, οὐκ ἂν ἔχοι περὶ τοῦ μέλλοντος ἰσχυρίσασθαι τί ποιήσει. τοῦτο δὲ λέγει ὁ χορὸς περὶ ἑαυτοῦ, ὡς πρῶτον οὐκ ἐλπίζοντος ἂν τεθάφθαι τὸν Αἴαντα, ὕστερον δὲ ἰδόντος τοῦτο γενόμενον.

SCHOL. INED. 1431. Σούθω] ἀπὸ τοῦ σεύομαι τὸ ὁρμῶ, ὁ παρατατικὸς ἐσευόμην, ἐσεύου, καὶ τὸ προστακτικὸν σεύου. τὸ τρίτον σευέσθω, καὶ κατὰ συγκοπὴν σεύθω. καὶ τροπῇ τοῦ ε εἰς ο, σούθω. *Bar.* 1435. Ἦ πολλὰ βροτοῖς] ἔστιν ὄντως τοῖς βροτοῖς τοῖς ἰδοῦσι, γνῶναι πολλά. ἀλλὰ πρὸ τοῦ ἰδεῖν, οὐδείς ἐστι προγνώστης τῶν μελλόντων ὥστε εἰδέναι τί συμβήσεται. 1437. Πράξει] ἤγουν εὐπραγήσει, ἢ δυσπραγήσει. καὶ ἀμφότερα γὰρ ἡ λέξις δηλοῖ. L. B.



NOTÆ

NOTÆ IN AJACEM.

Verſ. 2. Πεῖράν τιν᾽ ἐχθρῶν ἁρπάσαι θηρώμενον] Hunc locum varie interpretes explicant. Naogeorgus: *Latenter & dolis curaſſe damnum quodpiam inferre hoſtibus.* Rotallerus autem: *ut hoſtium vites dolos.* Camerarius: *periculum aliquod hoſtibus præripere.* Alii: *inſidias quaſdam, &c.* Videamus ergo, ut tutius agatur, quid ſit πεῖρα apud Sophoclem, quid ἁρπάσαι. Sic enim loci mentem extra controverſiam poſitam iri ſpero. Πεῖρα autem eſt *conſilium, molimen, inceptum,* ut v. 290. utque hoc ipſo in loco; quod qui dubitaverit, adeat v. 1076. neque porro dubitabit. Ipſe enim Sophocles ſui optimus interpres: κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσε, &c. *niſi hoc molimen* (Ajacis) *Deus irritum feciſſet, &c.* rem præſentem eodem verbo expreſſe deſignat. Eſt igitur hic loci πεῖρα *conſilium, molimen.* Quid autem valet ἁρπάσαι? idem quod μαθεῖν. ut enim θηρᾶσθαι per metaphoram valet ζητεῖν, cur non per eandem ἁρπάσαι valeat μαθεῖν? *deprehendere* Latine. Anglice **to catch, or apprehend.** Vide modo ſententiæ ſeriem, & mecum, ſpero, ſenties: δέδορκά σε ἀεὶ θηρώμενον ἁρπάσαι, καὶ νῦν ὁρῶ σε κυνηγ. ὅπως ἴδῃς, &c. utroque ſententiæ membro idem vult Sophocles, at in priori figuratæ dictionis tenorem ſervat, in altero à tropo ſe ad naturam convertit. Quin & *rapax ingenium* ab Ovidio dicitur. Et *arripere* pro *celeriter intelligere* apud Corn. Nepotem comparet. Vid. Antigon. P. 227. Ed. Steph. τὸ λοιπὸν ἁρπάζητε καὶ μάθητ. &c.

V. 8. Εὔρινος] Plerique genitivi caſus eſſe credunt; ego tamen Camerario aſſentior: cur enim hic in recto capiatur, ipſa ſuadet verborum ſeries; nec genitivus ita poſitus pari concinnitate ſtare poteſt.

V. 10. Ξιφοκτόνους] *Enſe ferientes,* ceu *mactantes.* Pendet autem hic accuſativus, ut & κάρα, à præpoſitione κατὰ ſuppreſſa.

V. 12. ἐννέπειν] Poteſt pendere ex ἔργον ἐστὶν, quod præcedit. Malo tamen infinitivum poni loco imperativi, ut ſæpe fit. tamen vel ſic deeſt χρὴ, aut aliquid ſimile: Electra v. 9. φάσκειν, &c. Ajax v. 112. Philoctet. v. 58. & paſſim.

V. 13.

V. 13. Σπουδὴν ἴθυ] Sic Oedip. v. 134. τήνδ' ἔθεσθ' ἐπιστροφήν.

V. 14. Ὦ φθέγμ.] Dii enim mortalibus non, ut olim, se patiuntur *contingi lumine claro*, sed vel voce, vel odore suam indicant præsentiam. Pallas autem prudentiæ Dea, ideoque Ulyssi cultori suo egregio non potuit non adesse; ut ipse, nec minus ipsa post fatetur, v. 34. 35. 36. 37.

V. 16. Ξυναρπάζω] Hoc quoque confirmat priorem de ἀρπάσαι conjecturam.

V. 21. Ἄτοπον] Unaccountable. Rem nullius scopi intuitu factam, qui quidem nobis se prodit. Ante ἡμᾶς deest κατά.

V. 22. Εἴργασται] Passive sumitur à nonnullis, & παρ' ἐκείνου subauditum volunt. Atticorum tamen proprium est passivis sensu activo uti, ne dubites vide Antigon. p. 226. Ed. Steph. v. 13.

Τούτους ἐξετίσαμαι καλῶς
Παρηγγελκὼς μισθοῖσιν εἰργάσθαι τάδε.

Non fieri potest quin accusativ. τάδε regatur à verbo præcedente, sed exemplorum plena sunt omnia. Quin & versu abhinc secundo malo ὑπεζύγην activum, & ἐμαυτὸν subticeri. Vix enim nobis volentibus jugum imponitur ab aliis. ἀλώμεθα, γνώμης, scilicet.

V. 27. Αὐτοῖς &c.] σὺν αὐτοῖς. nec tamen liberum est ut præpositionem hic loci omnino inseras: ἰδίωμα enim Græcæ linguæ semper abesse postulat. Æschyl. p. 59. Ed. Plant. αὐταῖς ῥίζαις &c.

V. 28. Τρέπει] Νέμει vett. optimæque Editt. Quam quidem vocem Sophocli in deliciis fuisse probat Steph. & Casaubonus. Vide v. 513.

V. 30. Πηδῶντα πεδία] Sub. διά. frequens autem ille lusus apud optimos scriptores. Sic Oedip. πυθοίμεθ' ἰὼν πιθοῦ.

V. 37. Τῇ σῇ &c.] Vid. Stephani animadv. Legitur τῆς σῆς κυνηγίας, i. e. πρόθυμος τῆς σῆς &c. potest autem non minus concinne sequi εἰς ὁδόν. tum vero interpretor: into the track or road of your hunt. Conjeci olim εἰσόδῳ, *ipsis tuæ venationis initiis favens*.

V. 41. Ὅπλων] Subaud. ἕνεκα, quæ quidem præpositio sexcentis in locis deest, nec tamen pigebit admonere meum lectorem: pueris enim scribo.

V. 42. Ἐπεμπίπτει] Scio quid ad hunc locum Schol. mihi tamen videtur probabilius ἐπεμπίπτειν esse transitivum: frequens hæc enim apud Poetas verborum mutatio. Valet itaque, *incidere facit, immittit*.

V. 51. Δυσφόρους] Παραφόρους, Scholiastes, i. e. *perversas, insanas.* ἀνευθυβόλους, *à scopo aberrantes*. Anglice miscarrying, misleading. Utinam exemplis confirmatam dedisset hanc verbi vim. Nunc libentius interpretor *ægras imagines*, quales iis,

Gg quibus

quibus ægre est, oboriuntur. γνώμας τὰς τ̃ δυσφόρων, *ægrorum somnia & species:* quas ideo γνώμας vocat, quia error iste à mente potius, quam oculis ortum habuit. Simplicius l. 448. rem expressit. Quem locum vide.

V. 52. Ἀνηκέςε] *Atroci, exitiali.* Metaphora à morbis insanabilibus ducta: regitur autem ab ἀπὸ in ἀπείργω. Sic interpretes. At si δυσφόρυς genitivum post se admitteret (quod sane vero, apud poetas saltem, non absimile est) tum genitivus iste χαρᾶς sedem haberet mihi gratiorem, mens autem loci hæc foret: Ego illum prohibui *cæde ducum,* imagines nimirum ob oculos objiciendo quæ ab exitiali illo gaudio deflecterent. Vel apertius sic:

Illum ego detinui concepto vulnere [funere] *falsas*
Objiciens oculis species, atque irrita feci.
Gaudia ———

V. 51. Ὅτ'] Repete ἴσθ' cum ὅτ' ut prius.

V. 60. Ἕρκη] Apposite ad rem præsentem, cum de gregibus sermo esset.

V. 61. Ἐλάφησιν] Vox rarior. Æschyl. pag. 22. v. 11. λαφύσσων, Ed. Plant.

V. 62. Αὖ] Altera parte. Quid si εὖ legatur? *rite & ex animi sententia colligatos &c.*

V. 70. Ἀπείρξω — εἰσιδ'] Ἀπὸ τ̃ εἰσιδεῖν εἴρξω.

V. 78. Τῷδε τἀνδρὶ] i. e. mihi. δηκτικῶς. pag. 161. v. 2. Ed. Plant. exempla nullibi non occurrunt. Vide v. 446.

V. 82. Ἰδεῖν] Ald. Ed. vetustiss. ὄκνῳ legit.

V. 88. Ἥθελον] Subaud. μᾶλλον. ut sæpe fit. Anacreon, ὅτα πίλας τὰ μοίρας. subaud. μᾶλλον. Hujus quoque vocis frequens & elegans ἔλλειψις.

V. 96. Κȣ̓κ ἀπαρν.] Creditur hic illud μὴ abundare; sed revera negatio illa neutiquam abundat, sed vere negat. Significat enim τὸ ἀπαρνȣ̃μαι in hisce. *nec enim ipse negans dico me non tinxisse.*

V. 98. Αἴανθ] Me: δηκτικῶς.

V. 103. *Perditam istam vulpem interrogas me quo in statu sit?* Constructio apud Comicos familiaris. Vide Schol. vide v. 118.

V. 109. Nota verbum ἐργάσῃ cum duplici accusativo.

V. 112. Χαίρειν] Camer hæc verba sic vertit. *Avere, Minerva, in aliis te jubeo.* Alii: *Cæteris in rebus tibi quod gratum est fieri velim.* Qui enim optat aliquem gaudere, ea optat unde gaudeat. At vide si non melius sic interpretatus fueris: *Vale, Minerva: cætera tibi permitto.* χαίρειν vice imperativi ponitur, ut vers. 12. Horat. *Permitte Divis cætera.* σ' pro σοὶ, ut μ' pro μοὶ, vers. 191.

V. 118. Ἰσχὺν ὅσην] Vide consimilem σύνταξιν versu 103.

V. 124. Τὸ τȣ̃τȣ] Μέρος.

V. 127. Ὑπέρκοπον] Schol. ὑπέρκομπον debere scribi dicit. μ autem

autem ejectum erat metri gratia. Siquidem addicerent libri, de metro facile foret negotium. Nam τέκνον, τέχνη, σταθμὸς, στέφω, ὕπνος leguntur prima brevi, ut doctis, si opus esset, probarem.

V. 130. Βαρὺ] Leg. & βαθὺ. Hinc βαθυκλέαν.

V. 154. Ἰεὶς] βέλος.

V. 157. Ἔχονθ'] *Bene se habentem, laute agentem:* πρὸς γὰρ τὸν λαμπρὸν ὁ φθόνος βιάζεται. Sic Ἄδηλος, in Epigr. delectu. Ἕρπει] Non *serpere* tantum significat, sed *ire, tendere, accedere.* Æschyl. pag. 26. v. 3. Ed. Plant. πᾶν μοι φοβερὸν τὸ προσέρπον.

V. 161. Μικρῶν] Ald. Ed. μικροτέρων.

V. 163. Τούτων γνώμας] Sana de his rebus judicia, utque mutuis operis potentes pauperesque erigunt se invicem & eriguntur.

V. 164. Θορυβῇ] Anglice: **You are clamoured against.** Cave nomen esse credas: est enim vocis passivæ.

V. 169. Ὑποδδείσ.] Hic aoristus indicat timoris cessationem; adeoque recte Scaliger explicat: *defuncti metu.*

V. 176. Ἀκάρπωτον χάριν] Quid Scholiastes uterque censet lege: Ego cum priore διὰ ante χάριν intelligendum puto, ut supra, v. 93. ἄγρας χάριν. loco autem ἀκάρπωτον malo ἀκαρπώτου, quod cum νίκας cohæreat. Mutatio pene nulla, sententia expedita: *Ob victoriam quandam, unde sibi nihil fructus rediit.*

V. 179. Ἢ τιν' Ἐνυαλ.] Hic Scholiastes Enyalium quendam à Marte diversum confingit, qui tamen nullus fuit. Lege modo ἥντινα, nec ulterius dabitur dubitandi ansa. Χαλκοθώραξ perpetuum Martis Epitheton. ἥντινα tamen pro simplici τινά. *vel nescio quam nactus querelæ causam.* Vice versa ὅντινα pro ὃν legitur pag. 158. v. 9. Ed Plant.

V. 181. Δορὸς] Subaud. ἕνεκα.

V. 185. Πιτνᾶν] Prima brevi.

V. 190. Τᾶς — γενεᾶς] Pendet iste genitivus ex ὁ & ἐκ subauditis. Nisi quis malit βασιλεὺς per indignationem subticeri. Neutrum omni ex parte placuit; adeoque conjeci παῖς ἀντὶ τᾶς legendum. Quod contumeliam continet gravissimam.

V. 191. Μ'] Pro μοί. Eleganter autem abundare videtur, vel idem valet ac Latinum illud, *si me ames.*

V. 198. Βάσταις] Metaphoram hic volunt Interpretes, & similitudinem. Forsan nihil aliud designatur nisi locus ubi Ajacis tentorium.

V. 202. *E genere indigenarum Atheniensium.* ἀπὸ γενεᾶς—ὄντες.

V. 204 Τοῦ Τελαμ.] *Filium Telamonis à patria longe peregrinantem.*

V. 206. Insaniam ex melancholia ortam describit.

V. 208. Τί δ' ἐνήλ.] Varie interpretes ad hunc locum. Camer. *Quid post diuturnum malum attulit novum hæc nox onus?* Naogeorgus: *Qui tandem gravis illum morbus nocte hac invertit?*

quod pro tranquillitate priore nox hæc attulit calamitatum onus? Sic ἀιωρίας pro ἠρεμίας ab ἤρεμος *tranquillus* sumendum est. Legitur & ἀνηρεμίας quod cum βάρος jungas oportet: *quod molestiæ onus?* Neque obstat lex metrica, fit enim συνίζησις in εω. Hic quoque vides verba passivæ vocis vim habere transitivam.

V. 219. Χειρο.] *Manu discerptas.* Αἱμαξ.] *Sanguine tinctas.*

V. 220. Χρηστήρια] pro Διαχρηστήρια quasi mactamenta, hostias, à Διαχρᾶσθαι interficio. Henr. Stephanus.

V. 222. Αἴθωνος] Leg αἴθοπος, quod metri ratio postulat. Vide modo ἀντιστροφὴν sequentem, postulat & sensus. μελαγχολῶ τῷ καὶ θολερῷ χεῖται χειμῶνι νοτίας. Jure igitur αἴθοψ, v. 968. κελαινώπαν.

V. 227. Περιφρασ.] Vide supra v. 157.

V. 235. Ὧν τὰ μὲ] Ed. Ald. & vetustiores, ὧν τὴν μὲ, versu sequenti τὰς δὲ, utrumque male, neque agnoscit Scholiastes.

V. 245. 6. Ὥρα τιν' ἤδη κάρα κα-
λύμμασι κρυψάμενον] Ald. Ed. & vetustiores,
——————κράτα
Καλύμμασι κρυψάμενον. & hoc male, neque enim sic respondent priori strophæ.

V. 250. Μεθεῖναι] Aut *celeriter conscendens transtrum pontivagæ navi remigia permittat.* Ita Stephanus hæc verba intelligi velle videtur: nos εἰρεσίας vertimus ut genitivi casus nomen, post autem μεθεῖναι *vela* subaudiri volumus, aut *funem.*

V. 259. Φρόνιμος] Ed. vetustæ Φρόνιμοι. Sic igitur interpreteris velim: *Et nunc sanum novus dolor tenet.* Et hæc lectio κομψικωτέρα est, & Græcam magis sapit linguam.

V. 265. Νέμοι] Vide v. 28.

V. 267. Ξυνὼν] De ξυνὼν, παρὼν, ἰὼν, ἔχων, & istiusmodi participiis fusius forte agetur.

V. 279. Πληγῇ &c.] Vide v. 186.

V. 282. Τίς γὰρ] Malo τίς ἄρ. Sed nihil muto: προσέπεσε, *advenit.* Hoc scias velim, Lector, multas apud Græcos tragœdiæ Scriptores crebro voces occurrere, quæ nativam non retinent vim, sed laxiori usurpentur sensu. Paucas accipe: ὁρμᾶν pro simplici βαίνω nullo adjecto motus impetu. ἕρπω, *serpendi* sensu prorsus omisso, προστίζειν *adest*, nullo ad posituram respectu habito. De quibus ut jam moneo, ita porro pro re nata moniturus sum. Hujusmodi enim ἰδιώματα Auctorem ab Auctore distinguunt, vide jam, v. 287. ἐξόδους ἕρπειν & 290. ἀφορμᾶς πεῖραν. Easdem conjungit voces pag. 329. v. 9. 13. Ed. Plant. de eadem re loquens.

V. 295. Τύχας] Editt. vetustæ, πάθας. Inusitata vox, ideoque digna contextu: Illa autem altera videtur esse glossema. Vide v. 313. συντυχὸν πάθος.

V. 314. Ἐν τῷ] Subaud. μέρει.

V. 321.

V. 321. Ἀψόφητος] Ἄνευ ψόφου κωκυμάτων ἄ:.

V. 356. Γένος — ὅς] Nota σύνταξιν. Personæ habetur ratio, non dictionis.

V. 366. Ἀφόβοις] Fearless. Ironice. *Egregiam vero laudem & spolia ampla refertis &c.* Virg. sic postea v. 375. κλυτοῖς αἰπολίοις, & ἐρεμνὸν αἷμ' (*ignobilem* enim interpretor) eadem Ironia utitur. Quæ ad hæc Scholiastes attulit, nullo modo satisfaciunt.

V. 387. Ἰὼ] Editt. vett. ὦ Ζεῦ προγόνων προπάτωρ.

V. 390. Διοστάρχ.] Supra δικρατεῖς.

V. 394. Ἔρεβος — ὦ φαεννὸν] Editt. vett. ἔρεβος ὦ φαεν—νότατον. male.

V. 397. Θεῶν γένος] Hic est verborum ordo: οὔτε γὰρ ἔτ' ἄξιος εἰμὶ βλέπειν θεῶν γένος, οὔθ' ἀνθρώπων ἐφημερίων εἰς ὄνησίν τιν' ἐμήν.

V. 405. 406. Τὰ μὲν] *Siquidem nihil superest mihi* nec à Diis, nec ab hominibus *solatii, O amici.* Τοιοῖσδε] Lego τοῖσδε, & tollo δὲ versu proximo: *Hisque, quæ adsunt prope, stultis prædis adsternimur.*

V. 425. Δέρχθη] Nota vocem hanc passivam cum accusativo τινά.

V. 435. Στρατοῦ] *Ab exercitu: Cujus pater &c. cum singulari emeritus esset fortitudine pulcherrima ab exercitu præmia &c.*

V. 445. Impost.] *Callida consilia.*

V. 447. Mei] Lege *hi.*

V. 448. Ἀπῇξαν] Ab ἀπαΐσσω resilio, deducit Camerarius; at ego cum veteribus Editis malo illud punctum tolli, & a verbo ἀπάγω deducere. Subaud. autem ἐμέ.

V. 451. Tendentem] *Intentantem, instruentem meam errare facit.*

V. 457. Καὶ νῦν] Sic Virgil. l. 2. Sinonem inducit:

—— *Quid jam misero mihi denique restat?*
Cui neque apud Danaos usquam locus, insuper ipsi
Dardanidæ infensi &c.

V. 469. Ἀλλ' ὧδέ γ.] —*magno mercentur Atridæ.* Virgil.

V. 471. Δηλώσω — γεγώς] Nota σύνταξιν· ἀντὶ τοῦ, δηλώσω με μὴ γεγονέναι. Sic Elect. v. 24. φανερῶς γεγώς.

V. 475. Τί γὰρ] Diu versanti mihi hunc locum tandem occurrit sic exponere: *Quid enim præ die dies, quod juvat, habet, addita* vitæ, & *semota à morte,* nempè viro semper cum malis conflictanti? Vel sic: *Quid voluptatis addit differtue* semper misero *una dies præ alia, præter mortem?* In hac autem interpretatione προσθεῖσα ἔχει &c. ponitur pro προστίθησι καὶ ἀνατίθησι. πλὴν autem ante τοῦ κατθανεῖν subintelligitur, vel μᾶλλον, quod sæpe subauditur; nondum acquiescit animus, adeoque iterum libet tentare: *Quid voluptatis præ dia dies habet. addens* se (ἑαυτὴν) & *differens* diem *mortis?*

V. 491. Τὸ σὸν] Πρὸς subaud.

V. 503

V. 503. Τρέφει] *Sustinet, alit.*

V. 511. Διοίσει] *Vitam agitabit:* leg. enim διαφέρειν αἰῶνα eo sensu. Verbatim, *perferet vitam*, i. e. *peraget*. Vulgaris tamen sensus non est cur displiceat, *distrahetur, huc illuc feretur.*

V. 547. Τὰ πατ.] Κατὰ τὰ πατρόθεν ἤθη.

V. 549. Δεῖ &c.] Sic converte: *Oportet tenerum fingere, & similem reddere natura.*

V. 560. Tuæ] Leg. *huic*. Præsentem enim matrem digito monstrat.

V. 598. Θεῶν] Monosyllabon est per συνίζησιν.

V. 608. Εὐνώμα] Ut vas fictile rota figulina tritum, ita ego motu temporis volubili attritus.

V. 611. 'Ανύστιν] Supple ὁδὸν εἰς. Vide p. 230 v. 17. Ed. Plant.

V. 616. Ξύναυλος] *Commorans* Naogeorg. *consors* Camer. in Stephani Thesauro non invenitur. *Qui in eodem stabulo est, qui cohabitat, & alteri contubernalis est.* γείτονες καρδίας μέριμναι.

V. 620. Pascens] Vide Schol. Omnium tamen interpretationum hæc videtur simplicissima; neque possum non putare Sophoclem velle alludere ad greges ovium ab Ajace perditarum. Minerva dicit v. 60. εἰσέβαλλον εἰς ἕρκη κακά. v. 616. ξύναυλος ipse vocatur. Nunc οἰωβότης.

V. 622. Priora] *Priora autem manuum opera.*
Maximæ virtutis indicia &c.

V. 653. Ætas] *Ætas Æacidarum*
Præter unam hanc, i. e. *ætatem.*

V. 668. Γαίας] *Defossum ibi terræ, ubi nemo &c.* γαίας enim pendet ex adverbio loci sc. ἔνθα.

V. 674. "Αδωρα] Frequens illa dictio Poetis, vide pag. 393. v. 5. Ed. Plant. ἄοικος εἰσοίκησις. 404. 18. ὕπνος ἄϋπνος. Æschyl. p. 40. v. 26. Ed. Plant. χάρις ἄχαρις. 54. 1. ἀπόλεμος πόλεμος, ἄπορα πόριμος. Sic Latini: *innuptæ nuptiæ.* μήτηρ ἀμήτωρ apud Elect.

V. 682. *Equis vectæ candidis diei ut &c.*

V. 684. 685. 'Εν — πειδήσας] 'Εμπειδήσας.

V. 687. Lege: *Ego enim jam novi.*

V. 690. Insere *abhinc* ante *destino.*

V. 695. *Meus quæ cupit animus.*

V. 727. *Respuit ab animis in Atridas*
Magnisque jurgiis.

V. 742. Τῦ προσ.] Sub. εἰς τέλος τῦ πρ. δρόμυ.

V. 745. Δηλῦν λόγον] Malo δῆλον λέγειν. Sic enim clarius cernitur ἀντίθεσις.

V. 769. 'Ανόητα σώματα] *Vis consilii expers mole ruit sua.* σώματα, optime, cum agitur de hominibus animo & intelligentia vacuis; potest etiam simpliciter dici pro ἄνδρας. Sic Ovid. *Et premitis pictos corpora Graja toros.*

V. 773.

V. 773. *Statim erumpens.*
V. 775. *Ille enim ipsum alloquitur.*
V. 789. Τῆδ' ἐσθ'] Pro τῇδ' ἐσθ', hoc autem pro τῆδε ἐστι, ἐστι ἐσί, i. e. περίεστι.
V. 790. Σὺν θεῷ] Elegantissime: post enim castigatam Ajacis arrogantiam, secundum officium, ut dicitur, Calchas pendere totus ex Diis deberet.
V. 800. *Venit nuncians nobis.*
V. 810. Ὄλεθ.] Subaud. ἔξοδον alii.
V. 811. *Edoctus.*
V. 814. Τύχης] Subaud. ἕνεκα.
V. 820. *Agam.*
V. 827. Εἶτα] Leg. εἰ τό.
V. 833. Τῷδ' ἀνδρὶ] Sc. mihi. Sic supra sæpius annotavi.
V. 844. Πηδήματι] Lege πισήματι. Sic v. 1052.
V. 848. Μαθεῖν ἐμὲ] Vide v. 103. pro μαθεῖν ὡς ἐγώ.
V. 861. *Sane vero illa &c.*
V. 869. Πανός.] Mira simplicitas, & familiaris Sophocli & Homero, v. 289. Sic in Oedip. v. 59. γνωτὰ κοὐκ ἄγνωτά μοι.
V. 883. Ἐστίβη] Hæc quoque vox passiva accusativum habet.
V. 886. 887. Omnino vide Scholia, quæ hæc verba aliter interpretantur, idque forsan non male.
V. 910. Νόσων] Sub. ἕνεκα. Sic 919.
V. 968. Κελαιν.] Scholiast. sic interpretatur: *certe* κατὰ θυμὸν, ἐὸν βαθυγνώμονα, *secum in animo profunda cogitante nos irridet.*
V. 979. Τἀγαθὸν] Huc alludit Horatius:

Virtutem incolumem odimus
Sublatam ex oculis quærimus invidi.

V. 981. Legitur à quodam ἐ κείνοις. Sed μᾶλλον sæpe subauditur, itaque non accedo.
V. 1002. Ποῦ γῆς] Regitur iste genitivus ab adverbio loci.
V. 1005. Κεινῆς] Κενὸν malo, *catulum leæna* matre *orbum.*
V. 1041. Ὠφελήσιμοι] Rectius mihi videtur ὠφελήσιμα.
V. 1068. *In quem finem tot impendisti verba?*
V. 1069. *Visa* sunt hæc *mihi, visa quoque* illi *qui præst exercitui.*
V. 1070. *Nullam ergo causam prius dixeris?* ἥντινα iterum pro simplici τινά, ut supra 179.
V. 1072. Insere vocem *Achivis,* quæ præ incuria nostra interciderat.
V. 1077. Διὰ ante τήνδε subauditur.
V. 1081. 82. Observa pleonasmum in σῶμα, præcesserat enim αὐτὸν, quod ad sententiam satis fuisset absolvendam. Vel sic: *quod ad illum &c.*
V. 1105. Et hic & versu superiore ἃ 'ν legendum, ponitur enim pro ἃ ἄν. Alioqui versus contra metrum peccaret.

V. 1138.

V. 1138. Κἂν ὑπερδ.] Nihil miri est, si convitia, quæ quidem sunt verissima, mordeant eum cui ingerantur. mutanda igitur est versio. *Dura enim, si simul quoque justa admodum fuerint, mordent.* Nota δάκνει prima brevi.

V. 1145. Δίκαια] Atticæ est elegantiæ adjectivis uti pluralibus, ubi vulgo singularia invenies: δίκαια pro δίκαιόν ἐστι. Supra σχέτλια ἀντὶ σχέτλιον. & mille locis.

V. 1158. Locum hunc ita verte: *Non major* nobis à te *dolor orietur, ut videtur, quam tibi à nobis.*

V. 1165. Πατεῖν] ὥστε τινὰ πατεῖν. vel passive sumitur.

V. 1209. Εὐρώδη] Ita interpretor quasi esset εὐρυεδῆ, quod ipsum impense placeret, & metro responderet. Homerus Trojam vocat εὐρυάγυιαν, cur igitur non & εὐρυεδὴς vocetur? neque moror, quod vox ista absit à Lexicis; non tanti est id, ut deterreat me, qui sciam plurimas abesse, easque optimæ notæ.

V. 1216. Ὦ] Vett. Editt. ἰὼ, quod præstat.

N. 1238. Προσείποιμεν] Lege προσείποιμ' ἄν.

V. 1253. Ποῖ] Subaud. ἕνεκα. mox ante ὅπλων subaud. ἀντί.

V. 1291. Ἔρχων] Subaud. αὐτός.

V. 1349. Πρὸς θεῶν] Subaud. ἱκετεύω.

V. 1357. Ἄριστον] Cur itaque arma sibi adjudicata non respuit Ulysses, ut Ajaci inferior? atqui modeste de se Ulysses, & ad gratiam cum Teucro ineundam.

V. 1374. Ἀρετή] Vel *misericordia*, vel *generosi animi elevatio.* Pity or Honour. utramque enim vim habet. πολὺ loco πλεῖον ponitur.

V. 1431. Subaud. πονῶν.

Finis Notarum in Ajacem.

VA.

Variæ Lectiones in Ajacem *è quatuor Codd. MSS. in* Bibliotheca Bodleiana, *viz. duobus* Baroccianis N° 61, & 66. *uno* Bodleiano, N° 731. *uno itidem* Laudiano N° 2929. *è quibus etiam desumpta sunt Scholia inedita.*

Verf. 10. Χ ἴχνος Bar. 2. 23. τρανὲς ἀλλ' ἀλώμεθα Bar. 1. 2. 24. κἀγὼ θέλων ἐ Bar. 2. 28. νέμει B. Bar. 1. 2. L. 32. κατίχνιος Bar. 1. 39. τἄργα L. B. 44. βούλευμ' L. B. 61. πόνου L. B. Bar. 1. 2. 63. πολέμιοις τε Bar. 1. 78. τῶδ' ἀνδρὶ Bar. 1. 80. ἐν δόμοις L. B. Bar. 1. 2. 81. ἐμφανῶς B. 2. 82. ἐξέστην ὄκνῳ L. B. Bar. 1. 2. 85. τὰ βλέφαρα Bar. 2. 91. Διογενὲς Bar. 2. 101. Λαερτίου Bar. 2. 107. κερδαλέοις Bar. 1. 2. 112. τἄλλ' B. L. 114. τὸ B. Bar. 2. 117. παρίστασθαι Bar. 2. 129. ἄρῃ B. L. Bar. 1. 2. 130. βάθει B. L. 134. ἀμφιρρύτου Bar. 1. 2. 148. πλάσσων Bar. 1. L. πλάσσων 'Αεὶ Bar. 2. 154. 'Εὶς λόγους Bar. 1. 2. 161. μικροτέρων B. L. σμικροτέρων Bar. 1. 2. 165. πρὸ ταῦ- B. ταῦ- L. ταῦτ' Bar. 1. 166. Addunt ἄναξ post χωρὶς B. L. Bar. 1. 2. 172. ἢ B. L. ταυροπόλα B. Bar. 1. 178. εἴτ' B. Bar. 1. L. 180. μομφὴν Bar. 2. 185. πολέμοισι B. Bar. 1. τόσον Bar. 1. L. 189. βασιλεῖς B. L. Bar. 1. 2. 190. Σισυφιδᾶν Bar. 1. 2. 193. ἕδρας B. L. Bar. 1. 2. 198. ὁρμᾶται ἐν B. L. Bar. 1. 2. 206. Αἴας - - - νοσήσας in uno versu, B. 210. Τελλεύταντος L. 211. λέγε Bar. 2. 215. πάθος B. L. 222. αἴθωνος B. L. 223. φάσκεν B. Bar. 1. L. 227. οἴμοι B. Bar. 1. 230. χερὶ Bar. 2. 231. βοτὰ καὶ, ita legit B. omisso tamen καὶ initiali in versu sequente. 233. καὶ θεῖν ηὖξεν B. L. Bar. 1. 2. 235. τὸν μὲν ἔσφαξ' ἐπὶ B. ἴσω σφάζ Bar. 1. ὧν τὴν μὲν ἴσω σφάζ' Bar. 2. ὧν τὴν μὲν ἔσφαξ' L. 236. τὰς δὲ B. L. 243. δαίμων τις Bar. 1. 2. 244. ἀνθρώπων Bar. 1. 245. ἤδη τοι κρᾶτα κα- B. Bar. 1. L. κρᾶτα προψάμενον, omisso καλύμμασι, Bar. 2. 254. ἔρη B. Bar. 1. L. 255. vox τυπεὶς non dividitur, sed integra huic versui tribuitur in B. 256. ἄπλατος ἴσχει B. L. ἄπλητος ἴσχει Bar. 1. 2. 258. Αἴας ἀΐξας Bar. 1. 2. 259. Φρόνιμον B. Bar. 2. L. totus hic versus deest in Bar. 2. 260. λιόασιν Bar. 1. 265. νέμοι Bar. 1. 2. 277. κακῶν B. 283. ξυναλγοῦσι B. 286. ἀμφήκεις Bar. 2. 290. ἀφορμᾷς L. 294. ἔλεξα L. 295. πάθας B. L. Bar. 1. 2. 297. deest τ' in Bar. 1. 300. φοιτᾶν Bar. 2. 301. ὑπαίξας B. Bar. 2. L. 305. ἀπαΐξας B. L. 306. σὺν Bar. 2. 307. διοπλεύων Bar. 2. L. 322. βαρυβρόμητος Bar. 2. L. 331. Τέκμησσα Bar. 2. 339. οἴμοι L. 348. 'Ιώ μοι φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων, Μόνοι τ' ἐμμένοντες ὀρθῷ νόμῳ. Ita è tribus versibus duos tantum facit B. deest μοι in Bar. 1. 2. L. 356. 'Ιὼ γένος ναΐας ἀρωγὸν τέχνας 'Αλίαν δὲ ἐπέβας ἑλίσσων πλάταν. Σέ τοι σέ τοι μόνον δέδορκα Ποιμένων ἐπαρκέσοντ'. ἀλλά με συνδάιξον.

ita versus hos distinguit B. deest μοι in Bar. 2. L. 365. δαΐοις B. L. 368. οἴμοι Bar. 2. 370. αἲ ter solum ponitur in B. L. 372. ὦ δύσμοιρος L. B. Bar. 1. 2. ὡς χερσὶ μὲ Bar. 2. B. 374. ἐλίπεστι L. 379 ἁπάντων τ' αἰὼν Bar. 1. 2. 380. Λαερτίου L. B. Bar. 1. 2. κακὸν Bar. 1. 2. 384. δὴ deest. L. B. Bar. 1. 2. 387. ὦ Ζεῦ Bar. 2. L. προπάτωρ L. B. Bar. 1. 2. 390. ὀλέσας Bar. 1. L. βασιλεῖς L. B. Bar. 1. 2. 392. ταῦθ' B. L. κἄμοῦ Bar. 2. 394. ἔρεβος Bar. 1. 2. L. Ἰὼ σκότος ἐμὸν φάος ὦ φαεννότατον ὡς ἐμοί, Ἕλεσθε μ', ἕλεσθέ μ' οἰκήτορα. B. 395. φαεινότατον Bar. 1. φαεννότατον Bar. 2. L. 396. Ἕλεσθέ μ', ἕλεσθέ μ' οἰκήτορα Bar. 1. 2. L. 399. Ἔτ' ἄξιος βλέπειν τιν' εἰς Ὄνησιν, &c. B. 401. γ' deest Bar. 1. 403. φύγοι Bar. 1. 2. 408. Πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι. B. 412. ἁλίρροθοι Bar. 1. L. ἁλίρροτοι Bar. 2. — ἄντρα καὶ Νέμος, &c. B. 414. πολὺν πολύν με δαρόν τε δὴ Bar. 1. 2. L. πολύν με δαρόν τε δὴ L. 416. — μ' οὐκέτι Ἀμπνοὰς ἔχοντα τοῦ-τό τις, &c. 419. Ἰὼ B. Bar. 2. 422. ἴδητε Bar. 2. 423. Ἐξερέω μέγ', οἷον Οὔ τινα Τροία στρατοῦ Δέρχθη μολόντ' ἀπὸ Ἑλλανίδος· ταννῦν δ' ἄτιμος Ὧδε πρόκειμαι. B. 425. ἀπὸ L. 427. πρόκειμαι Bar. 1. 2. L. 430. αἲ αἲ cum Circumflex. L. 443. Κράτος B. Bar. 2. L. 444. ἔμαρψ' ἄλλος Bar. 1. 2. 448. ἀπεῖρξαν Bar. 1. 452. Huic versui substernuntur alii duo sc. Εἰμὶ δ' ἄλλη θεοῖς γὰρ ὧδ' ἔδοξέ πω Καὶ σοῦ μάλιστα χερί, τοιγαροῦν ἔπει Ὥς σύ, &c. Bar. 1. 476. κατέθηκα B. 493. Συμμαχήσης L. 499. δουλείαν Bar. 1. 515. γάρ μοι L. 533. θάνῃ B. 537. τί δῆτα ὡς Bar. 1. 540. μάλ' Bar. 1. 2. 556. μάθοις Bar. 1. 558. δίξῃς L. 570. δίξῃ B. 572. μέχρις οὗ μυχοὺς Bar. 1. 583. τραύματι Bar. 1. 600. εἶτ' ἐμῶν Bar. 1. 603. πᾶσι π. ἀεὶ B. ἀεὶ Bar. 1. 2. 607. λειμώνιδι ποίᾳ μάλων Bar. 1. 2. ποίᾳ μήλων L. B. 608. εὐνόμᾳ L. B. Bar. 1. 2. 609. .... τρυχόμενος κακὰν Ἐλπίδ' ἔχων ἔτι μέ ποτ' ἀνύσειν B. 613. αἵδαν Omn. 615. Ἰώ μοι μοι L. Bar. 1. 2. Ἰώ μοι μοι μοι B. 618. πρὶν δή ποτε Bar. 1. 2. L. 619. κρατοῦντ' ἐν ἀρεῖ Omn. 620. φρενὸς οἰοβώτας omisso γ', Omn. 622. χερσὶ Bar. 1. 2. χερσὶν L. 623. μέγιστ' Bar. 1. 2. L. 631. φρενομόρως B. Bar. 1. L. 638. νόσοις Bar. 1. L. 641. κρείσσων L. ἀΐδα Omn. 645. μάταν Bar. 1. 2. 644. Ἄριστος deest. B. Bar. 1. 2. 649. τλάμων Bar. 1. 653. αἰακιδᾶν Omn. 654. deest γε Bar. 1. 656. φύει τἄδηλα Bar. 1. 666. μολὼν τε B. L. 676. μαθησόμεσθα Bar. 1. 2. 677. τιμῇ Bar. 1. 2. 683. ἐκοίμισε Bar. 2. 686. γνωσόμεσθα Bar. 2. 694. ἴστω Bar. 2. 697. σημάνατε Bar. 2. 703. .... Πάν. Ὦ Πάν, &c. B. Ἰὼ semel tantum legitur, ut & Πὰν in versu sequenti. Bar. 2. 705. χιονοτύπου B. Bar. 1. L. 707. χορευτοῖς Omn. 708. νύσια B. Bar. 1. 709. ὀρχήματ' B. Bar. 1. L. 722. θέσμι' B. Bar. 1. 2. 725. μακρὸς Bar. 1. 2. Πάνθ' ὁ μέγας χρόνος μαραίνει τε καὶ φλέγει· Κοὐδὲν ἀναύδητον φατίζοιμ' ἄν, εὖτέ γ' ἐξ ἀέλπτων. ita B. 726. κοὐδὲν Bar. 1. L. Κοὐδὲν ἀναύδητον φατίζοιμ' ἂν Εὖτέ γ' ἐξ. Bar. 2. 728. μετεγνώσθη B. L.

729. θυ-

729. θυμὸν Omn. 735. ἐνείδησιν Bar. 2. 736. καὶ ὅτις B. 738. σύναιμον . . . . ὑφείσθ Bar. 1. 2. 741. κολεῶν L. 742. προσαιτᾶται Bar. 2. 744. ἢ μὴν B. 748. ’ἰὼ ter legitur in Omn. 754. τι B. 761. οἷος Bar. 2. 809. πάρεσ. ἐκεῖνος Bar. 2. 816. ἀνθηλίως Bar. 1. ἑσπερίως B. 836. λαχεῖν Bar. 1. 2. 837. φάτιν Bar. 2. 866. μόλων Bar. 1. 878. πᾶ ter. B. L. 880. αὖ pro γὰρ B. 886. βολῶν Omn. 889. ἀλιαδᾶν Bar. 1. 2. 894. deest γε in Omn. 895. . . . Πλαζόμενον Λεύσσων ἀπύοι B . . . . πλαζόμενον Λεύσων ἀπύοι Bar. 1. 2. L. 897. Σχέτλια γὰρ ἐμέ γε τῆ μακρᾶν ἀλᾶται Πόνων, ἐρίω μὴ πελάσαι δρόμω Bar. 1. 2. L. 900. λεύσσειν Bar. 1. 2. 901. ’Ιὼ bis in Omn. 905. Τίνωσαν Bar. 2. 910. ’Ιὼ Bar. 1. 2. L. 911. ’Ιώ μοι κατέπεφνες ἄναξ Τόνδε συνναύταν. ’Ιὼ τάλας, ’ιὼ ταλαίφρων γύναι. L. ’ιώ μοι. Bar. 1. 2. 913. ’ιὼ τάλας B. Bar. 1. 914. ’ιὼ ταλαίφρων B. Bar. 1. 915. τοῦδ’ B. 916. ἄρ’ L. 919. ’ιώ μοι Bar. 2. 920. οἷος Bar. 1. 2. αἱμάχθης B. L. 921. τ deest Bar. 1. 2. B. L. 925. posterius ὁ deest Bar. 2. 932. βασάσῃ Bar. 1. B. L. 937. 938. ῎Εμελλες τάλας, ῎Εμελλες χρόνω Bar. 1. 2. B. ῎Εμελλες χρόνῳ L. 943. ὦ μόφρων Bar. 2. 946. ἄρ’ ἦν ἐκεῖνος Bar. 1. 2. ἄραγ’— ἄρ’ ἦν B. 949. ’Αχιλλέως deest Bar. 1. 2. B. L. ἔχετ’ B. L. 951. ἤπαρ ἥδε γυναίκα Bar. 1. 2. 959. ναῦν Bar. 1. 2. B. L. 961. ῎Αναυδον ἔργον ’Ατρειδᾶν τῶδ’ ἄχει Bar. 1. B. L. ’Ατρειδᾶν Bar. 2. 965. κἂν μὴν desunt B. L. 970. πολύτλας Bar. 2. 971. τοῦ Bar. 1. 2. B. 974. Ξύν τε διπλοῖ βασιλῆες Bar. 1. 2. B. βασιλῆες L. 980. ἴσησι Bar. 2. 984. πῶς δῆτα B. L. 989. ’Ιὼ ’ιώ μοι μοι B. L. 1007. ἐγγόνοις Bar. 1. 1010. ἐκεῖνος B. L. 1013. ‘Οδὸς θ’ ὁδῶν πασῶν ἀνιάσασα δὴ Bar. 1. B. 1019. κλύων δείλαιος Bar. 1. 1038. ἀπορριφήσομαι Bar. 1. L. 1047. τὴν τύχην B. 1050. ’Εγνάμπτετ’ Bar. 2. 1054. ᾅδης Bar. 1. 1055. ἂν pro ἐν L. 1072. ῎Αγειν ’Αχαιοῖς . . . φίλων Bar. 2. ῎Αγειν L. 1078. αἰχίσω μόρῳ Bar. 1. 1087. θανόντος γ’ ἄρξομαι B. L. 1095. αἰδοῦς Bar. 2. 1105. ἂν τυτώμεθα Bar. 1. 1119. ’ςρατηγοῖς Bar. 2. 1132. ἐνώμοτος L. 1135. δὲ deest Bar. 2. 1143. ὡς δεινὸν τρέφει B. L. 1150. παρόν. Bar. 1. 2. 1151. αὐτοῦ spiritu leni Bar. 2. 1153. Μισοῦντ’ ἐμίσουν Bar. 1. 2. 1155. δικασαῖς οὐκ Bar. 1. 1162. Ναύτας L. 1164. κρυφεὶς B. L. 1165. ναυτίλων Bar. 1. B. L. 1187. πλησίοι Omn. 1189. προσελῶντες Bar. 1. 2. 1202. ἀρήγετ’ L. 1206. γ’ deest B. 1214. ἔδειξεν Bar. 2. 1215. ἄρη L. 1216. ’ιὼ πόνοι Omn. 1218. ἐκεῖνος B. L. 1219. βαθεῖαν Bar. 1. 1221. ὄπλοβον L. 1229. Καὶ πρὶν μὲν ἐννυχίου Omn. 1230. προβαλλὰ Bar. 2. 1234. γενοίμην Bar. 1. 2. 1242. μοι ἐς ὃ Bar. 1. 1247. ὑψηλ’ ἐφάνῃς Bar. 2. B. L. 1258. φανούμεθ’ Bar. 1. 1270. πλάθραι B. L. 1285. σμικρῶν λόγων Omn. 1289. κᾀνόητ’ B. 1291. ὑμᾶς ἐντὸς ἐγκεκλεισμένους Bar. 1. 1307. ποῖ βλέπων Bar 1. 2. B. 1308. τρῦφη Bar. 2. 1314. ἄλλοις B. L. 1320. ’κείνῳ Bar. 1. ’Αλκμηνῆνης γόνος Bar. 2. L. 1332. ἢ ἐμοὶ Bar. 1. 1346. ξυνηρετμεῖν Bar. 1. L. 1348. φίλων Bar. 2. 1358. ἀφικόμεθα Bar. 1. 1359.

ἐσδήκας γ' ἄν. Bar. 1. 1374. ὦ 'ρατί με Bar. 1. 2. 1375. βροτοῖς Omn. 1386. γ' deest in Bar. 1. 2. 1396. ἀυλεῖτε Bar. 1. 1403. ἀντιφέροντητος Bar. 2. 1410. Λαέρτε B. 1421. ταχύνετε Bar. 2. B. L. 1426. Παῖ, σὺ δὲ πατρὸς γ' ὅσον ἰχ... Omn. 1427. Στυγῶν πλευρᾶς B. L. 1428. τῶνδ' L. 1433. κλύειν Bar. 2. B. L.

Variæ Lectiones in Ajacem *ex Edit. Ald.* Venetiis 1502. *& Edit.* Turneb. Par. 1553.

Verf. 6. TΑκεῖνε Ald. 28. νέμει Ald. 32. legitur & αἴσσω 37. legitur quoque τῆς κυνηγίας. 52. leg. ἀνθκάσει. 64. κὐχ Ald. 71. αἰχμαλωτίδας Ald. 75. ἄρης Ald. 80. ἐν δόμοις Ald. 82. pro ἰδεῖν, ὄκνω Ald. 86. comma post ἂν in Ald. tum vero πᾶν pendet ex τεχνωμένη. 107. κερδανεῖς Turneb. 112. χαίρειν 'Αθάνα, Ald. 114. ἢ δὲ Ald. ᾧ δὲ Turneb. 122. comma post δύστηνον in Ald. 127. legitur ὑπέρκομπα, à Scholiaste. 130 βάθει Turn. 148. πλαῶσων Ald. 160. μικροτέρων Ald. 166. inferit ἄναξ post χωρὶς Ald. 180. μορφὰ Ald. 185. τόσον ἐν ποίμναισι πιτνῶν Ald. 189. βασιλεῖς Ald. 193. ἄρη Ald. 208. leg. ἀνημερίας. 222. αἴθοπος Turn. 233. ὤμοι κεῖθεν, κεῖθεν Ald. Turn. 235. τὴν μὲν, ἔσω Ald. 236. τὰς δὲ Ald. 245. κρᾶτα — proximo verfu καλύμμ. κρυψάμ. Ald. 256. ἄπλατος ἰσχὺ Ald. 258. αἴξας Turn. 259. φρόνιμος Ald. 295. πάθας Ald. 301. ἐπαίξας. 305. ἀπαίξας Ald. fed Turn. ἐπαίξας in margine. 322. βρυχώμενος Ald. 335. βοᾶν Ald. 348. μοὶ deest, Ald. 356. μοὶ deest, Ald. 367. οἴμοι Ald. 372. ὦ Ald. χερσὶ μὲν Ald. 374. ἑλίκεσι — καὶ Ald. 380. Λαερτίκ Ald. 384. δὴ deest, Ald. 387. ὦ — προπάτωρ Ald. 390. ὀλέσας βασιλεῖς Ald. 392. ταῦθ' Ald. 394. 395. ἔρεβος ὦ φαεννότατον Ald. 396. ἕλεσθέ μ' ἕλεσθέ μ' Ald. 399. τίν' Ald. 401. γ' deest Ald. 412. ἀλίρροθοι Ald. 414. με δακόντε δὴ Ald. 415. τροίαν Ald. Turneb. 416. μ' οὐκέτι Ald. 419. Σκαμάνδριοι Ald. 420. εὔφρονες. 421. με Ald. 427. πρόκειμαι Ald. 438. τροίας Ald. Turn. 443. κράτος Ald. 448. ἀπῆξαν Turn. in marg. 499. δούλιον Ald. 515. μοι Ald. 530 ἴδω Ald. 567. κοινῇ Ald. 572. pro ἂν leg. οὐ Ald. 583. θρηνεῖν Ald. 603. πᾶσι Ald. 607. ποᾶ μήλων Ald. 613. ἀίδαν Ald. 615. pro ὦ, ἰὼ Ald. 618. δήποτε Ald. 619. pro νικῶντ', κρατοῦντ' Ald. 620. φρενὸς οἰδότας Ald. 622 χερσὶ μέγιστ' Ald. 631. φρενομώρας Ald. 638. γέρως Ald. 644. deest ἄριστος Ald. 654. deest γε Ald. 677. τιμῇ *honori, optime*, fequitur enim τιμαῖς ὑπείκει Ald. 702. deest ἐν Ald. 794. ἀλί-

704. ἀλίπλαγκτε Turn. in marg. 712. πελαγαῖον Turn. 726. κῦδος Ald. 727. ἀναμόχθητον φατίζοιμ' ἄν, ὅτε leg. Ald. 736. ὅτις Ald. 738. ἀρχαίου Turn. 790. θεοῖς Turn. in marg. 791. τοιοῦθ' Ald. 812. ὦ 'νθρωπε Ald. 862. μάντεως Ald. 816. ἀνθηλίους Ald. & Turn. in marg. 836. λαχεῖν Ald. 842. προσπέσω Turn. in marg. 880. pro γὰρ, οὐ Ald. 890. ἴδοιμι Ald. 894. deest γε Ald. 895. 896. πλαζόμενον λεύσσων Ald. 897. 898. ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων Ald. 910. 911. ἰὼ Ald. 912. deest τὸ Ald. 913. 914. ἰὼ, ταλαίφρων Ald. 921. deest τὸ Ald. 937. deest δὴ Ald. 938. ἔμελλες χρόνῳ στερεόφρον Ald. 946. μέγας ἄρ' ἦν Ald. 949. deest Ἀχιλλέως Ald. 961. 962. ἄναυδον ἔργον Ἀτρειδᾶν Ald. 965. deest καὶ μὴν Ald. Ibid. ἄγαν γ'. 970. πολυ- Ald. 988. deest τι Ald. 1013. οὐδὲ θ' οὐδὲν ἀσπαστὸν ἀνάσσουσα δὴ Ald. 1041. παῦσαι, recte, Ald. 1072. ἄγειν Ald. 1078. αἰχίσου Ald. 1083. ἐμβεβλημένον Turn. 1143. pro μέγαν — δεινὸν Ald. 1165. ναυτίλον Ald. 1202. ἀρήγετ', ἴσ' Ald. 1214. ἐδήξω Ald. 1219. βαθεῖαν Ald. 1229. καὶ πρὶν μὲν ἐννυχίου Ald. 1247. ἐφάνης Ald. & Turn. in marg. 1285. pro πόνων, λόγων Ald. & Turn. in marg. 1320 γένος Ald. & Turn in marg. 1375. ἔκπαγλοι Ald. 1426. Παῖ σύ δὴ.

FINIS AJACIS.

ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

Υπόκειται ὧδε τροφεὺς πρεσβύτης, ἤτοι παιδαγωγὸς, δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ ἀδελφὴ αὐτοῦ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ αὐτῶν ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί. ὁ δὲ τροφεὺς ὑπεξέθετο τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς τὸν Στρόφιον, καὶ δι' εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτοῦ, δείκνυσιν αὐτῷ (ὡς εἴρεται) τὰ ἐν αὐτῷ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

ΠΑΡΑΣΗΜΕΙΩΣΙΣ.

Απειρόκαλον τὸ λέγειν ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι. τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγὸς, τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ. ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητὴς, τὸν τόπον τῆς σκηνῆς, τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας. τὸν συνόντα, ὅτι Πυλάδης. φησὶ γὰρ ὑποκάτιών, Πυλάδη, τί χρὴ δρᾶν, ἐν τάχει βουλευτέον.

ΣΟΦΟ.

ΣΟΦΟΚΛΕΟΥΣ ΗΛΕΚΤΡΑ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

ΠΑΙΔΑΓΩΓΟΣ τροφεύς.
ΟΡΕΣΤΗΣ.
ΗΛΕΚΤΡΑ.
ΧΟΡΟΣ ἐξ ἐπιχωρίων παρθένων.
ΧΡΥΣΟΘΕΜΙΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΑΙΓΙΣΘΟΣ.

SOPHO.

SOPHOCLIS ELECTRA.

PERSONÆ Fabulæ.

PÆDAGOGUS.
ORESTES.
ELECTRA.
CHORUS *ex Virginibus Indigenis.*
CHRYSOTHEMIS.
CLYTEMNESTRA.
ÆGYSTHUS.

ΠΑΙΔΑΓΩΓΟΣ, ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΧΡΥΣΟΘΕΜΙΣ, ΧΟΡΟΣ,

Ἴαμβοι.

Παι. Ὦ ΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν᾽ ἔξεστί σοι
Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ᾽ ἀεί.
Τὸ γὰρ παλαιὸν Ἄργος, οὐπόθεις, τόδε,
Τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·

Αὐτη

1. Ὦ τοῦ στρατηγήσ.] Πολλάκις παρατηρούμεν ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος· ὅπερ ἦν ἀναγκαῖον πρόσωπον. 2. Νῦν ἐκεῖν᾽ ἔξεστί σοι] προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν τί δή ποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν. 3. Ὧν πρόθυμος ἦσθ᾽] ἤγουν ἐπιθυμῶν, ὀρεγόμενος. ἦσθα δὲ, ὑπῆρχες. ἔστι δὲ Ἀττικισμὸς, ἀντὶ τοῦ ἐπεθύμεις. 4. Τὸ γὰρ παλαιὸν Ἄργος] Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην· οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως. Ἄργος ὁμωνύμως τῇ χώρᾳ· ὡς Ὅμηρος, Ἄργος τε Σπάρτη τε. παλαιὸν δὲ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. ἔστι δὲ ἔτι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον ὡς ἀπ᾽ οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη. Ἄλλως. τὸ παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται (τὸ) νέον, ὡς παλαιὰ Ῥώμη λέγεται πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστὶν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονὸς, οἷον παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα. καὶ ἁπλῶς τὸ παρῳχηκός· ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφὸς, οὐ μὴν δὲ παυσάμενον· καθ᾽ ὃ λέγεται παλαιὸν Ἄργος. Ἄργος δὲ τὰ περὶ τὰς Μυκήνας χωρία λέγει· καὶ αὐταὶ αἱ Μυκῆναι λέγονται Ἄργος. Μυκῆναι δὲ ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις· ὥσπερ Σπάρτη, ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας· Λακεδαιμονία δὲ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία ἐντὸς τῆς Πελοποννήσου. 5. Τῆς οἰστροπλῆγος] τῷ οἴστρῳ, ἤγουν μανίᾳ, πληγείσης. τὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεὶ (οἷον ἔμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην καὶ ἐκτραπέντων) εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικὰ (οἷον βουπλὴξ τὸ κέντρον

τὸ

PÆDAGOGUS, ORESTES, ELECTRA, CHRYSOTHEMIS, CHORUS.

Iambi.

Pæd. O Agminum ductoris ad Trojam olim
Agamemnonis fili, nunc ea licet tibi
Præsenti cernere, quorum fuisti semper cupidus.
Vetus enim illud Argos, quod desiderabas, hocce,
Æstro percitæ nemus Inachi filiæ:
Hoc

τὸ τῶν βοῶν πλῆκτρον) ἐνίοτε καὶ παθητικὰ, οἷον παραπλὴξ, ὁ φθαρεὶς τὰς φρένας· καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος, καὶ καταπλὴξ Εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα (εἰσὶ δὲ Εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί) καὶ οἰστροπλὴξ ἐνταῦθα, ἡ οἴστρῳ (ἤγουν μανίᾳ) πληγεῖσα ὑπὸ τῆς Ἥρας. ταύτης γὰρ ὁ Ζεὺς ἐρασθεὶς μεταβέβληκεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν Ἥραν· ἡ δὲ γνοῦσα, τὸν κύνα τὸν Ἄργον τὸν πανόπτην ἐπέστησε φυλάττειν αὐτὴν, ὃν Ἑρμῆς ὑπὸ τοῦ Διὸς πεμφθεὶς ἀπέκτεινεν. ἡ Ἥρα δὲ μὴ κατέχειν δυναμένη τὴν ζηλοτυπίαν, εἰς μανίαν αὐτὴν ἔτρεψεν. ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ Ἰόνιον διεπέρασε πέλαγος, ἀφ' ἧς καὶ Ἰόνιον ὠνομάσθη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 3. Ὧν πρόθυμος] αὕτη ἡ γενικὴ οὐ, καθὰ οἴονταί τινες, ἐστὶ, λέγοντες, ὧν εἰς θέαν ἐλθεῖν (τοῦτο γὰρ λαμβάνουσιν ἔξωθεν) ἦσθα πρόθυμος· ἀλλὰ πρὸς τὸ πρόθυμος, καθάπερ φαμὲν, οἰκεῖός εἰμι τοῦ δεῖνος, οὕτω καὶ πρόθυμος. ἰστέον δὲ ὅτι διὰ τοῦτο παλαιὸν τὸ Ἄργος λέγει· διὰ τὸ τὸν πρῶτον αὐτοῦ οἰκιστὴν Ἄργον γηγενῆ εἶναι. ἢ παλαιὸν λέγει, ὡς πρὸς τὸν Ὀρέστην, ἀντὶ τοῦ ὃ πάλαι οἶσθα· ὅπερ οὐ τοσοῦτον ἔχεται λόγου. 5. Τῆς οἰστροπλῆγος] ἢ τῆς τῷ οἴστρῳ καὶ ἔρωτι τοῦ Διὸς πληγείσης· ἢ οἶστρον λέγει ὃν αὐτῇ ἡ Ἥρα ἐπέβαλεν, ὅτε ταύτην εἰς βοῦν Ζεὺς μετέβαλε, βουλόμενος ἐκείνην λαθεῖν. ¶ Σχήμ. Τρικλ. 1. Ὦ τοῦ στρατηγήσαντος] προσφωνητικὸν προοίμιον. ἐνταῦθα δὲ καὶ πρότασις. 4. Τὸ γὰρ παλ.] κατασκευή.

SCHOL. INED. 5. Τῆς οἰστροπλῆγος] Τῆς πληγείσης οἴστρῳ καὶ μανίᾳ, καὶ εἰς βοῦν μεταβληθείσης θυγατρὸς τοῦ Ἰνάχου τὸ ἄλσος, ἐστὶ τόδε δηλονότι. *Bar.* Ἄλσος] Ἤγουν, δρυμὼν, καὶ λόχμη, ὁ σύνδενδρος τόπος

Αὕτη δ᾽, Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
Ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ᾽ ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ᾽ ἱκάνομεν,
Φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
Πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε·
Ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
Πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν,
Ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
Τοσόνδ᾽ ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
Νῦν οὖν, Ὀρέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
Ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας

Ἑῷα

τόπος. ἐρίπνη δὲ, ὁ ἀνεστηκὼς τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος. νάπος δὲ ποιητικῶς. ἡ νάπη λέγεται παρὰ τοῖς κοινοῖς, ἡ κοιλότης τοῦ ὄρους. L. B. Παραγενόμενος οὖν εἰς τὸ Ἄργος ὁ τροφεὺς, δείκνυσιν Ὀρέστῃ τὴν πόλιν λέγων· τόδε ἐστὶ τὸ παλαιὸν Ἄργος, οὗτος ὁ ἐπόθεις. λέγω δὲ, τὸ ἄλσος τῆς Ἰοῦς, τῆς θυγατρὸς τοῦ Ἰνάχου, τῆς οἰστροπλῆγος, αὕτη ἐστὶν ἡ Λύκειος ἀγορὰ τοῦ λυκοκτόνου θεοῦ. οὗτος δὲ ὁ ἐξ ἀριστερᾶς ναὸς ὁ κλεινὸς, ἐστὶ τῆς Ἥρας. ὅπου φθάνομεν λέγειν, ὁρᾶν Μυκήνας τὰς πολυχρύσους. *Bar.*

6. Αὕτη δ᾽ Ὀρ.] οὐκ ἀπ᾽ ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατον κατὰ τὴν ἐν τῷ Ἄργει ἀγορὰν, ἐν ᾧ καὶ πῦρ ἀπόκειται, ὡς δὲ οὐ πρόσθεν εἰρήκαμεν. ἔστι δὲ καταντικρὺ τοῦ νεμείου Διός. παραγενόμενος οὖν εἰς Ἄργος ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει (λέγων, ἔστιν οὐκ ἄπωθεν τῶν Μυκηνῶν, ἀλλ᾽ ἐξ ἀπόπτου φαίνεται) καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι· λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιον εἶναι τοὺς ἐπιβούλους αὐτῶν φονεύειν (διὸ καὶ λύκους αὐτῷ φησὶ θύεσθαι ἐν Ἄργει) οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφους. ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαί φασι λύκους, ὡς καὶ τὰς γλαῦκας Ἀθήνησι. 7. Ἀγορὰ Λύκειος] τόπος ἔνθα συνηθροίζοντο, οὕτως ὀνομαζόμενος· ὢν δὲ ἀφιερωμένος τῷ Ἀπόλλωνι. λέγεται δὲ ὁ Ἀπόλλων Λύκειος· Λύκειον δὲ οὐδετέρως, γυμνάσιον ἐν Ἀθήναις. Ὁ οὑξ ἀριστερᾶς] ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν, Ἥρας ναός. ἐκ Φωκίδος δὲ παραγενόμενοι,

Hoc autem, mi Orestes, Lupicidæ Dei
Forum Lycæum: at illud à læva
Junonis celebre templum; quò vero pervenimus,
Dic te Mycenas opulentas cernere,
Plenamque cædium Pelopidarum domum:
Unde te, cæso jam patre, ego olim
A consanguinea tua, & sorore, acceptum
Abstuli, & servavi, & enutrii
Huc usque ætatis, paternæ vindicem cædis.
Nunc igitur, Orestes, & tu charissime hospitum
Pylades, quid facto opus est ocyus deliberandum:
Namque jam nobis lucidum solis jubar

Matutinos

ραγενόμενοι, διὰ Κορίνθου πεποίηνται τὴν ὁδόν. 8. Οἷ δ' ἱκάνομεν] ὅποι κατελάβομεν. 9. Φάσκειν] θέλε φάσκειν, ἤγουν φάσκε, λέγε. ἐνταῦθα δὲ ἀντὶ τοῦ βεβαίως ἐπίστασο. Τὰς Πολυχρύσους] Ὅμηρος, πολυχρύσοιο Μυκήνης. 10. Πολύφθορόν τε] ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο. 11. Ἐκ φόνων] ἀφ' οὗ χρόνου ἐγένοντο οἱ φόνοι τοῦ πατρός σου. 12. Ὁμαίμου καὶ κασιγνήτης] ἐκ παραλλήλου. 14. Τοσόνδ' ἐς ἥβης] τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς ἔτι παιδάριον ὄντα βαδίσαι δυνάμενον. ἤγουν εἰς τοσοῦτον μέτρον ἥβης, ἤγουν μέχρι τοσαύτης ἀκμῆς ἡλικίας. 15. Φίλτατε ξένων] κυρίως ξένος, ὁ φίλος ὃν ἂν ποιήσῃ τὶς ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 6. Λυκοκτόνου θεοῦ] λυκοκτόνος ὁ Ἀπόλλων καλεῖται, ὥς ποτε λύκον κτείνας. τὸ δὲ ἀληθὲς οὕτως ἔχει, Ἀπόλλων ἀλληγορεῖται εἰς ἥλιον, οὗ τῇ παρουσίᾳ τὸ λυκόφως ἀφανίζεται, λύκου χροιὰν ἔχον, διὸ καὶ τοὔνομα ἔχει. τόπος οὖν ἐν Ἄργει ἦν λυκοκτόνου Ἀπόλλωνος ἱερὸν ἔχων, καὶ προσαγορευόμενος ἐντεῦθεν Λύκειος ἀγορά. 17. Ἡλίου σέλας] ἢ τὸ σέλας αἰτιατικὴν νοητέον, τὸ δὲ φθέγματα εὐθεῖαν, οὕτως, ὡς ἤδη τὰ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων σαφῆ, κινεῖ καὶ φέρει ἡμῖν τὸ λαμπρὸν φέγγος τοῦ ἡλίου· τοῦτ' ἔστιν αἱ ὀρθριναὶ τῶν ἀλεκτόρων ᾠδαὶ ἢ μοῦσαι ἡμῖν ἤδη μαντεύονται. ἢ τὸ μὲν σέλας ἔστω εὐθεῖα, τὸ δὲ φθέγματα αἰτιατική, οὕτως, ὡς ἤδη τὸ λαμπρὸν σέλας τοῦ ἡλίου κινεῖ καὶ φέρει ἡμῖν σαφῆ τὰ ἑῷα καὶ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων. τοῦτ' ἔστιν, ἤδη προϊοῦσα ἡ ἡμέρα τὰς ὀρθρινὰς ἡμῖν φωνὰς τῶν ὀρνίθων ἀνίστησι. ¶ Σχήμ. Τρικλ. 15. Νῦν οὖν] βάσις.

SCHOL. INED. 9. Φάσκειν] Θέλε λέγειν. ἤγουν, νόμιζε ὁρᾶν Μυκήνας τὰς πολυπλούτους. οὐκ ἄποθεν τῶν Μυκηνῶν ἐστὶ τὸ Ἄργος,

ἀλλ'

Ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ·
Μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
Πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
Ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἐμὲν
Ἵν' οὐκέτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.
Ορ. Ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
Σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
Ὥσπερ γὰρ ἵππος εὐγενὴς, κἂν ᾖ γέρων
Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
Ἀλλ' ὀρθὸν οὖς ἵστησιν· ὡσαύτως δὲ σὺ
Ἡμᾶς τ' ὀτρύνεις, κἀυτὸς ἐν πρώτοις ἕπῃ.
Τοιγάρ, τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
Ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς,

Εἰ

ἀλλ' ἐξ ἀπόπτου φαίνεται. *Bar.* 10. Πολύφθορον τόδε] Ἤγουν, καὶ τὸ πολυπαθὲς καὶ δυστυχὲς οἴκημα τῶν Πελοπιδῶν τοῦτο ἐστί. *Bar.* Πολύφθορον] ἐν ᾧ πολλαὶ φθοραὶ ἐγένοντο. L. B. 11. Ὅθεν] Ἤγουν, ἀφ' οὗτινος οἰκήματος. *Bar.* 15. Σὺ φίλτατε ξένων] Ἤγουν, σὺ ὦ Πυλάδη φίλτατε ἀπὸ τῶν φίλων. ὁ Πυλάδης γὰρ ἦν ἐξάδελφος πρῶτος τοῦ Ὀρέστου. *Bar.*

19. Μέλαινά τ' ἄστρων] ἐχρῆν οὕτως εἰπεῖν, μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν· ὡς τὸ, Ὁ δὲ χαοστάμενος πελεμίχθη. ἢ οὕτως, ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη. ἵν' ᾖ τὸ ἄστρων πρὸς τὸ ἐκλέλοιπεν. 21. Ξυνάπτετον λόγοισιν] ἤγουν συνέρχεσθε διὰ λόγων. Ἐμὲν] ἀντὶ τοῦ ἐσμέν. ἀναλογώτερον δὲ τὸ ἐμὲν τοῦ ἐσμέν· ἀπὸ τούτου γὰρ γίνεται τὸ ἐσμὲν πλεονασμῷ τοῦ σ. 22. Ἀκμὴ] σπουδή. πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις ἃ ταχέως συμβουλεύει τελεσθῆναι. 23. Ὦ φίλτατ' ἀνδρῶν] διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν. 24. Ἐσθλὸς εἰς ἡμᾶς γεγώς] τὸ εἶναι πιστὸς εἰς ἡμᾶς. 25. Εὐγενὴς] ἀπὸ ἀγαθοῦ γένους. εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. γένος γὰρ, καὶ ἡ πατρὶς καὶ ἡ γενεά. εὐπατρίδαι δὲ παρὰ Ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τοῦτο περιφανεῖς. οἷον οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τοὺς εὐγενεῖς ἐπὶ πλέον τῶν εὐπατριδῶν. ὥστε εἴτις εὐπατρίδης, καὶ εὐγενής. οὐ μὴν εἴτις εὐγενὴς, καὶ εὐπατρίδης. εἴη γὰρ ἂν κατὰ τὸ ἕτερον μέρος εὐγενὴς, οὐ

κατὰ

Matutinos movet avium cantus claros,
Atraque stellis defecit nox.
Priusquam igitur quisquam hominum exeat tecto,
Conferte consilia: ibi enim sumus
Ubi non amplius segnitiæ *datur* locus, sed *instat ipse* agendi articulus.

Or. O charissime famulorum, quam certa mihi
Indicia exhibes *viri* in nos benevoli natura.
Sicut enim equus generosus, licet sit senex,
Rebus in trepidis non animos amittit,
Sed aures arrigit; similiter & tu
Nosque incitas, & inter primos ipse sequeris.
Proinde consilia *tibi* exponam *mea*, tu vero
Acutas aures meis dictis præbens,

Si

κατὰ τὴν πατρίδα. ὡς ἐνταῦθα εὐγενὴς ἵππος, ὁ ἀπὸ ἀγαθοῦ γένους, οὐ μὴν ὁ εὖ ἔχων ἕνεκα πατρίδος. οὐ γὰρ ἔχουσιν οἱ ἵπποι πατρίδας. ἀπὸ τούτων εὐγενὴς ψυχὴ, εὐγενὴς λόγος, καὶ εὐγενὴς ἦθος. 26. Ἐν τοῖσι δειναῖς]: ἐν τοῖς πολέμοις. 28. Ἐν πρώτοις ἕπῃ] ἀκολουθεῖς, διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 19. Μέλαινά τ' ἄστρων] διὰ τὸ ἐν νυκτὶ τὰ ἄστρα φαίνεσθαι, διὰ τοῦτο ταύτην ἐκλελοιπέναι τούτων φησὶν ἧς ἀπιούσης οὐδὲ ἄστρα δείκνυται. 24. Εἰς ἡμᾶς γεγὼς] ἀντὶ τοῦ εἰπεῖν, γεγονέναι εἰς ἡμᾶς ἐσθλὸς, πρὸς μετοχὴν ἔτρεψεν, ὃ καὶ κρεῖττον. ¶ Σχήμ. Τρικλ. 23. Ὦ φίλτατ'] δεύτερον προοίμιον, προσφωνητικὸν καὶ αὐτό. 25. Ὥσπερ γὰρ] κατασκευὴ τῆς προτάσεως ἐκ παραδείγματος. 29. Τοιγὰρ, τὰ] βάσις καὶ προκατάστασις.

SCHOL. INED. 19. Μέλαινά τ' ἄστρων] Νυκτὸς γενομένης φαίνεται τὰ ἄστρα. οὐ μὴν διὰ τὸ ἄστρα εἶναι γίνεται νύξ. διὸ τὰ ἄστρα λέγεται τῆς νυκτὸς, οὐ μὴν ἡ νὺξ τῶν ἄστρων· εἰ δὲ ἐποίει τὰ ἄστρα τὴν νύκτα, καὶ μὴ κατὰ συμβεβηκὸς ἐγίνετο τῇ ἀπουσίᾳ τοῦ ἡλίου, ἐλέγετο ἂν καὶ νὺξ τῶν ἄστρων, ὡς ἡμέρα ἡλίου. νυνὶ δὲ, ἥλιος μὲν ἡμέρας λέγεται, διότι αἴτιος ἐστὶ τῆς ἡμέρας. καὶ ἡμέρα ἡλίου λέγεται, διότι ὑπὸ τοῦ ἡλίου γίνεται. ἄστρα δὲ νυκτὸς μὲν λέγεται, διότι νυκτὸς οὔσης φαίνεται. νὺξ ἄστρων οὐ λέγεται· διότι οὐχ ὑπὸ τῶν ἄστρων ἡ νὺξ γίνεται. L. B. 26. Θυμὸν] Ἀντὶ τοῦ θυμοειδὲς καὶ διεγηγερμένον, ἤγουν τὴν προθυμίαν. L. B.

Εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
Μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
Δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
Χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα·
Ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
Δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
Ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
Σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ,
Δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον.
Ὅπως ἂν εἰδὼς, ἡμὶν ἀγγείλῃς σαφῆ.
Οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
Γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.

Λόγῳ

31. Εἰ μή τι καιροῦ] εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον. ὅ ἐστιν, ἐπανόρθωσον. ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται. ἐπὶ μουσικῆς γὰρ κυρίως λέγεται τὸ μεθαρμόζειν, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν. 32. Ἐγὼ γὰρ ἡνίχ' ἱκόμην] διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν. 34. Ἀροίμην] ἀντὶ τοῦ λάβοιμι. ἀραίμην, μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου· ἀροίμην δὲ, βραχὺ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος. 35. Χρῇ] ἔχρησεν, ἀνεῖλεν. 36. Ἄσκευον αὐτὸν] ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην, οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι. 40. Ἴσθι πᾶν] διερεύνησαι τὰ πραττόμενα. 42. Οὐ γάρ σε μὴ γήρᾳ τε] τοῦ πιθανοῦ χάριν οὕτως εἶπε. οὐ μὴ γὰρ ἀναγνωρίσωσιν, οὐδ' ὑποπτεύσουσιν, ἤγουν ὑπονοήσουσιν οὕτως ἠνθισμένον, τουτέστι κεχρωματισμένον ὑπὸ γήρως καὶ χρόνου μακροῦ. 43. Ἠνθισμένον] τινὲς ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον. ἐγνώσθη γὰρ ἂν εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον. οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 43. Ἠνθισμένον] οὐ γὰρ ἀναγνωρίσουσιν,

οὐδ'

Si quid à re aberro, corrige.
Ego enim postquam Delphicum adii
Oraculum, ut discerem quonam modo
Pœnas sumerem patris ab occisoribus,
Respondit mihi Phœbus hæc, quæ audies mox:
Ipsum *me nempe jussit* imparatum ab armisque, & exercitu,
Clam dolis meritas inferre manu cædes.
Quoniam igitur tale oraculum audivimus,
Tu quidem subiens (cum opportunitas te duxerit)
Ædes in hasce, scias fac omnia quæ fiunt intus,
Ut edoctus nobis queas annunciare certa.
Neutiquam enim te præ senio longoque *quod abfuisti* tempore
Noscere valebunt, neque suspectum habebunt *te* ita concinne instructum.

Sermone

οὐδὲ ὑπονοήσουσί σε οὕτω κεχρωματισμένον, ἤτοι πεπαλιωμένον ὑπὸ τοῦ γήρως, καὶ ὑπὸ τοῦ χρόνου τοῦ μακροῦ ἐνηλλαγμένον κατὰ τὴν τοῦ σώματος διάθεσιν. πρότου μὲν γὰρ νέος ἐξῆλθες, νῦν δὲ γηραιὸς ἐπανέρχῃ· ὥστε καὶ ἀπ' αὐτοῦ τοῦ εἴδους οὐχ ὑποπτεύσουσί σε ἀπατεῶνα εἶναι. σημειωτέον δὲ τὴν μεταχείρισιν. ἐπειδὴ γὰρ ὁ Ὀρέστης παρὰ τῷ Στροφίῳ ἐτρέφετο, ὁ μὲν Πυλάδης καὶ ὁ Ὀρέστης μέλλουσιν εἰπεῖν ὅτι τὸ ἄγγος πρὸς Κλυταιμνήστραν ἄξουσιν, ὡς παρὰ Στροφίου πεμφθέντες· τῷ δὲ παιδαγωγῷ ὑποτίθενται εἰπεῖν ὡς παρὰ Φανοτέως ἥκει, προμεμηνυκότος ὡς φίλου τούτου Ὀρέστου θάνατον. ¶ Σχήμ. Τρικλ. 32. Ἐγὼ γὰρ] διήγησις. 38. Ὅτ' οὖν τοι.] συμβουλὴ πῶς δεῖ τοῦ προκειμένου σκοποῦ ἅψασθαι.

SCHOL. INED. 36. Ἄσκευον] Ἤγουν, χωρὶς παρασκευῆς. L. B. 37. Δόλοισι χειρὸς] Ἀντὶ τοῦ, δολιότητι πράξεως κλέψαι, ἤγουν λάθρα ἐργάσασθαι. L. B. ἤγουν, μετὰ δολιότητος ἐργάσασθαι λάθρα τὰς ἐνδίκους σφαγάς. *Bar.* 38. Ὅτ' οὖν] Ἀντὶ τοῦ ἐπεί. ἐπίρρημα ἀντὶ συνδέσμου. L. B. 40. Ἴσθι] Ἀντὶ τοῦ μάνθανε, τὸ δρώμενον, ἤγουν τὸ πραττόμενον. L. B. 42. Μακρῷ] Ἐναντίον τὸ βραχύ. B. L. 43. Ἠνθισμένον] Ἀντὶ τοῦ, πεπολιωμένον, ἤγουν, γηραιὸν καὶ λευκὸν κατὰ τὰς τρίχας, ἀπὸ μεταφορᾶς τῶν δένδρων ὅταν ὦσι λευκὰ ἐν τῷ καιρῷ τοῦ ἄνθους. *Bar.*

Λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεὺς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
Μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
Ἄγγελλε δ' ὅρκῳ προστιθεὶς, ὅθ' οὕνεκα
Τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
Ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
Δίφρων κυλισθείς. ὧδ' ὁ μῦθος ἑστάτω.
Ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
Λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
Στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν
Τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
Ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον·

Ὅπως

45. Φωκεὺς] τὸν Φωκέα προσθεὶς, ἐπήνεγκε Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων. ὁμοίως τῷ, Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη, Ἐς Πάφον. ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν Φωκεῖς, ἐπὶ μέρους δὲ Κρισαῖοι, Φανοτεῖς. πόλεως δὲ ὄνομα φασὶ τὸ Φανοτέως. 46. Δορυξένων] ἀντὶ τοῦ φίλων. κυρίως δὲ οἱ ἐν πολέμῳ γεγονότες φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης. 47. Ἄγγελλε δ' ὅρκῳ] μὴ μικρολόγως τὶς ἐπιλάβηται ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ. δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ. ὥστε ἐν οἷς δοκεῖ ἐπιορκῶν δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι εἰς τὰ Πύθια. ἀμελεῖ δὲ τοὺς χρόνους· ἐπὶ Τριπτολέμου γάρ φασι γενέσθαι Πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσιν ὕστερον. τοῦτο δὲ ἀντιστρόφως λέγεται, ἀντὶ τοῦ προστιθεὶς τὸν ὅρκον τῇ ἀγγελίᾳ. Ὅθ' οὕνεκα] ἐκ παραλλήλου. 48. Ἐξ ἀναγκαίας τύχης] βιαίως. οἷον ἀναγκαστῷ μόρῳ· καὶ οὐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ συντυχίας, οὐκ ἰδίῳ θανάτῳ. 49. Ἄθλοισι Πυθικοῖσιν] τοῖς χρόνοις ἀντῆκται. νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς ἀγών. 50. Ὧδ' ὁ μῦθος ἑστάτω] ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. πιθανὸν δὲ τὸ, ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι. Ἑστάτω] δεδόχθω. 51. Ὡς ἐφίετο] ὁ Ἀπόλλων δηλονότι ὡς ἐκέλευεν. 52. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις] τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. λέγει δ' ἂν χλιδάς.

Sermone autem tali utere; quod hospes quidem sis
Phocensis, à viro Phanoteo missus: is enim
Maximus est illis belli socius, & amicus.
Nuncia autem, jurejurando addito,
Mortuum esse Orestem violento fato,
Ludis in Pythicis, ex pernicibus
Curribus devolutum. Totius sermonis hæc constet summa.
Nos vero patris tumulum (ut *Apollo* præcepit)
Libationibus prius, capiteque sectis mollibus comis
Cum coronaverimus, deinde redibimus huc retro
Urnam æream ferentes manibus,
Quam nosti in virgultis alicubi & ipse conditam.

Ut

ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς· ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Ἄλλως· καρατόμοις θριξὶν ὤφειλεν εἰπεῖν, ἐπεὶ δὲ αἱ τρίχες ἁβρότητα, καὶ καλλωπισμὸν ἐμπαρέχουσι τοῖς ἀνθρώποις, φησὶ καρατόμοις χλιδαῖς. 54. Τύπωμα] τὸ ἄγγος. τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο. Ἡρμένοι] ἀντὶ τοῦ ἠρμένον ἔχοντες. ὅμοιον τῷ, πώγωνα καθειμένος, ἀντὶ τοῦ κεχαλασμένον ἔχων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 49. Πυθικοῖσι] τέσσαρες ἀγῶνες μεγάλοι ἐν Ἑλλάδι ἐγίνοντο· ὁ τῶν Ὀλυμπίων, ὁ τῶν Νεμέων, ἀμφότεροι εἰς Δία· ὁ τῶν Ἰσθμίων, εἰς Ποσειδῶνα· ὁ τῶν Πυθίων, εἰς τὸν Ἀπόλλωνα. 52. Καρατόμοις] ἤτοι ἐν κουρησίμοις τρυφαῖς. ἔθος γὰρ ἦν αὐτοῖς τέμνειν τὰς κόμας, καὶ ἐπιτιθέναι τῷ τάφῳ, ἵνα διὰ τούτου πένθους ἵλεως αὐτοῖς ὁ νεκρὸς ᾖ. εἰκότως δὲ εἶπε τὸ χλιδαῖς· τρυφὴ γὰρ κεφαλῆς ἡ κόμη. 55. Ὅ καὶ σὺ θάμνοις] θαμνώδη φυτά εἰσι τὰ πρόσγεια, καὶ μὴ εἰς ὕψος αἰρόμενα.

SCHOL. INED. 50. Ἑστάτω] Εἰ μὲν σημαίνει τὸ σταθήτω, δασύνεται ἀπὸ τοῦ ἵστημι. ὁ παρατατικὸς ἵστην. ὁ παρακ. ἕστακα, ἕστακας, ἕστακε. τὸ προστακτικὸν, ἕστακε, ἑστακέτω, καὶ κατὰ συγκοπὴν ἑστάτω. Εἰ δὲ σημαίνει τὸ ὑπαρχέτω, ψιλοῦται ἀπὸ τοῦ εἰμί, τὸ πληθ. ἐσμέν. καὶ τὸ προστακτικὸν, ἔθι. καὶ ἐπιθέσει τοῦ σ, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴσθι. τὸ τρίτον ἴστω. ἐφύλαξε δὲ τὸ ὀφειλόμενον ε. καὶ ποιητικῶς ἑστάτω. *Bar.* 52. Λοιβαῖσι] Ἤγουν χοαῖς. θυσίαις δι' ὑδρῶν. L. B.

Ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
Φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
Φλογιστὸν ἤδη, καὶ κατηνθρακωμένον.
Τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν,
Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
Δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
Λόγῳ μάτην θνήσκοντας, εἶθ' ὅταν δόμους
Ἔλθωσιν, αὖθις ἐκτετίμηνται πλέον·
Ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
Δεδορκότ' ἐχθροῖς ἄστρον ὡς, λάμψειν ἔτι.
Ἀλλ', ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
Δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
Σύ τ' ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
Δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·
Καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
Ἀλλ' ἀρχέπλουτον, καὶ καταστάτην δόμων.

Εἴρηκα

56. Κλέπτοντες] ἀπατῶντες. παραλογιζόμενοι. Ὅμηρος, Κλέπτε νόῳ. 62. Ἤδη γὰρ εἶδον] Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανεὶς, περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰς ἐτερατεύετο. διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν. ἐξ οὗ τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης ἦν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύθιος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας· εἰς τοῦτο οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς. ἔνιοι δὲ οἴονται, ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι. οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ, ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, καὶ μὴ τοῦ θαυμαστοῦ εἶναι δόξῃ ἐν τραγῳδίᾳ. καὶ μύθου παλαιοῦ τετόλμηκέ τι κακόηθες εἰπεῖν, καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ. 65. Ὡς

κἄμ']

Ut verbis dolum struentes, jucundum eis
Nuncium adferamus, meum ut periit corpus
Crematum jam, & in cineres redactum.
Quid enim hoc me angat, quod sermone mortuus
Reipsa vixero, & famam reportavero?
Censeo enim nullum dictum, cum lucro *junctum*,
  malum *esse*:
Jam enim sæpius vidi & sapientes
Rumore falso mortuos: qui cum domum
Redierunt *vivi*, majorem inde gloriam nacti
  sunt.
Ita & me confido fama ab hac
Conspectum hostibus, sidus quasi fulsurum brevi.
At, O patria terra, diique indigenæ,
Excipite me fausto omine hoc iter ingressum,
Tuque, O paterna domus: tui enim venio
Merito purgator à Diis impulsus:
Neque me cum infamia dimittite hac ex terra,
Sed date ut opibus potiar paternis, & constituam
  domum.

Et

κἄμ'] Διὰ τὸ μέτρον ἴσως οὕτω γίνεται. ἥρμοζε γὰρ μᾶλλον, ὡς κἀγὼ ἐπαυχῶ, καθὰ πέποιθα καὶ ἐμὲ ζῶντα λάμψειν τοῖς ἐχθροῖς εἰς τὸ ἑξῆς ὥσπερ ἄστρον, ἀπὸ τῆς φήμης ταύτης. 68. Δέξασθέ μ' εὐτυχοῦντα] ἐπ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. ἢ οὕτως, δέξασθέ με εὐτυχοῦντα, καὶ εὐτυχῶς ἐπιχειροῦντα ταύταις ταῖς μηχαναῖς. 72. Ἀρχέπλουτον] ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον. Καταστάτην] εὐτρεπιστήν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 62. Ἤδη γὰρ εἶδον] Πυθαγόρας καθ. καὶ τὰ ἑξῆς. ¶ Σχήμ. Τρικλ. 62. Ἤδη γὰρ] παράδειγμα. 67. Ἀλλ' ὦ πατ.] εὐχή.

SCHOL. INED. 66. Ἐχθροῖς] Γλυκύτης λόγου, ὅταν πρὸς ἄψυχα ποιώμεθα τὸν λόγον. *Bar.* 68. Ταῖσδε ταῖς ὁδοῖς] Ἀντὶ τοῦ, ταύτῃ τῇ ὁδῷ, ἤγουν, κατὰ ταύτην τὴν ὁδόν. L. B. 69. Σύ τ' ὦ πατρ.] Καὶ σὺ, ὦ οἴκημα πατρῷον, δέξαι με δηλονότι εὐτυχοῦντα. L. B.

70. Καθαρτὴς]

Εἴρηκα μὲν νῦν ταῦτα· σοὶ δ' ἤδη γέρον
Τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
Νὼ δ' ἔξιμεν. καιρὸς γάρ, ὅσπερ ἀνδράσι
Μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

Ηλ. Ἰώ μοί μοι δύστηνος.

Παι. Καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
Ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

Ορ. Ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
Μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;

Παι. Ἥκιστα. μηδέν, πρόσθεν ἢ τὰ Λοξίου
Πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
Πατρὸς χέοντες λουτρά. ταῦτα γὰρ φέρει

Νίκην

70. Καθαρτὴς] Καθαρτὴς γὰρ σοῦ ἔρχομαι σὺν δίκῃ. L. B. 71. Καὶ μὴ ἀποστείλατε] Ἀντὶ τοῦ ἀποπέμψητε ἐμὲ ἄτιμον, ἤγουν ἄδοξον τῆσδε τῆς γῆς. L. B. 72. Ἀρχέπλουτον] Τὸν ἐξάρχην πλούσιον. ἤγουν τὸν ἄρχοντα τοῦ πλούτου. B. L.

73. Εἴρηκα μὲν] κατὰ τὸ παρὸν ταῦτα ἱκανὰ δηλονότι. κατὰ ἀπόθεσιν λέγεται, ὡς τό, εἶεν· καί, ταῦτα μὲν δὴ ταῦτα. καὶ ταῦτα μὲν οὕτως· καί, εἴρηται λόγος, καὶ τὰ τοιαῦτα. Σοὶ δ' ἤδη γέρον] σοὶ δὲ ἀπὸ τοῦ νῦν, ὦ γέρον, μελέτω τὸ σόν, ἤγουν ὅπερ ἐτάχθης καὶ χρεωστεῖς πληρῶσαι, λέγω τὸ πορευθέντι κατασκοπῆσαι. καιρὸς γὰρ νῦν ἐστι δηλονότι, ὅς ἐστι τοῖς ἀνδράσι μέγιστος ἐπιστάτης, ἤγουν ἡγεμὼν ἔργου παντός. 75. Νὼ δ' ἔξιμεν] ἐξιέναι βούλονται διὰ τὴν εἴσοδον τοῦ χοροῦ. Καιρὸς γάρ, ὅσπερ] ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον, ὁ καιρός ἐστιν· ἐπεὶ καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γιγνόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴτις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο. 78. Καὶ μὴν θυρῶν] τὸ ἑξῆς, ἔνδον θυρῶν. θαυμαστῶς δὲ ὁ γέρων οὐκ ἐπιβεβόηκε τῷ ἀληθεῖ, ἀλλ' ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην, προσπόλων τινὸς φησίν. Προσπόλων] θεραπαινίδων. οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς πρόσπολος, ὥσπερ ἐνταῦθα, καὶ ἑτέρωθι. 80 Ἆρ' ἐστὶν ἡ δύστηνος] ὑπὸ νεότητος Ὀρέστης παράγεται φιλοπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει. 81. Κἀνακούσωμεν] ἐπακούσωμεν. 82. Μηδὲν πρόσθεν] ἅμα μὲν εἰς τὸ

χρήσιμον

Et hæc quidem hactenus. Tibi vero jam, senex,
Curæ sit eunti, tuum ut exequaris munus.
Nos autem eximus. Occasio enim *jubet*, quæ hominibus
Maxima omni in opere est magistra.

El. Hei mihi miseræ!

P. At at visus sum famularum aliquam
Suspirantem intra ædes audire, O fili.

Or. Num misera est Electra? vis
Hic maneamus, & iterum audiamus lamenta *clari-*

P. Minime. nihil, priusquam Apollinis *jussa*, (*us ?*
Conemur exequi, & ab hisce auspicari *decet*,
Patri fundentes lavacra: hæc enim adferent

Victo-

χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν. διελέγχθη γὰρ ἂν τὸ πᾶν ἐξ ἀρχῆς μηνυθέντος Ὀρέστου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 84. Πατρὸς χέοντες λουτρὰ] διότι αἱ θυσίαι αἱ πρὸς ἐκεῖνον ἐπὶ καλῷ ἑαυτῶν γενήσεσθαι ἔμελλον, διὰ τοῦτο λουτρὰ ταύτας καλεῖ, ὡς καθάρσια τοῦ μιάσματος ὃ ἔμελλον κτήσασθαι εἰ Κλυταιμνήστραν καὶ Αἴγισθον ἀνέλοιεν· μὴ γὰρ ὅτι οὐ δίκαιοι ἦσαν οὗτοι τεθνάναι, ἀλλ' ὅτι πᾶς φόνος μίασμά ἐστιν.

SCHOL. INED. 78. Καὶ μὴν] Ἤγουν, καὶ μὴν, ὦ τέκνον, ἔδοξα αἰσθέσθαι, ἀντὶ τοῦ ἀκοῦσαι, τινὸς ἀπὸ τῶν προσπόλων ἔνδον τῶν θυρῶν ὑποστενούσης. L. B. 79. Αἰσθέσθαι] Ἀπὸ τοῦ αἴθομαι ἐνεστῶτος. τὸ δεύτερον, αἴθῃ· τὸ τρίτον αἴθεται. καὶ τὸ ἀπαρέ. αἴθεσθαι. τὸ δὲ αἰσθέσθαι, ἀπὸ τοῦ αἰσθῶ περισπωμένου γίνεται. ὁ μέλλων αἰσθήσω. ὁ παρακείμ. ᾔσθηκα. ὁ πρῶτος ἀόριστος, ᾔσθησα. ὁ δεύτερος, ᾔσθον. ὁ μέσος, ᾐσθόμην. τὸ δεύτερον, ᾔσθου. τὸ τρίτον, ᾔσθετο. καὶ τὸ ἀπαρέ. αἰσθέσθαι. Τὸ δὲ αἰσθέσθαι, ἀντὶ τοῦ αἴσθησιν λαβεῖν, ἵνα ἀποδοθῇ πρὸς τὴν γενικὴν τὴν τινὸς δηλονότι. *Bar*. 81. Κἀνακούσωμεν] Καὶ δὶς ἀκούσαντες ἀναγνωρίσωμεν τὴν φωνὴν τῶν θρήνων. *Bar*. 82. Μηδὲν πρόσθεν] Ἤγουν, μηδὲν ἄλλο πειρώμεθα ἔρδειν πρόσθεν παρὰ τὰ χρησμοδοτούμενα τοῦ Λοξίου. *Bar*. 83. Πειρώμεθ' ἔρδειν] Ἐρωτήσαντος τοῦ Ὀρέστου, θέλεις ἵνα καρτερήσωμεν ἐνταῦθα καὶ ἀνακούσωμεν τῶν γόων; ἔφη ὁ παιδαγωγὸς, ἥκιστα· ἀλλὰ χέοντες λουτρὰ ἐπὶ τὸν τάφον τοῦ πατρὸς τοῦ σοῦ δηλονότι, πειρώμεθα, ἤγουν σπουδάσωμεν, μηδὲν ἄλλο πράττειν, ἢ τοῦτο δηλονότι. καὶ μετὰ ταῦτα χρὴ ἀρχηγετεῖν. ἤγουν ἀρχὴν ποιεῖσθαι εἰς τὰ λοιπά. *Bar*. 84. Πατρὸς χέοντες] Σπένδοντες τῷ πατρί. τὰς τοῦ πατρὸς χοὰς τελοῦντες. L. B.

86. Ὦ

Νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ηλ. Ὦ φάος ἁγνόν, καὶ γῆς
Ἰσόμοιρος ἀήρ, ὥς μοι
Πολλὰς μὲν θρήνων ᾠδάς,
Πολλὰς δ' ἀντήρεις ᾔσθου
Στέρνων πλαγὰς αἱμασσομένων,
Ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
Τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
Ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
Ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ

Πατέρ',

86. Ὦ φάος ἁγνὸν] ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις. ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν γὰρ πένθους. τοῦτο δὲ τὸ πρόσωπον συνόν ἐστι τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἀηθές ἐστι πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. Ἰσόμοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνουσιν ἀλλήλοις τὰ στοιχεῖα πρέπει. καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνέσταλται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον, Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν. ἰσόμοιρον δὲ γῆς ἀέρα τὸ σκότον φησίν, ἵνα τὸ φάος ἁγνὸν ἀντιδιαστέλλῃ. καὶ γῆς φησὶν ἰσόμοιρος ἀήρ, ἴσην μοῖραν ἔχων τῇ γῇ. πανταχοῦ γάρ ἐστιν ἀήρ. ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα. ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δέ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα. ἰσόμοιρος οὖν διὰ τὸ ἶσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν. τὸ δὲ ἀὴρ τὸ α συνέσταλται διὰ ῥυθμὸν ἢ μέτρον. Ἄλλως. κατὰ τὴν ἴσην ἐναντιότητα ἐστὶν ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς· τὸ δὲ ὕδωρ, τοῦ αἰθέρος. ἔστι γὰρ ὁ μὲν ἀὴρ θερμὸς καὶ ὑγρός, ἐξαίρετον ἔχων τὸ ὑγρόν· ἡ δὲ γῆ, ψυχρὰ καὶ ξηρά, ἐξαίρετον ἔχουσα τὸ ξηρόν. καὶ ὁ αἰθήρ, θερμὸς καὶ ξηρός, ἐξαίρετον ἔχων τὸ θερμόν, τὸ δὲ ὕδωρ, ψυχρὸν καὶ ὑγρόν, ἐξαίρετον ἔχον τὸ ψυχρόν. 87. Ὥς μοι πολλὰς μὲν θρ.] ὅσα μοι σύνοιδας

θρηνούσῃ

Victoriamque nobis & *in rebus his* gerendis robur.

ANAPÆSTI.

El. O Lux alma, & cum terra
Parem sortite extensionem Aer, quam multos
Sensisti meos lamentorum lessus,
Multosque adversos pectorum
Planctus cruentatorum,
Simulac tenebrosa nox recesserit.
Quod ad mea autem pervigilia jam invisus
Novit torus luctuosæ domus,
Quantopere miserum meum lugeo
Patrem,

θρηνοῦσα καὶ κοπτομένη. τὸ δὲ κατάλληλον οὕτως· ὡς πολλὰς μὲν ᾠδὰς ᾔσθου, πολλὰς δὲ πληγὰς, αἱμασσομένων τῶν στέρνων. τὸ δὲ, πλαγὰς ἀντήρεις, τραγικώτερόν πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν γνῶναι πάνυ πολιτικὴν εἶναι. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, οἷοι πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. ἢ ἀντήρεις, ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον [illegible]θῆται ἡ ναῦς. ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον. 89. Ἤσθου] ἀντὶ τοῦ ἔμαθες. 90. Αἱμασσομένων] διὰ τούτων ἡ ἐπίτασις· αἱμασσομένων δὲ, αἱματηρῶν γενομένων ὑπὸ τοῦ πλήττειν. 91. Ὁπόταν δνοφερὰ] ὅσα μὲν (φησὶ) διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα. Ὑπολειφθῇ] παρέλθῃ. 94. Ὅσα τὸν δύστηνον] κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως. ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διὰ τί θρηνεῖ.

¶ Σχόλ. Τρικλ. 86. Ὦ φάος] θρῆνος Ἠλέκτρας.

SCHOL. INED. 88. Πολλὰς μὲν θρήνων ᾠδὰς] Ἤγουν, πλείστας μὲν ᾠδὰς θρήνων σύνοισθας ἐμοί. πλείστας δὲ πληγὰς ἀντιτύπους στέρνων αἱμασσομένων. πληττομένων ὑφ' ἑλκῶν ἐκείνων. ἐπεὶ δὲ αἱ σφοδραὶ πληγαὶ αἱμάσσουσι, στέρνων λέγει αἱμασσομένων. ἤγουν αἱματηρῶν γενομένων ὑπὸ τοῦ πλήττειν. L. B. 89. Ἀντήρεις] Ἔνιοι δὲ τὸ ἀντήρεις, ἀντὶ τοῦ ἰσοκλύπους λαμβάνουσι. *Bar.* 92. Τὰς δὲ παννυχίδων] Ἤγουν, τὰ δὲ θρηνωδήματα τῶν παννυχίδων, ἢ τὰ κατὰ πᾶσαν νύκτα γινόμενα, αἱ στυγναὶ εὐναὶ τῶν μογερῶν οἴκων ξυνίσασι. L. B. *Bar.*

Πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
Φοίνιος Ἄρης οὐκ ἐξείνισε,
Μήτηρ δ' ἡ 'μὴ, χὠ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
Σχίζουσι κάρα φονίῳ πελέκει.
Κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
Ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
Ἀδίκως οἰκτρῶς τε θανόντος.
Ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
Στυγερῶν τε γόων, ἔστ' ἂν
Λεύσσω παμφεγγεῖς ἄστρων
Ῥιπὰς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ
Οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν

Ἐπὶ

95. Ὃν κατὰ μὲν βάρβαρον] παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ νεκυίᾳ, Οὔτε μοι ἀνάρσιοι ἄνδρες, καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί. πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου εἰπεῖν, ὅπως δρῦν ὑλοτόμοι. τὸ δὲ ὅλον, μήτηρ δὲ ἐμὴ καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως, καθὰ δρῦν δενδροτόμοι, σχίζουσι δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρὸν, παίσας κάρα θοῦξι· τὸ δὲ κρᾶτα, τὸ πρότερον μακρὸν, καὶ τὸ δεύτερον βραχύ. 96. Οὐκ ἐξείνισε] ἀντὶ τοῦ οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρεος, τραύματα, φόνοι. καὶ Ἀρχίλοχος, Ξείνια δυσμενέεσσι λυγρὰ χαριζόμενοι. 101. Ἢ 'μοῦ φέρεται] εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται, αὕτη γε, διὰ τὸ πάνυ ἀλγεῖν, οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται ἢ μόνην αὐτήν. 102. Ἀδίκως οἰκτρῶς τε] ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδίκως, ἀεικῶς. καὶ οἰκτρῶς μὲν, διὰ τὸ βίᾳ, καὶ ἐπιβουλευθέντα· ἀεικῶς δὲ, ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσατο. 103. Ἀλλ' οὐ μὲν δὴ λήξω] ὁ νοῦς, ἀλλ' οὐ λήξω θρήνων, οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη, ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχῶ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 96. Οὐκ ἐξείνισε] ἐφιλοφρονήσατο. φι-

λοφρόνησε

Patrem, quem in barbara terra
Non Mars cruento excepit hospitio,
Sed mater illa mea, & particeps tori
Ægisthus, ut quercum *solent* qui ligna cædunt,
Diffindunt caput cruenta bipenni.
Neque propter hæc aliam quampiam, me præter,
Tangit misericordia; cum tu, pater,
Inique adeo & misere peremptus jaces.
Quin desinam nunquam plorare,
Acerbosque fletus edere, donec video
Præfulgidos siderum
Ictus, videoque hanc diem;
Non, *inquam*, *desinam*, sed ut luscinia, quæ *suos* amisit pullos

Ante

λοφρόνησις δὲ τοῦ φονίου Ἄρεως οὐδὲν ἐσθ' ἕτερον ἢ φόνος. 99. Κάρα] κάρα, τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρόν· κρᾶτα δὲ, τὸ πρότερον μακρόν. πρῶτον δὲ εἰπὼν, ὃν εἶτα κάρα ἐπήνεγκε, καθ' ὅλου καὶ μέρος. 107. Ὥς τις ἀηδὼν] ἡ τὸ ἴδιον τέκνον τὸν Ἴτυν, δι' ἄμυναν τὴν πρὸς τὸν ἄνδρα Τηρέα, μετὰ Φιλομήλας τῆς ἀδελφῆς ὑπ' ἐκείνου φθαρείσης, ἀποκτείνασα. τοῦτο δὲ λέγει, ὡς οὔτε ἐν ἡμέρᾳ, οὔτε ἐν νυκτὶ παυσαίμην τῶν θρήνων.

SCHOL. INED. 96. Οὐκ ἐξείνισε] Ἤγουν, ἐξενοδόχησεν φόνῳ δηλονότι. L. B. οὐκ ἐφιλοξένισεν, οὔτε προσέλαβε, φόνῳ δηλονότι. *Bar.* 97. Μήτηρ] Μήτηρ δὲ ἐμὴ, καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος, ἔχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικοῦ πελέκεως. Τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρόν. παίσας, κάρα θώυξε. τὸ δὲ κρᾶτα, τὸ πρότερον μακρὸν, καὶ τὸ δεύτερον βραχύ. L. B. *Bar.* 100. Κοὐδεὶς τούτων] Καὶ οὐδεὶς ἔλεος τούτων, ἤγουν τοῦ φόνου, φέρεται ἀπ' ἄλλης παρὸ ἀπ' ἐμοῦ. L. B. 104. Ἔστ' ἂν λεύσσω] Ἑωσότου, ἤγουν, ἕως ἂν βλέπω τὴν νύκτα. τοῦτο δηλοῖ τὸ λεύσσω παμφαεῖς ῥιπὰς ἄστρων, τὸ δὲ σχῆμα περίφρασις. καὶ ἕως ἂν βλέπω ταύτην τὴν ἡμέραν, οὐ λήξω τῶν συντόνων θρήνων καὶ γόων. 107. Οὐ τεκνολέτειρ'] Ζῆθος καὶ Κάλαϊς ἦσαν ἀδελφοὶ, καὶ εἶχον γυναῖκας. ὁ μὲν Ζῆθος, τὴν Ἀηδόνα. ὁ δὲ Κάλαϊς τὴν Χελιδόνα. καὶ ἀμφότεροι εἶχον ἓν καὶ μόνον τέκνον. καὶ τὸ μὲν Ζήθου καὶ Ἀηδόνος τέκνον ὠνομάζετο Ἴτυς· τὸ δὲ τοῦ Καλαΐδος καὶ τῆς Χελιδόνος, ὠνομάζετο . .

Ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
Πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
Ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
Ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρὰ,
Σεμναί τε θεῶν παῖδες Ἐριννύες,
Τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
Τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους.
Ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
Φόνον ἡμετέρου·
Καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν·
Μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
Λύπης ἀντίρροπον ἄχθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ. α'

Χο. Ὦ παῖ, παῖ δυστανοτάτης

Ἠλέκτρα

... ζηλοτυπήσασα οὖν ἡ Ἀηδὼν, ἠθέλησεν ἀνελεῖν τὸ τοῦ Καλαΐδου τέκνον, καὶ ἐλθοῦσα νυκτὸς θέλουσα ἀνελεῖν τὸ τοῦ Καλαΐδου, καὶ ἀπατηθεῖσα, ἀνεῖλε τὸν Ἴτυν τὸ ἴδιον τέκνον. καὶ διὰ τοῦτο μέχρι τοῦ νῦν θρηνεῖ ἀκαμάτως. Οὕτω τινὲς ἐξηγοῦσιν· μὴ οὐ, ἀντὶ τοῦ ναί. αἱ γὰρ δύο στερήσεις κατάθεσιν ποιοῦσι. ναί, ὥσπερ τις ἀηδὼν τεκνολέτειρα θελήσω προφωνεῖν ἠχὼ ἐπὶ πᾶσι τοῖς παλαιοῖς καὶ νέοις κακοῖς, ἐπὶ κωκυτῷ καὶ θρήνῳ τῶν δὲ τῶν πατρῴων προθύρων. ἡ γὰρ μία στέρησις ἐστὶν ἀναιρετικὴ τῆς ἄλλης. Bar.

109. Ἠχὼ] ἀντὶ τοῦ ἦχον, ὃν οἱ ποιηταὶ ἠχὴν λέγουσιν. ἠχὼ γὰρ, τῆς φωνῆς ἀντίφθεγμα. 112. Σεμναί τε θεῶν] εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες. 118. Σωκῶ] ἀντὶ τοῦ ἰσχύω. οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω. 119. Ἀντίρροπον] ἢ τὸ καταβαρῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι. ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν. 120. Ὦ παῖ, παῖ] πάροδός ἐστι χοροῦ

γυναικῶν

Ante hæc patris limina cum ejulatu
Omnibus Echo profundam.
O domus Plutonis & Proserpinæ,
O terrestris Mercuri, & verenda Maledictio,
Vosque severæ Deorum filiæ Erinnyes,
Quæ injuste morientes respicitis,
Furtoque thalamos qui *alienos* invadunt,
Adeste, opem ferte, vindicate patris
Cædem nostri:
Et mihi meum mittite fratrem:
Sola enim non amplius ferre valeo
Mœroris onus, lance altera impellens.

ANTISTROPHICA. STROPHE 1.

Chor. Heu filia, filia perditissimæ
Electra

γυναικῶν τῇ Ἠλέκτρᾳ συνεχθομένων. Δυσανστάτης] τ̃ ἐξωλεστάτης· ὁ γὰρ ἐπὶ ταύτης ἐστὶν ὁ λόγος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 110. Ὦ δῶμ' Ἀΐδου] διὰ τοῦτο τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην καλεῖ καὶ τὸν ὑποχθόνιον Ἑρμῆν εἰς ἐκδίκησιν τοῦ πατρὸς, διὰ τὸ ἐν ᾅδου κεῖσθαι αὐτόν. Ἀρὰν δὲ λέγει ἣν καθ' ἑκάστην κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου πρὸς τοὺς θεοὺς ἐποίησεν, ἣν ὡς δικαίως πεμπομένην πότνιαν ὀνομάζει. τάς γε μὴν Ἐριννύας ἂρ' οὐκ ἂν εἴποις ὡς διὰ τοῦτο ἐπιβοᾶται ὡς τοὺς φονεῖς καὶ κακούργους τιμωρουμένας. 113. Τοὺς ἀδίκως] οἱ γράφοντες αἳ τοὺς ἀδίκως θνήσκοντας, ἀμαθεῖς τῶν μέτρων. διὸ περισσὸν τὸ αἳ ἐξεβλήθη παρ' ἐμοῦ. 118. Μούνη γὰρ ἄγειν] οὕτω τοῦτο λέγει, οὐκέτι μόνη δύναμαι φέρειν τὸ ἄχθος τῆς λύπης. ποταπόν; ἀντίῤῥοπον καὶ ἴσον. τοῦτ' ἔστιν, οὐκ ἐξισοῦται τῇ ἐμῇ δυνάμει ἡ λύπη, ἵνα καὶ φέρω αὐτήν. ἀλλὰ μείζων ἐστὶ, καὶ ὑπὲρ τὴν ἐμὴν δύναμιν.

SCHOL. INED. 111. Ὦ χθόνι'] Ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεται ὡς μεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας καλεῖ τούτους τῶν θρήνων. *Bar.* 115. Τίσασθε] Ἀντὶ ἀπαιτήσατε. λαβεῖν ζητήσατε. L. B. 119. Ἀντίῤῥοπον] Τὸ ἑτεροῤῥοπὲς, τὸ βαρύ. L. B. τὸ ἰσόσταθμον. ἰσόσταθμον λέγει τὸ ἄχθος, διότι οὐκ ἦν ποτὲ καιρὸς ἐξότου συνέβη τὸ ἄχθος εἶναι ἔλαττον, ἀλλ' ἀεὶ ἦν ἐπίσης. *Bar.* 120. Ὦ παῖ, παῖ] Ἤγουν, ἰὼ Ἠλέκτρα παῖ μητρὸς ἀθλιωτάτης, ἤγουν ὅτι ἦν μοιχαλίς. L. B. *Bar.*

121. Τῶ

Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ
Τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν,
Τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
Ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα,
Κακᾷ τε χειρὶ πρόδοτον;
Ὡς ὁ τάδε πορὼν
Ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾷν.

ΣΤΡΟΦΗ. β'.

Ηλ. Ὦ γένεθλα γενναίων πατέρων,
Ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
Οἶδά τε καὶ ξυνίημι τάδ', ἔτι με φυγγάνει,

121. Τίν' ἀεὶ τάκεις] ἀντὶ τοῦ διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ; ἤγουν, τίς ἐστιν ἡ οἰμωγὴ, ἣν οὕτως ἀκορέστως ἀεὶ τήκουσα σαυτὴν οἰμώζεις, τὸν πάλαι ἁλόντα ἀπάταις Ἀγαμέμνονα ἐξ ἐνεργείας τῆς δολερᾶς τῆς ἀσεβεστάτης μητρὸς, ἔκδοτον γενόμενον, δηλονότι χειρὶ κακῇ, ἤγουν κακοποιῷ καὶ φονικῇ. 122. Ἀκόρεστον] ἀντὶ τοῦ ἀκορέστως. 123. Ἀθεωτάτας] ἀσεβεστάτης. 124. Ματρὸς ἁλόντα] λίαν αἰδήμων ὁ χορὸς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν. καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασι καταλέγειν ἄλλης γυναικός. Καὶ τὸ, Εἴ μοι θέμις τάδ' αὐδᾷν, λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν· ἐπεὶ κατ' ἀρχόντων ἦν ὁ λόγος· ἢ, ἐπεὶ δοκεῖ δυσφημεῖν, φησιν, εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι. Ἄλλως· οὕτως ὡς ὁ Ἀγαμέμνων ἀπώλετο, οὕτως εἴθε ἀπόλοιτο τάδε παρέχων. θέμις δὲ τὸ ἔννομον, ὅσιον δὲ, τὸ δίκαιον· ὅμως καὶ ἀμφότερα ἐπὶ θεοῦ, τὸ δὲ δίκαιον ἐπὶ ἀνθρώπων. 128. Ὦ γένεθλα] ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων. 129. Ἥκετ' ἐμῶν καμάτων] οἶδα (φησὶν) ἃ πράττω, καὶ οὐ λανθάνει με, ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ, οἶδα ὅτι μοι συνοεῖτε. ἵνα συνάπτῃ τῷ προκειμένῳ, Ἥκετ' ἐμῶν καμάτων παραμύθιον· ἄμεινον δὲ τὸ πρῶτον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 121. Τίν' ἀεὶ τάκεις] δέον οὕτω λέγειν, τίν' ἀκόρεστον οἰμωγὴν ἔχεις, τήκεις εἶπεν. εἰκότως. τὸ γὰρ θρηνεῖν ἀεὶ καὶ λυπεῖσθαι, τῆξιν κατὰ μικρὸν καὶ δαπάνην τοῦ σώματος ἐργάζεται. ἐπεὶ καὶ τὸ τῆς λύπης ὄνομα οὐκ ἕτερόν ἐστιν ἀλλ' ἢ τοῦ πίου καὶ τοῦ λιπαροῦ λύσις.

μὴ

Electra matris, quid te semper ita
Maceras inexplebili luctu,
Ob illum olim à fraudulenta impiissima
Matre oppressum dolis Agamemnonem,
Malæque manui proditum?
Utinam qui ista patravit
Male pereat; si mihi fas *sit* hæc loqui.

STROPHE 2.

El. O nobilium patrum soboles,
Venitis *ut* meis laboribus *sitis* solatio;
Novique & intelligo ista, nihil *horum* me
Fugit,

μὴ λάθῃς δὲ ἔξωθεν τὸ διὰ εἰς τὸν Ἀγαμέμνονα, ὥσπερ ἅπαντες, χεδὸν εἰπεῖν, ὑπ' ἀγνοίας γράφουσιν· ἀλλ' οὕτω λέγε, τίνα ἀκόρεστον οἰμωγὴν τήκεις; εἶτα ἑρμηνεύων τὴν οἰμωγὴν, ἥτις ἐστί, φησι, τὸν Ἀγαμέμνονα τὸν πάλαι κρατηθέντα ἐν ἀπάταις, καὶ τῆς δολερᾶς καὶ ἀθεωτάτης σῆς μητρὸς πρόδοτον, καὶ προδεδομένον κακῇ καὶ φονικῇ χειρί. ὅμοιον δὲ καὶ Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις λέγει, Γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος, τὸν ἀμφιτειχῆ λεών. καὶ γὰρ δὴ καὶ ἐνταῦθα διὰ εἰς τὸ τὸν ἀμφιτειχῆ τιθέασιν. εὑρήσεις δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσι τῶν ποιητῶν τοιαῦτα ἐξετάζων.

SCHOL. INED. 121. Τίν' ἀεὶ] Ἤγουν, φεῦ· ἔχουσα σὺ ὦ Ἠλέκτρα μεγάλην τινὰ οἰμωγὴν καὶ ἀκόρεστον, τήκεις οὕτως σαυτὴν δηλονότι· ἢ τὸ οὕτως, σύναπτε μετὰ τοῦ ἀκόρεστον, ἵνα ᾖ εἰς μεγάλην τινὰ οἰμωγὴν καὶ οὕτως ἀκόρεστον, φθείρεις σαυτήν. *Bar.* 124. Ματρὸς ἁλόντ'] Διὰ τὸν Ἀγαμέμνονα τὸν ἁλόντα ἐκ τῆς δολερᾶς καὶ ἀθεωτάτης μητρὸς, ἀπάταις αὐτῆς δηλονότι. ἢ οὕτω. διὰ τὸν Ἀγαμέμνονα τὸν ἁλόντα ταῖς ἀπάταις τῆς ἐκ δολερᾶς μητρός. καὶ λαμβάνεται τὸ ἐκ, κατὰ σύνθεσιν μετὰ τοῦ δολερᾶς, καὶ δηλοῖ τὸ ἐκ ἔμφασιν, ἤγουν τῆς λίαν δολερᾶς. *Bar.* 128. Ὦ γένεθλα γενναίων] Ὦ γενεὰ εὐγενῶν πατέρων. ἤγουν, ὦ θυγατέρες εὐγενῶν πατέρων. ἤλθετε παραμύθιον τῶν ἐμῶν κακοπαθειῶν, οἶδα καὶ νοῶ τάδε. ἤγουν, ὅτι ἕνεκα παραμυθίας ἥκετε, οὔ τι με ἐκφεύγει. ἀλλ' ὅμως, οὐ θέλω καταλεῖψαι τόδε τὸ θρηνεῖν. ἆρα οὐκ ἔξεστί μοι στεναχεῖν τὸν ἐμὸν ἄθλιον πατέρα; ἀλλ' ὦ χορεία γυναικῶν ἡ ἀμειβομένη χάριν παντοίας φιλότητος, παρακαλῶ ὑμᾶς, ἐᾶτέ με ὧδε ἀλύειν. *Bar.*

 131. Φυγγάνει]

Φυγγάνῃ, οὐδὲ θέλω προλιπεῖν τόδε,
Μὴ οὐ τὸν ἐμὸν στεναχεῖν πατέρ' ἄθλιον.
Ἀλλ' ὦ παντοίας
Φιλότητος ἀμειβόμεναι χάριν,
Ἐᾶτέ μ' ὧδ' ἀλύειν·
Αἰ αἰ ἱκνοῦμαι.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. Ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα
Παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις, οὔτε γόοισιν, οὐ λιταῖς.
Ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
Ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι;
Ἐν οἷς ἀνάλυσίς ἐστιν
Οὐδεμία κακῶν.
Τί μοι τῶν δυσφόρων ἐφίῃ;

ΑΝΤΙ-

131. Φυγγάνῃ] ἤγουν διαφεύγῃ. ἀπὸ τοῦ φεύγω γίνεται, φυγγάνω, καὶ ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα διὰ τὸ ἐπαγόμενον γ, τροπῇ τούτου εἰς γ, φυγγάνω. οὕτω γίνεται καὶ τὸ τυγχάνω ἀπὸ τοῦ τεύχω ἀχρήστου, καὶ τὸ ἱνδάνω ἀπὸ τοῦ ἥδω, καὶ τὸ πυνθάνομαι ἀπὸ τοῦ πεύθομαι, καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα. 135. Ἐᾶτέ μ' ὧδε] τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν. Ἀλύειν] ἐν ἄλλοις δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος, Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. 136. Ἱκνοῦμαι] ἀντὶ τοῦ παρακαλῶ· ἀφικνοῦμαι δὲ ἀντὶ τοῦ παραγίνομαι, καὶ φθάνω. 137. Ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα] Ὅμηρος, Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. 138. Παγκοίνου λίμνας] εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. 139. Οὔτε γόοις, οὐ λιταῖς] οὔτε ὀδυρομένη, οὔτε παρακαλοῦσα τοὺς θεούς. καὶ Αἰσχύλος, Μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ, μόνος οὐ δέχεται γλυκερᾶς μῦθος ἐλπίδος. 144. Ἐφίῃ] ἐπιθυμεῖς. τί μοι

φησί

Fugit, neque *tamen* volo omittere hoc;
Quin meum lugeam patrem miserum.
At, O amicitiæ omnigenam
Quæ rependitis gratiam,
Sinite me sic luctui indulgere,
Heu, heu, *sinite me*, obsecro.

ANTISTROPHE I.

Ch. Attamen non hunc ex orci
Palude omnibus communi patrem
Resuscitaveris, neque lamentis, neque precibus:
Malis sed ex mediocribus in insanabilem
Delapsa luctum, perenni gemitu peris;
Quibus in *gemitibus* solutio *tamen*
Nulla est malorum.
Cur non-ferenda adeo cupis?

ANTI-

(φησὶ) τούτων γλίχῃ; ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνοις καὶ πένθει;

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 134. Ἀμειβόμεναι χάριν] καλῶς εἶπε τὸ ἀμειβόμεναι· φίλη γὰρ καὶ αὐτὴ ἦν τούτων. τῶν φίλων δὲ πρὸς ἀλλήλους ἐστὶν ἡ ἀμοιβή. 139. Οὐ λιταῖς] μὴ γράφε οὔτε λιτᾶν, ἀλλὰ οὐ λιταῖς· οὕτω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς πρὸς τὸ τῆς στροφῆς. οὐδὲν δὲ καινὸν εἰ καὶ τὸ τε λείπει. εὕρηται γὰρ πολλὰ τοιαῦτα. 140. Ἐπ' ἀμήχανον] ἤγουν ἀνίκητον, καὶ ἀθεράπευτον; πρὸς ὃ οὐκ ἔστι τι μηχανήσασθαι. 142. Ἀνάλυσις] ἤγουν ἀνταπόδοσις, καὶ εἰς τὸ ἀρχαῖον ἐπάνοδος. καλὰ γὰρ ἦν ἐξ ἀρχῆς, εἶτα κακὰ γέγονεν. εἰ δὲ τὰ κακὰ ἀναλύουσι, πρὸς τὰ ἀρχαῖα, ἤτοι τὰ κακὰ, ἀναλύουσι.

SCHOL. INED. 132. Μὴ οὐ τὸ] Ἀντὶ τοῦ, ἆρα οὐκ ἔξεστί μοι, ἀπὸ τοῦ ἐκλὸς τοῦτο. ἆρα οὐκ ἔξεστί μοι στοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον; ἤτοι, μὴ καὶ οὐ αἱ δύο στερήσεις κατάθεσιν ποιοῦσιν. ἡ γὰρ μία στέρησις ἐστὶν ἀναιρετικὴ τῆς ἄλλης. καὶ διὰ τοῦτο τὸ μὴ καὶ οὐ λαμβάνονται ἀντὶ τοῦ ναί. καὶ ἔστιν ὁ νοῦς τοιοῦτος· οἶδα καὶ συνίημι τάδε. οὔτι με φυγγάνει, οὐδὲ ἐθέλω προλιπεῖν τόδε· ἤγουν, τὸ θρηνεῖν ἀκορέστως. ἀλλὰ θέλω δηλονότι στοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον. *Bar.* Στοναχεῖν] Στενάχω, καὶ στοναχῶ τὸ αὐτό. εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά. L. B. 137. Ἀλλ' οὔτοι] Ἀλλ' οὐκ ἀναστήσεις τὸν σὸν πατέρα ἐκ τῆς λίμνης τοῦ ᾅδου τοῦ παγκοίνου, οὔτε διὰ γόων, οὔτε διὰ παρακλησιῶν. L. B.

ΑΝΤΙΣΤΡΟΦΗ β΄.

Ηλ. Νήπιος ὅστις τῶν οἰκτρῶς
Οἰχομένων γονέων ἐπιλάθεται.
Ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας
Ἃ Ἴτυν, αἰὲν Ἴτυν γ' ὀλοφύρεται·
Ὄρνις ἀτυζομένη, Διὸς ἄγγελος·
Ἰὼ παντλάμων
Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,
Ἅτ' ἐν τάφῳ πετραίῳ
Αἶ, αἶ δακρύεις.

MONO-

145. Νήπιος] ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τούτου ὁ ἀνόητος. 147. Ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε] Ἀττικῶς τὸ ἄραρέ μοι, ἀντὶ τοῦ ἤρεσέ μου ταῖς φρεσίν. καὶ Ἀριστοφάνης, Σὲ δὲ ταῦτ' ἀρέσκει. τὸ δὲ ἄραρεν, ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγὼ καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. Ἄλλως. αὕτη συνήρμοσταί μου ταῖς φρεσίν. τουτέστιν, ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν. Ἄλλως. οὕτως ἦν ῥᾴδιον λέγεσθαι, ἀλλ' ἐμὲ ἤρεσε κατὰ τὰς φρένας ἡ περὶ τὸ στενάζειν ἀσχολουμένη ἡ τοῦ Διὸς ἄγγελος ὄρνις, ἥτις τεταραγμένη ἀεὶ ὀλοφύρεται Ἴτυν, Ἴτυν. νυνὶ δὲ συνυπάγει τὸν λόγον τοῖς ὑποτακτικοῖς ἄρθροις, καὶ λέγει, ἥτις ὄρνις Διὸς ἄγγελος ἀτυζομένη ἀεὶ ὀλοφύρεται Ἴτυν, Ἴτυν. 149. Ἀτυζομένη] ἐκπληττομένη τοῖς συμβεβηκόσι, καὶ ὀδυρομένη. Διὸς ἄγγελος] ὅτι δὲ τὸ ἔαρ σημαίνει, Ὅμηρος, Ὡς δ' ὅτι Πανδαρέου κούρη χλωρηῒς ἀηδὼν Καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο. ἢ ὅτι τὴν ἡμέραν σημαίνει, ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ, καὶ τὴν παραθρυλλουμένην ἀγγελίαν, καὶ τὸ πάθος. ἢ ἄγγελον εἶπεν, οἷον τέρας καὶ τὸ παρ' αὐτοῦ γιγνόμενον εἰς τερατείαν τῆς φύσεως. καὶ Σαπφὼ, Ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών. 151. Σὲ δ' ἔγωγε νέμω θεὸν] ἀντὶ τοῦ, ἐν τιμῇ τῶν θεῶν μερίζω σέ. ἤγουν, θεόν σε ἔχω καθότι δακρύεις ἐν τάφῳ πετραίῳ. τὸ δὲ αἶ, αἶ, καθ' ἑαυτὴν λέγει. 152. Ἐν τάφῳ πετραίῳ] τουτέστιν ἀπολιθωθεῖσα. καὶ Ὅμηρος, Ἐν Σιπύλῳ, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 147. Ἄραρε] τὸ ἄραρε καὶ ἡρμόσθη πρὸς δοτικὴν συντασσόμενον, οὐκ ἔχει χώραν ἐνταῦθα πρὸς τὸ ἐμέ· ἀλλὰ δεῖ λαμβάνειν ἔξωθεν εἰς πρόθεσιν. ὥσπερ γάρ φαμεν τὸ χρεὼ βουλῆς ἐμέ τε καὶ σέ. δέον γὰρ εἰπεῖν, ἐμοὶ καὶ σοὶ, εἰς ἔξωθεν λαμβάνομεν· οὕτω καὶ τοῦτο

ἐςι

ANTISTROPHE 2.

El. Non mentis eſt ſanæ, qui miſere
Pereuntium parentum obliviſcitur.
At meo utique gemibunda placet animo
Quæ Ityn, ſemper Ityn luget
Mœſta avis, Jovis nuncia.
O omnibus modis miſerrima
Niobe, te tamen *ut* Deam colo,
Quæ in ſepulchro ſaxeo
Heu, heu, *adhuc* lacrymaris.

MONO-

ἔστι δὲ καθ᾽ ὅλον καὶ μέρος· μέρος γὰρ τὸ φρένας τοῦ ἐμέ. φασὶ δὲ καί τινες τὸ ἄραρεν ἀντὶ τοῦ ἀρέσκει, οὐκ οἶδ᾽ ὅπη ποθ᾽ εὑρόντες ταύτην τὴν σημασίαν· οὓς ἐατέον. 149. Διὸς ἄγγελος] ἤγουν ἡ ἀηδών· διὰ τὸ τὸν ἐπ᾽ αὐτῇ γενόμενον ἔλεον τοῦ Διὸς τοῖς πᾶσιν ὑποδεικνύειν ἢ μαρτυρεῖν αὐτὸν φιλάνθρωπον. ἢ ὡς δι᾽ αὐτῆς ὁ Ζεὺς τὸ ἔαρ ἑρμηνεύει. ἢ διὰ τὸ ἐν ἔαρι κατάρχειν τῆς ᾠδῆς, ὅτε τὰ Διάσια ἐγένετο, ἥτις ἐστὶν ἑορτὴ τοῦ Διός. 151. Νιόβα, σὲ δ᾽] Ἀγαθίου σχολαστικοῦ ἐπίγραμμα δι᾽ ἰάμβων εἰς Νιόβην,

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν,
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον,
Ἀλλ᾽ αὐτὸς αὑτῷ νεκρός ἐστι καὶ τάφος.

153. Αἶ, αἶ] τοῦτο οὐκ ἔστι πρὸς τὴν Νιόβην, ἀλλὰ διὰ μέσου ἡ Ἠλέκτρα τίθησιν. εἰ δὲ γράψῃς αἰεὶ, διὰ τὴν Νιόβην εἴποις.

SCHOL. INED. 147. Ἄραρε] Τὸ θέμα, ἄρω τὸ ἁρμόζω, καὶ τὸ ἀρέσκω. ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος, ἦρα. καὶ ποιητικῶς, ἄρα. καὶ Ἀττικῶς μετὰ τοῦ ἀναδιπλασιασμοῦ, ἄραρα, ἄραρας, ἄραρε. καὶ ὁ Αἰσχύλ. ἄραρεν ἤδη γ᾽ ὠλένη δυσκωλύτως. *Bar.* 151. Νέμω θεὸν] Θεόν σε ἔχω, καθότι δακρύεις ἐν τάφῳ πετραίῳ. τὸ δὲ αἶ, αἶ, καθ᾽ ἑαυτὴν λέγει. L. B. Ἤγουν, ἐν τῇ τιμῇ τῶν θεῶν τίθημί σε. *Bar.* 152. Ἐν τάφῳ πετραίῳ] Ἤγουν, ἐν τῇ στήλῃ τῇ πετραίᾳ· τὴν Νιόβην γὰρ μετέβαλεν ὁ Ζεὺς εἰς λίθον δι᾽ αἰτίαν τοιαύτην· τέξασα τέκνα δώδεκα, ἄρσενα ἕξ, καὶ θήλεα τοσαῦτα, ἐκαυχήσατο, λέγουσα ἑαυτὴν εὐδαιμονεστέραν Λητοῦς· ὅθεν ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, παίδων Λητοῦς, ἐφονεύθησαν ταύτης τῆς Νιόβης τὰ τέκνα. ἡ δὲ ἰδοῦσα τὸν τοιοῦτον φόνον, ἐθρήνει ἀπαύστως. ὁ δὲ Ζεὺς ᾤκτειρε ταύτην, καὶ εἰς λίθον μετέβαλε. ἡ δὲ καὶ οὕτω μέχρι τοῦ νῦν ὁρᾶται καταδακρυχέουσα. *Bar.*

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Οὔτοι σοὶ μούνᾳ, τέκνον,
Ἄχος ἐφάνη βροτῶν,
Πρὸς ὅ, τι σὺ τῶν ἔνδον εἶ περισσά,
Οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος·
Οἵα Χρυσόθεμις
Ζώει, καὶ Ἰφιάνασσα,
Κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.
Ηλ. Ὄλβιος ὃν ἁ κλεινὰ
Γᾶ ποτε Μυκηναίων
Δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι

Βήματι

156. Περισσά] πρὸς τὸ ἄχος περισσή. ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν. περισσῶς (φησὶν) ὀδύρῃ παρὰ τούτους, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις. ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς. ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. 158. Οἷα Χρυσόθεμις] ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι τρεῖς τὰς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ Κύπρια ποιήσας τέσσαράς φησι. 160. Κρυπτᾷ τ' ἀχέων] ἡ μετοχή ἐστι τὸ ἀχέων, ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι· ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος. 161. Ὄλβιος ὃν] συνυπάγει κἀνταῦθα τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ. ὀφείλων γὰρ λέγειν, ὄλβιος ὁ Ὀρέστης, ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων· ὁ δὲ λέγει, ὄλβιος ὅντινα Ὀρέστην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεταί ποτε· εὐπατρίδην ἀντὶ τοῦ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν. βήματι εὔφρονι ἀντὶ τοῦ πομπῇ ἡδείᾳ τοῦ Διός.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 158. Οἷα Χρυσόθεμις] τὸ οἷα τινὲς ἀντὶ τοῦ καθὰ λέγουσι, λαμβάνοντες ἔξωθεν τὸ, διὰ τί οὐ ζώεις καὶ σὺ, καθὰ ζῇ ἡ Χρυσόθεμις καὶ Ἰφιάνασσα; οὗ τί γένοιτ' ἂν ἀμαθέστερον; ἔχει δὲ οὕτως. εἰπὼν γὰρ ὁ χορὸς ἄνω, πρὸς ὅπερ ἄχος εἶ καὶ ὑπάρχεις περισσὴ καὶ περισσοτέρως προσκειμένη τῶν ἔνδον, τουτέστι πλέον τῶν ἐντὸς τοῦ οἴκου αὐτῇ ἀθυμεῖς, τοῦτο εἰπὼν, ἐπειδὴ ἀόριστον ἦν τῶν ἔνδον (πολλοὶ γὰρ ἐντὸς οἷς οὐκ ἔμελε λύπης) ἑρμηνεύων τοῦτο, διὰ τοῦ οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος, ἤγουν οἷς ἀδελφὴ τυγχάνεις, ἐπάγει τὴν τῶν ἀδελφῶν ἀπαρίθμησιν. δέον δὲ εἰπεῖν ὧν ἀδελφή ἐστιν ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέστης· ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα,

καὶ

MONOSTROPHICA.

Cho. Haud ſane tibi ſoli, filia, mortalium
Dolor accidit;
Quo tu ſupra alios in domo te maceras,
Quibus eodem ſanguinis gradu juncta es:
Ut nempe Chryſothemis
Agit, & Iphianaſſa,
Quique in juventute abdita triſtatur *Oreſtes.*
El. Beatus Oreſtes, quem celebris
Tellus olim Mycenarum
Excipiet nobilem, propitio Jovis

Ductu

καὶ Ὀρέστης. ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἵα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ ὁ ἀχέων καὶ λυπούμενος ἐν κρυπτῇ ἥβῃ. ἤγουν ὁ λάθρα ἀναστρεφόμενος παρὰ τῷ Στροφίῳ, καὶ διὰ τὸν πατέρα λυπούμενος ὁ Ὀρέστης. ἰστέον δὲ ὅτι Εὐριπίδης καὶ ἄλλοι ποιηταὶ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν τὴν αὐτὴν φασι, καὶ Σοφοκλῆς οὑτοσί. ἀποροῦσι δὲ πῶς Ἰφιανάσσης τῆς Ἰφιγενείας ἐν Ὑπερβορέοις οὔσης νῦν μνημονεύει. καί φαμεν ὅτι ὥσπερ τὸν Ὀρέστην ἀπόντα λέγει, οὕτω καὶ ταύτην. ἀπαρίθμησιν γὰρ μόνην ποιεῖται, εἰ καὶ τῶν ἔνδον παρακεκινδυνευμένως εἴρηκεν. οὐδεὶς γὰρ ἔνδον ἀλλ' ἢ ἡ Χρυσόθεμις καὶ ἡ Ἠλέκτρα. μαρτύριον δὲ τοῦ οἷα, ἄλλα τε μυρία, καὶ τὸ παρὰ Αἰσχύλῳ ἐν Πέρσαις. ἀπαριθμούμενος γὰρ ἐκεῖ τοὺς Ξέρξου στρατηγοὺς φησιν, Οἱ δ' ἐπὶ ναῶν πεζοί τε βάδην Πολέμου στῖφος παρέχοντες. Οἷος Ἀμίστρις, ἠδ' Ἀρταφέρνης, καὶ Μεγαβάζης, καὶ τὰ ἑξῆς.

SCHOL. INED. 154. Οὔτοι σοὶ] Οὔτοι καὶ οὐδαμῶς σοὶ μόνῃ τῇ Ἠλέκτρᾳ ἐφάνη ἄχος ἀπὸ τῶν ἀνθρώπων. πρὸς ὅ, ἤγουν πρὸς τὸ ὁποῖον ἄχος, τί καὶ διατὶ σὺ ὑπάρχεις περισσὴ τῶν οὐσῶν ἔνδον; ἤγουν τῆς Χρυσοθέμιδος, καὶ τῆς Ἰφιανάσσης, οἷς ὑπάρχεις ξύναιμος τῇ γονῇ ὁμόθεν. διαβίβαζε καὶ σὺ αὐτὴ ζωὴν μετὰ παραμυθίας, καθὼς ζῇ ἡ Χρυσόθεμις, καὶ ἡ Ἰφιάνασσα, καὶ ὁ λυπούμενος ἐν τῇ κρυπτῇ ἥβῃ τῆς νεότητος. ἤγουν, ὁ Ὀρέστης. *Bar.* 157. Οἷς ὁμόθεν] Ἔδει εἰπεῖν, αἷς· ἀλλ' ἐπειδὴ ἔμελλε καὶ τὸν Ὀρέστην συγκαταριθμῆσαι τῇ Χρυσοθέμιδι, καὶ τῇ Ἰφιανάσσῃ, διὰ τοῦτο καὶ τὸ, οἷς, εἶπε. τιμῶν τὸ τοῦ ἀρσενικοῦ ἀξίωμα. *Bar.* Ὁμόθεν] Ἤγουν ἀπὸ τῆς αὐτῆς ῥίζης τοῦ γένους. ἢ καὶ κατὰ τὴν προσεχῆ γέννησιν ἀδελφή. L. B. 160. Κρυπτᾷ τ' ἀχέων] Καὶ ὁ ἐν τῇ κρυπτῇ λυπούμενος ἀκμῇ καὶ νεότητι τῆς ἡλικίας. τουτέστιν, ὁ ἀδελφός σου Ὀρέστης, ὁ ἐν φυγῇ ἐξορίας κεκρυμμένος. *Bar.*

164. Βήματι]

Βήματι μολόντα τάνδε γᾶν
Ὀρέσταν, ὃν ἔγωγ᾽ ἀκάματα
Προσμένουσ᾽, ἄτεκνος,
Τάλαιν᾽, ἀνύμφευτος αἰὲν οἰχνῶ,
Δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
Οἶτον ἔχουσα κακῶν. ὁ δὲ λάθεται
Ὧν τ᾽ ἔπαθ᾽, ὧν τ᾽ ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
Ἔρχεται ἀγγελίας ἀπατώμενον;
Ἀεὶ μὲν γὰρ ποθεῖ,
Ποθῶν δ᾽ οὐκ ἀξιοῖ φανῆναι.
Χο. Θάρσει μοι, θάρσει, τέκνον·
" Ἔστι μέγας ἐν οὐρανῷ
" Ζεὺς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
" Ὧι τὸν ὑπεραλγῆ χόλον νέμουσα,
" Μήτ᾽ οἷς ἐχθαίρεις

" Ὑπερ-

164. Βήματι] ἀντὶ τοῦ ὁδῷ, πομπῇ. 165. Ἀκάματα] ἀκαμάτως καὶ ἀδιαλείπτως. λέγοι δ᾽ ἂν ταῦτα ἐν ὑποκρίσει. ἢ, οὐ κεκμηκότως. 167. Οἰχνῶ] περιέρχομαι. οἰχνῶ δὲ γέγονεν ἀπὸ τοῦ οἴχομαι, παρενθέσει τοῦ ν. μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνοῦμαι, γενόμενον ἀπὸ τοῦ ἵκομαι, παρενθέσει τοῦ ν. ἀπὸ δὲ τοῦ οἰχνῶ καὶ ἴχνος, διὰ τοῦ ι. 168. Μυδαλέα] διάβροχος τοῖς δάκρυσιν. Ἀνήνυτον] ἀτελείωτον. 170. Ὧν τ᾽ ἔπαθ᾽, ὧν τ᾽ ἐδάη] ὧν ἔπαθε παρ᾽ ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν. ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ᾽ Αἴγισθον. Τί γὰρ ἀγγελίας] ἤγουν, τί εἶδος ἀγγελίας οὐκ ἔρχεται ἐμοὶ ἀπατώμενον; ἤγουν ἀπάτην ἔχον, τουτέστι ψευδές. 172. Ἀεὶ γὰρ ποθεῖ] ὁ Ὀρέστης φανῆναι, ἀπὸ κοινοῦ. 177. Ὧι τὸν ὑπεραλγῆ χόλον] ᾧ τινι τῷ Διῒ τὸν ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς· μήτε ἐπιλάθου αὐτῶν, ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε. ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

ΣΧΟΛ.

Ductu reversum ad hanc terram;
Quemque ego indesinenter
Expectans, sine liberis,
Misera, innupta perpetim vagor,
Lacrymis madens, interminabilem
Habens sortem malorum. Ille vero obliviscitur
Et beneficiorum meorum, & *per literas* mandatorum: quid enim non mihi
Venit falsi *de eo* nuncii?
Semper quidem cupit,
Cupiens vero non dignatur venire in conspectum.

Cho. Confide mihi, confide, filia,
" Est magnus in cœlo
" Jupiter, qui inspicit omnia, & gubernat.
" Cui nimis gravem iram *hanc* submittens,
" Neque quos oderis

" Nimium

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 171. Ἀγγελίας ἀπατ.] οὐχ ἡ ἀγγελία ἠπατᾶτο, ἀλλ' ἀπὸ ταύτης Ἠλέκτρα. διὰ τί οὖν πρὸς τὴν ἀγγελίαν τὸ ἀπατώμενον λέγει; καὶ φαμὲν, ὅτι ἀπὸ τοῦ πάσχοντος τὸ ποιοῦν. ἡ ἀγγελία μὲν γὰρ τὴν ἀπάτην ἐποίει, αὐτὴ δὲ ἔπασχεν. ἄλλως τι δέον ἀπατωμένη ἐμοὶ εἰπεῖν, πρὸς τὸ τί εἴρηκεν. ἡ γὰρ ψευδὴς καὶ ματαία ἀγγελία ἀπατωμένη, ὥσπερ ἐστὶ πάσχουσα τὴν ἀπάτην ἀπὸ τοῦ ταῦτα μηνύοντος, ἐν αὐτῷ τῷ ψευδῶς μηνύεσθαι.

SCHOL. INED. 164. Μολόντα] Τουτέστι, τὸν ἐλευσόμενον. τὸ δὲ σχῆμα τοῦτο ἀλλοίωσις κατὰ χρόνον. *Bar.* 166. Ἄτεκνος, τάλαινα, ἀνύμφευτος] Τὸ σχῆμα τοῦτο καλεῖται πρωθύστερον· πρῶτον μὲν γίνεται νύμφη. ἔπειτα δὲ, τετεκνωμένη. *Bar.* 170. Ὧν τ' ἔπαθ'] Καὶ ὧν ἔπαθε καλῶν δηλονότι ὑπ' ἐμοῦ. καὶ ὧν ἐδάη, ἤγουν ἔμαθεν. ὅτι ἔπαθε δηλονότι. L. B. 172. Αἰεὶ μὲν γὰρ ποθεῖ] ποθεῖ δὲ, οὐκ ἀξιοῖ. τὸ σχῆμα τοῦτο καλεῖται κλιμακωτόν. *Bar.* 174. Θάρσει μοι] Μεγαλοπρεπὴς ὁ λόγος καὶ ἠθικός. καὶ ἡ συμβουλὴ γνωστικὴ καὶ χρήσιμος. *Bar.* 178. Μήθ' οἷς ἐχθαίρεις] Μή τε τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ ὑπεράχθου, οἷς ἐχθαίρεις, μήτε ἐπιλάθου. *Bar.*

180. Χρόνος

“ Ὑπεράχθεο, μήτ' ἐπιλάθου·
“ Χρόνος γὰρ εὐμαρὴς θεός.
Οὔτε γὰρ ὁ τὰν Κρῖσαν
Βουνόμαν ἔχων ἀκτὰν
Παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,
Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
Ηλ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
Ἀπολέλοιπεν ἤδη
Βίοτος ἀνέλπιστος,
Οὐδ' ἔτ' ἀρκῶ·
Ἅτις ἄνευ τοκέων κατατάκομαι,
Ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται.
Ἀλλ', ἁπερεί τις ἔποικος ἀναξία

Οἰκονομῶ

180. Χρόνος γὰρ εὐμαρὴς] ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. ἐνίοτε δὲ οὐ μετ' ὀλίγον ἀναμένειν τοῦ χρόνου ἥξει Ὀρέστης. ἢ εὐχερὴς ἔσται ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους. 181. Κρῖσαν] Φωκικήν. Κρῖσα γὰρ πόλις Φωκίδος. τὴν αὐτὴν τὴν Κρῖσαν, ἀντὶ κτητικοῦ, τουτέστι τῆς Κρίσης. 182. Βουνόμαν] βοῶν θρεπτικήν. 183. Ἀπερίτροπος] ἀνεπίστροφος, ἀνεπέλευστος, ἔνθεν καὶ τὸ περιτροπέων ἐνιαυτός. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός. ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται. καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου, ἀνεπέλευστος. ἐπὶ δὲ τοῦ Πλούτωνος, ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον, διαφόρως νοεῖται. καὶ Ὅμηρος, Ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω. τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν, ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν. 184. Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα] οὔτε ὁ ᾅδης ἀνεπίστροφος. ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Ἄλλως. παρὰ ἀντὶ τοῦ κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως. 185. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς] οἷον, τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς,

καὶ

" Nimium succenseas, neque penitus obliviscaris.
" Nam Tempus est facilis Deus.
Neque enim ille (qui Crisam tenet
Littore sitam pascuo)
Filius Agamemnonis,
Neque Deus apud Acherontem imperans
Nunquam redibunt *cædem patris tui ulturi.*
El. At mihi multum
Abiit jam
Vitæ sine fructu spei actæ;
Neque amplius queo sufficere:
Quæ parentibus orbata contabesco,
Quamque haud protegit amicus ullus.
Sed, velut inquilinus aliquis, indignis modis
Vitam

καὶ ὁ πλείων μοι (φησὶ) βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένῃ. ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται. 190. Ἇς φίλος οὔτις ἀνὴρ] ἤτοι, ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες αὐτὴν ἐν ἀτυχήμασιν εὐλαβούμενοι· ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος οὐκ ἐκποδὼν φίλοι. 191. Ἔποικος] ἀντὶ τοῦ μέτοικος. Ἀναξίου] ἀξίαν οὐκ ἔχουσα, ἀλλὰ ἄτιμος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 180. Εὐμαρὴς θεὸς] Διὰ τὸ ῥαδίως φέρειν τὸν χρόνον, νῦν μὲν ταῦτα, νῦν δ' ἐκεῖνα, εὐμαρῆ θεὸν ἐκάλεσε. λέγει δὲ τοῦτο, ἵν' αὐτὴν παραμυθήσηται, ὡς ἔλθῃ ποτὲ Ὀρέστης, καὶ παρὰ τῶν σῶν ἐχθρῶν λήψεται δίκην. 184. Παρὰ τὸν Ἀχέροντα] καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως. 187. Βίοτος ἀνέλπιστος] δέον ἀνέλπιστον εἰπεῖν πρὸς τὸ ἐμὲ, πρὸς τὸ βίοτος ἐπήνεγκεν.

SCHOL. INED. 180. Εὐμαρὴς] Ἀντὶ τοῦ εὐμαρείας πάροχος· ἤγουν εὐκολίας. L. B. 181. Κρίσαν] Κρίσσα, πόλις τῆς Φωκίδος. καὶ ἀκρωτήριον οὕτως ὀνομαζόμενον παρ' αὐτήν. ἔστι δὲ καὶ ἀκτὴ οὕτως ὀνομαζομένη. ἀφ' ὧν καὶ Κρισσαῖος κόλπος καλεῖται ἐν Πελοποννήσῳ, ὁ διὰ τῆς Ἤλιδος καὶ Πατρῶν, μέχρι Κορίνθου παρατεταμένος. ἀντικρὺ τούτων πρὸς βορρᾶν ἔχων Ναύπακτον, καὶ τὰ περὶ αὐτήν. *Bar.* 191. Ἀλλ' ὡσπερ] Ἀλλὰ ὡσπερεί τις ἔποικος ἀναξία, ἤγουν, μηδεμιᾶς φροντίδος ἀξία. *Bar.* Ἔποικος] Ἤγουν, ξένη, ἐν ἀλλοτρίᾳ οἰκίᾳ οἰκοῦσα. L. B.

Οἰκονομῶ θαλάμους πατρός, ὧδε μὲν
Ἀεικεῖ σὺν στολᾷ,
Κεναῖς δ' ἐφίσταμαι τραπέζαις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ α'.

Χο. Οἰκτρὰ μὲν νόστοις αὐδά,
Οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
Ὅτε σοὶ παγχάλκων ἀνταία
Γενύων ὡρμάθη πλαγά.
Δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
Δεινὰν δεινῶς προφυτεύσαντες
Μορφάν, εἴτ' οὖν θεός, εἴτε βροτῶν

Ἦν

192. Οἰκονομῶ] ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους. Ὧδε μὲν ἀεικεῖ] δεικτικῶς τὸ ὧδε. ἐλεεινὸν δὲ τὸ τοιοῦτον, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν. ἀεικεῖ δὲ ἀντὶ τοῦ αἰσχρᾷ, ἀπρεπεῖ· παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ καθήκειν. 195. Οἰκτρὰ μὲν νόστοις αὐδά] ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. ἀπὸ κοινοῦ δὲ τό, αὐδά. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός· οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ, οἷον, οἰκτρὰ πέπονθας καὶ ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δέ, ὅτι καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀνῃρέθη. 197. Ἀνταία γενύων] ὅτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων. γένυς γὰρ εἶδος πελέκεως. 199. Δόλος ἦν ὁ φράσας] ἀντὶ τοῦ ὁ φρασάμενος, ὁ δὲ ἀνελών, ἔρως. δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἑστίασιν ἐν ᾗ ἀνῃρέθη. Ἔρος ὁ κτείνας] ἔρος μικρόν, διὰ τὸ μέτρον. ὅτι δὲ καὶ μικρὸν γράφεται, δηλοῖ ἐκ τῆς αἰτιατικῆς. τὸν ἔρον γὰρ λεγόμενον· καὶ Ὅμηρος, Ἐξ ἔρον ἕντο. 200. Προφυτεύσαντες] προσκεψάμενοι, προκατασκευάσαντες. 201. Μορφάν] μορφήν, τύπον. τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου. Εἴτ' οὖν θεός] πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει. Εἴτε βροτῶν] εἴτε τις ἀπὸ βροτῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 196. Ἐν κοίταις πατρῴαις] ἤγουν εἰς ἃς κατεκλίθη μετὰ τὸ λελοῦσθαι Ἀγαμέμνων, καὶ παρὰ Κλυταιμνήστρας ἀπόλα-

λων,

Vitam ago in thalamis patris, sic quidem
Fœda amicta veste,
Vacuis autem assisto mensis.

ANTISTROPHICA. STROPHE 1.

Cho. Luctuosus sane de reditu *patris* nuncius,
Luctuosus & in lecto paterno *de matre*,
Quando tibi æreæ adversa
Securis irruit plaga.
Dolus id suasit, libido interfecit,
Horrendum horrende cum prius concepissent
Monstrum; sive Deus, sive mortalium

Quis

λω, ἐνδυθεὶς χιτωνίσκον κεφαλῆς καὶ χειρῶν οὐκ ἔχοντα ἔξοδον· εἰ καὶ μὴ Σοφοκλῆς οὕτω λέγει. 197. Ὅτε σοὶ] τὸ σοὶ ἐνταῦθα οὐκ ἔστιν ἀργόν. ἀλλ' ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς πληγὴ πρότερον ἑτέρων ὑπ' αὐτῆς ἐλογίσθη, διὰ τοῦτο τό σοι λέγει. 199. Δόλος ἦν ὁ φράσας] συλλογιστικῶς ἐνταῦθα τὸν ἔρωτά φησι τὸν φόνον ἐργάσασθαι· ἔρως μὲν γὰρ δόλον ἀπέτεκεν· ὁ δὲ τὸν φόνον ἐμηχανήσατο. ἄρα οὖν οὐκ ἄλλος ἀντ' ἔρωτός ἐστιν, ὁ τὸν φόνον ἐργασάμενος. προτέρου δὲ κειμένου τοῦ μέσου, ὕστερον τέθειται τὸ συμπέρασμα. μικρογραφεῖν δὲ δεῖ τὸ ἔρος, διὰ τὸ εἶναι τὸν πόδα ἀνάπαιστον. ὅτι δὲ Ἰωνικῶς οὕτω γράφεται, δῆλον ἐκ τῆς αἰτιατικῆς. τὸν ἔρον γάρ φασιν. ὡς καὶ Ὅμηρος, Ἐξ ἔρον ἕντο. ἰστέον δὲ ὅτι ἔρωτά τινες ἐνταῦθα τὸν τῆς Κλυταιμνήστρας πρὸς Αἴγισθον ἐξέλαβον· καὶ δόλον δι' οὗ αὐτὴ ἐμηχανήσατο τὸν τοῦ Ἀγαμέμνονος θάνατον. πρὶν γὰρ τοῦτον ἐκ Τροίας ἐλθεῖν, τὸ τοῦ φόνου δρᾶμα συνεσκευάσθη.

SCHOL. INED. 195. Οἰκτρὰ μὲν αὐδὰ] Ἤγουν, φωνὴ, ἐγένετο ἐν τοῖς νόστοις, ἤγουν, ἐν ταῖς ἐπιστροφαῖς εἰς οἶκον τοῦ σοῦ πατρὸς δηλονότι ὦ Ἠλέκτρα. οἰκτρὰ δὲ αὐδὴ ἀπὸ κοινοῦ ἐπεγίνετο ἐν ταῖς κοίταις ταῖς πατρῴαις, ὅτε ἀνταία ἤγουν καταπρόσωπος ἡ πληγὴ τῶν παγχάλκων γενύων, ἤγουν πελεκέων, ὡρμήθη σοι. *Bar.* Νόστοις] Τῶν νόστων τῶν σῶν δηλονότι. ἤγουν τῆς ἐπαναστροφῆς τῆς σῆς. L. B. Αὐδὰ] Ἀντὶ τοῦ ἀγγελία. ἐλεεινὴ μὲν ἡ ἀγγελία τῆς ἀναστροφῆς τῆς σῆς. ἐλεεινὴ δὲ ἡ ἀγγελία ἀπὸ κοινοῦ, ὅτε ἐν ταῖς κοίταις ταῖς πατρῴαις ὡρμήθη, ἤγουν ὠκινήθη ἐναντία σοι πληγὴ γενύων. τουτέστι στομάτων παγχάλκων, ἀντὶ τοῦ πελέκεως. L. B. 201. Εἴτ' οὖν] Ἀποφθεγματικὸς ὁ λόγος. οὐχ ὥς τινές φασιν ἐν ἀρᾶς σχήματι. L. B.

Ἦν ὁ ταῦτα πράσσων.

ΣΤΡΟΦΗ. β'.

ΗΛ. Ὦ πασᾶν κείνα πλέον ἁμέ-
ρ' ἐλθοῦσ' ἐχθίστα δή μοι·
Ὦ νὺξ ὦ δείπνων ἀῤῥήτων
Ἔκπαγλ' ἄχθη·
Τοὺς ἐμὸς εἶδε πατὴρ
Θανάτους ἀϊκεῖς διδύμαιν χειροῖν,
Αἳ τὸν ἐμὸν εἷλον βίον
Πρόδοτον, αἵ μ' ἀπώλεσαν·
Οἷς ὁ μέγας θεὸς Ὀλύμπιος
Ποίνιμα πάθεα παθεῖν πόροι,
Μηδέ ποτ' ἀγλαΐας ἀποναίατο,

Τοιάδ'

203. Ὦ πασᾶν κείνα] ὦ ἡμέρα ἐκείνη ἡ ἐλθοῦσα ἐμοὶ ἐχθίστη, ἡ μάλιστα μεμισημένη πασῶν ἡμερῶν. τὸ δὲ πλέον, περισσόν. 205. Ὦ δείπνων ἀῤῥήτων] τῶν ὑπὸ Αἰγίσθου (φησὶ) τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάσαι καλόν. 206. Ἔκπαγλ' ἄχθη] μεγάλα. 207. Τοὺς ἐμὸς εἶδε] ὤφελεν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ· ὁ δὲ, πρὸς τὸ σημαινόμενον ἀποδοὺς, λέγει, οὓς θανάτους ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμαιν χεροῖν. 208. Διδύμαιν χεροῖν] τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου. 209. Αἳ τὸν ἐμὸν εἷλον βίον] πάνυ περιπαθῶς, αἵτινες χεῖρες αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδωκαν τοῖς ἐχθροῖς. 211. Οἷς θεὸς] ἀπὸ τῶν χερῶν μεταβαίνει ἐπὶ τοὺς ἐργαζομένους ταῖς χερσί. 212. Ποίνιμα] ποινῆς ἄξια. ποινὴ δὲ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων, Ὅμηρος, Ποινὴν οὐ παιδὸς ἐδέξατο τεθνηῶτος. καὶ, Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας· τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ, Ποινὴν δεξαμένου. 213. Ἀγλαΐας] ἡδονῆς. δόξης.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 203. Κείνα πλέον] τὸ πλέον, περισσὸν, ἀρκεῖ γὰρ τὸ ἐχθίστη πρὸς γενικὴν συντετάχθαι. ἢ τὸ μὲν ἐχθίστη πρὸς τὸ πασᾶν ἐχέτω τὴν δύναμιν, τὸ δὲ πλέον πρὸς τὸ ἐχθίστη: ἢ ἀμφότερα

τὴν

Quis erat qui hæc patravit.

STROPHE 2.

El. O omnium illa dies
Longe acerbissima mihi certe, quæ *adhuc* venit!
O nox, O cœnæ nefandæ
Dira calamitas!
Qua cœna meus pater vidit
Indignas mortes à duorum manibus,
Quæ *manus* meam *quoque* vitam cepere
Proditam, quæ me funditus perdiderunt:
Quibus magnus ille Deus Olympius
Ultrices sceleris pœnas pati præbeat *affatim.*
Nulla unquam lætitia fruantur,

Qui

τὴν αὐτὴν ἐχέτω δύναμιν πρὸς τὸ πιστοῦν. δεῖγμα γὰρ τῆς ἔχθους ὑπερβολῆς, ὥσπερ ὅτε δύο ἢ τρεῖς ἀρνήσεις τίθεμεν εἰς ἄρνησιν μείζονα· πολλάκις δὲ καὶ λέξεις. 206. Ἔκπαγλ' ἄχθη] τὸ ἄχθη καὶ τὸ θανάτους ταὐτόν ἐστιν. εἰποῦσα γὰρ, ὦ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ, Ἐμὸς ἴδεν πατὴρ θανάτους ἀεικεῖς. εἰ καὶ τὸ ἄχθη κλητική ἐστιν· τὸ δὲ θανάτους, αἰτιατική· τὸ μὲν πρὸς τὸ ὦ συνταττόμενον· τὸ δὲ θανάτους, πρὸς τὸ ἴδεν. ἔστι δὲ τοῦτο ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήν γ' ἣν ὅ γ' εἴληχεν τύχην, Θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ. μὴ λάβῃς δὲ τὸ διδύμαιν ἀντὶ δοτικῆς, ἵνα καὶ τὸ ἔξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς, ἔστω, θανάτους διδύμαιν ἐχθρῶν, ἤγουν δὲ αἱ διπλαῖ χεῖρες [illegible] Κλυταιμνήστρας καὶ Αἰγίσθου. 213. Ἀπονήσαιτο] Ὀνάω, ὀνῶ, ὄνημι, ὄναμαι, εὐκτικὸν ὀναίμην, ὄναιο, ὄναιτο. τὸ τρίτον τῶν πληθυντικῶν ὄναιντο, καὶ Ἰωνικῶς ὀναίατο.

SCHOL. INED. 205. Ὦ νύξ] Ὦ ἔκπαγλα ἄχθη τοῦ ἀρρήτου δείπνου, καθ' ἃς [illegible] ὁ ἐμὸς πατὴρ εἶδε θανάτους ἀεικεῖς. διδύμαιν χεροῖν. ἤγουν τοῦ Αἰγίσθου, καὶ τῆς Κλυταιμνήστρας. Bar. L. B. 208. Διδύμαιν χεροῖν] Ἡ πληγὴ γὰρ τοῦ πελέκεως, δι' ἀμφοτέρων γίνεται τῶν χειρῶν, ὡς ἐπὶ τὸ πλεῖστον. L. B. 209. Τὸν ἐμὸν βίον] Ἤγουν, τὴν ἐμὴν ζωὴν εἷλον προδοτόν. ἀντὶ τοῦ ἀπώλεσαν. τουτέστι, φθορᾷ [illegible]. L. B. 211. Οἷς ὁ μέγας θεὸς] Ἤγουν, τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ. Bar. 213. Μηδέ ποτ'] Οὕτω συντακτέον· μηδέ ποτε ἀπονήσαιντο [illegible], ἤγουν ἀπολαύσαιεν ἀγλαΐας, τουτέστι λαμπρότητος. L. B. Ἀπονήσαιτο] Τὸ θέμα, ὀνῶ, ὁ μέλλων, [illegible] ὁ μέσος, [illegible] καὶ τὸ [illegible] ὄναιτο. καὶ τὸ τρίτον τῶν πληθυντ. ὄναιντο,

Τοιάδ' ἀνύσαντες ἔργα.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. Φράζου, μὴ πόρσω φωνεῖν.
Οὐ γνώμαν ἴσχεις ἐξ οἵων
Τὰ παρόντ', οἰκείας εἰς ἄτας
Ἐμπίπτεις οὕτως αἰκῶς;
Πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
Ψυχᾷ πολέμους. τὰ δὲ, τοῖς δυνατοῖς
Οὐκ ἐριστὰ πλάθειν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Ηλ. Ἐν δεινοῖς ἠναγκάσθην δή.

Ἔξοιδ'.

ὤναιντο, κοινῶς. καὶ Ἰωνικῶς καὶ ποιητικῶς, ὀναίατο· οἱ Ἴωνες, καὶ οἱ ποιηταὶ τροπῆς τοῦ ν εἰς α ἐν τῷ τρίτῳ προσώπῳ τῶν πληθυντ. εἰς α ποιοῦσι τὸ ἴδιον τρίτον. καὶ μετὰ τῆς ἀπὸ προθέσεως κατὰ συγκοπὴν ἐν συνθέσει, ἀπονιάτο. *Bar.*

215. Φράζου, μὴ πόρσω φωνεῖν] ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄστοχρως ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. 216. Οὐ γνώμαν ἴσχεις] οὐ νοεῖς, οὐ γινώσκεις (φησὶν) ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας; 217. Οἰκείας] ἤτοι τὰς συγγενικάς· ἢ ἀπὸ σοῦ ἐσομένας, καὶ οὐκ ἀλλαχόθεν. 220. Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ] σὲ αὐτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή· ὡς ἐν ἀτιμίαις αὐτῆς οὔσης. Ἄλλως. πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν, διὰ τὸ τῆς δυσθύμου ψυχῆς τίκτουσα αἰεὶ ταραχὰς καὶ ἔριδας. δύσθυμος δὲ, σκληρὸς, βαρύθυμος· ᾧ ἐναντίον ὁ εὔθυμος. 221. Τὰ δὲ, τοῖς δυνατοῖς οὐκ ἐριστὰ] τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν. ἀντὶ τοῦ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως. ταῦτα δὲ ἃ πράττεις, οὐκ ἐριστὰ τοῖς κρατοῦσιν ἐστί. τουτέστι, περὶ τούτων φιλονεικίαι πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορα.

ἐριστὴς

Qui talia perpetrarunt facinora.

ANTISTROPHE 1.

Cho. Confidera, parce ultra loqui:
Non memoria retines quali ex statu
In præsentia proprias ærumnas
In te accersis adeo indigne?
Magnam enim malorum copiam abunde parasti,
Tuo mœsto dum paris semper
Prælia corde. Hisce vero *in rebus*, cum potentibus
Congredi vana est contentio.

ANTISTROPHE 2.

El. Malorum acerbitate coacta fui sane.

Bene

ἐριστὴς δὲ, ὁ φιλόνεικος· ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότατα ἔχων εἰς τὸ ἐρίζειν. ὥσπερ φιλικὸς, ὁ ἐπιτήδειος εἰς φιλίαν. ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν. ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιὰ, ἡ ἀξία παίζεσθαι. 222. Πλάθειν] πελάζειν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 215. Μὴ πόρσω φωνεῖν] ἤγουν ἐκτὸς τοῦ δέοντος. δεῖ γὰρ σιγᾶν, καὶ μὴ κατὰ τῶν δυνατωτέρων θρασυστομεῖν. 217. Οἰκείας εἰς ἄτας] ἤγουν, αὐτὴ ἑαυτὴν εἰς κινδύνους ἐμβάλλεις οὐ σωφρονοῦσα. 221. Τὰ δὲ, τοῖς δυνατοῖς] ἤγουν ταῦτα, ἃ καθ' ἑκάστην πράττεις θρηνοῦσα καὶ καταρωμένη, οὐκ ἔριστα καὶ ἄξια εἰς μάχην καὶ ἄμυναν τοῖς δυνατοῖς, ὥστε πλάθειν καὶ ἐγγὺς ἰέναι, καὶ τὸ παράπαν, βλάπτειν αὐτοὺς δύνασθαι. ἀλλ' οἱ μὲν τούτων ἄνω καθεστήκασι· σοὶ δὲ μᾶλλον ταῦτα πολλὴν ἄγει τὴν βλάβην, μισεῖσθαι λέγω παρ' ἐκείνων, καὶ ἐν κακῶς μοίρᾳ δοκεῖν. 223. Ἐν δείνοις] οὐ χρὴ γράφειν, ἐν δείνοις ἠναγκάσθην ἐν δείνοις. περιττὸν γάρ ἐστι πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον, ἀλλ' ἐν δείνοις ἠναγκάσθην δή. δίμετρον γὰρ ὀφείλει εἶναι καὶ τοῦτο ὥσπερ ἐκεῖνο.

SCHOL. INED. 221. Δυνατοῖς] Τοῖς βασιλεῦσιν, ἤγουν Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ. *Bar.*

2 224. Ἔξοιδ'.

Ἔξοιδ'· οὐ λάθει μ' ὀργά.
Ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
Ταύτας ἄτας,
Ὄφρα μ' ἔχῃ βίοτος·
Τίνι γάρ ποτ' ἄν, ὦ φίλα γενέθλα,
Πρόσφορον ἀκούσαιμ' ἔπος;
Τίνι φρονοῦντι καίρια;
Ἄνετέ μ', ἄνετε παράγοροι·
Ταῦτα γὰρ ἄλυτα κεκλήσεται.
Οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι,
Ἀνάριθμος ὧδε θρήνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
Μάτηρ ὡσεί τις πιστά,
Μὴ τίκτειν σ' ἄταν ἄταις.

Ηλ.

224. Ἔξοιδ'· οὐ λάθει μ' ὀργά] τοῦτο ἔπος (φησὶν) οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον, διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι. 228. Τίνι γάρ ποτ'] παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων; ὥστε μὴ συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἰσχύειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων. οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. Ὦ φίλα γενέθλα] ὦ προσφιλὴς ἐμοὶ γενεά. 230. Τίνι φρονοῦντι] παρὰ τίνος φρονοῦντος καίρια, ἤγουν συμφέροντα. 231. Ἄνετέ μ', ἄνετε] ἐάσατε. οἷον, παύσασθε με παραμυθούμεναι. Ἢ οὕτως, ὑμεῖς με παραμυθούμεναι ἄνετε. ὅ ἐστιν, ἐπιτρέπετε ὀδύρεσθαι, καὶ μὴ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. 232. Ταῦτα γὰρ ἄλυτα] τὸ θρηνεῖν τὸν πατέρα, ἄλυτόν μοι ἐστίν. ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. 234. Ἀνάριθμος ὧδε θρήνων] ἔν τισι κεῖται ἀνάνομος. οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ

ἀνήριθμος,

Bene novi, non *mea* latet ira:
Attamen in *rebus his* atrocibus non temperabo
Ab his imprecationibus,
Dum vita nobis suppetat.
A quo enim unquam (O charum genus)
Audire *possem* commodam orationem?
A quo qui recta sapiat?
Dimittite me, dimittite consolatrices.
Hæc enim nullo dissolventur die:
Nunquam à doloribus cessabo,
Innumeros sic edens fletus.

ANAPÆSTI.

Cho. At *quæ dico*, præ benevolentia tantum dico,
Mater veluti fida,
Ne parias malum malis.

El.

ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. Ἢ οὕτως, ἀνάριθμος, οἷον οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ δαψιλέσι χρωμένη αὐτοῖς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 225. Ἀλλ' ἐν γὰρ] ἰστέον ὅτι τὸ ἀλλὰ μετὰ τοῦ γὰρ συντιθέμενον, ποτὲ μὲν ἀργὸν ἔχει τὸ γὰρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐνεργά. ὡς καὶ ἐνταῦθα, τὸ μὲν ἀλλὰ πρὸς τὸ οὐ σχήσω συνταττόμενον· τὸ δὲ γὰρ διὰ μέσου τιθέμενον, λαμβανομένου ἔξωθεν τοῦ εἰμί. γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλὰ καὶ τοῦ γὰρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. εἰ δὲ οὕτω τῷ ἀλλὰ τὸ γὰρ πλησιάζει ὡς μὴ μεσολαβεῖν μηδοτιοῦν, ἀργόν ἐστι παντελῶς τὸ γάρ. 231. Ἄνετέ μ'] τὸ ἄνετε οὐ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ' ἐξ ἀνάγκης καὶ ποιητικῇ ἀδείᾳ γίνεται. οὗτοι γὰρ, τριῶν ἐφεξῆς κειμένων βραχέων, μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα. ὡς οὖν τὸ ἀθάνατος εὕρηται ἀεὶ τὸ α ἔχον μακρὸν, καὶ τὸ ἀκάματος καὶ ἀπάλαμος, οὕτω καὶ τὸ ἄνετε ἐνταῦθα. οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φωνῆεν ποιήσωσιν, ὡς καὶ εἰς τὸ γενέθλα γέγονε. καὶ εἴπου δύο σύμφωνα εἶεν, τὸ ἓν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν· καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

SCHOL. INED. 234. Ἀνάριθμος] Ἀντὶ τοῦ, ἀμέτοχος· ἀπὸ τοῦ μὴ συναριθμεῖσθαι. L. B.

" Ὑπεράχθεο, μήτ' ἐπιλάθου·
" Χρόνος γὰρ εὐμαρὴς θεός.
Οὔτε γὰρ ὁ τὰν Κρίσαν
Βουνόμαν ἔχων ἀκτὰν
Παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,
Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
Ηλ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
Ἀπολέλοιπεν ἤδη
Βίοτος ἀνέλπιστος,
Οὐδ' ἔτ' ἀρκῶ·
Ἅτις ἄνευ τοκέων κατατάκομαι,
Ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται.
Ἀλλ', ἅπερ εἴ τις ἔποικος ἀναξία

Οἰκονομῶ

180. Χρόνος γὰρ εὐμαρὴς] ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. αἰνίττεται δὲ ὡς μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης. ἢ εὔχειρίς ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους. 181. Κρίσαν] Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος. τὴν αὐτὴν τὴν Κρίσαν, ἀντὶ κτητικοῦ, τουτέστι τὴν Κρισαίαν. 182. Βουνόμαν] βοῶν θρεπτικήν. 183. Ἀπερίτροπος] ἀνεπίστροφος, ἀνεπέλευστος. ἔνθεν καὶ τὸ περιτροπέων ἐνιαυτός. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, ὅτι Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός. ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται. καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσονται τὴν τιμωρίαν τῶν ἀδίκως ἀνῃρημένων προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου, ἀνεπέλευστος. ἐπὶ δὲ τοῦ Πλούτωνος, ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον, διαφόρως νοεῖται. καὶ Ὅμηρος, Ἔνθ' ἐλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω. τὸ ἐλέτην κατὰ κοινοῦ ἐστιν, ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν. 184. Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα] οὔτε ὁ ᾅδης ἀνεπίστροφος. ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Ἄλλως. παρὰ ἀντὶ τοῦ κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τοῦ παρὰ προθέσεως. 185. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς] οἷον, τὸ πλεῖστον τοῦ βίου ἀνήλωται ἐν κακοῖς,

καὶ

"Nimium succenseas, neque penitus obliviscaris.
"Nam Tempus *est* facilis Deus.
Neque enim ille (qui Crisam tenet
Littore sitam pascuo)
Filius Agamemnonis,
Neque Deus apud Acherontem imperans
Nunquam redibunt *cædem patris tui ulturi.*
El. At mihi multum
Abiit jam
Vitæ sine fructu spei actæ;
Neque amplius queo sufficere:
Quæ parentibus orbata contabesco,
Quamque haud protegit amicus ullus.
Sed, velut inquilinus aliquis, indignis modis
Vitam

καὶ ὁ πλεῖον μοι (φησὶ) βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην. ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται. 190. Ἇς φίλος οὔτις ἀνὴρ] ἤτοι, ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες αὐτὴν ἐν ἀτυχήμασιν εὐλαβούμενοι. ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος οὐ πολλοὶ φίλοι. 191. Ἔποικος] ἀντὶ τοῦ μέτοικος. Ἀναξία] ἀξίαν οὐκ ἔχουσα, ἀλλὰ ἄτιμος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 180. Εὐμαρὴς θεὸς] Διὰ τὸ ῥαδίως φέρειν τὸν χρόνον, νῦν μὲν ταῦτα, νῦν δ' ἐκεῖνα, εὐμαρῆ θεὸν ἐκάλεσε. λέγει δὲ τοῦτο, ἵν' αὐτὴν παραμυθήσηται, ὡς ἔλθῃ ποτὲ Ὀρέστης, καὶ παρὰ τῶν ἐχθρῶν λήψεται δίκην. 184. Παρὰ τὸν Ἀχέροντα] καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως. 187. Βίοτος ἀνέλπιστος] δέον ἀνέλπιστον εἰπεῖν πρὸς τὸ ἐμὲ, πρὸς τὸ βίοτος ἐπήνεγκεν.

SCHOL. INED. 180. Εὐμαρὴς] Ἀντὶ τοῦ εὐμαρείας πάροχος· ἤγουν εὐκολίας. L. B. 181. Κρῖσαν] Κρίσσα, πόλις τῆς Φωκίδος. καὶ ἀκρωτήριον οὕτως ὀνομαζόμενον παρ' αὐτήν. ἔστι δὲ καὶ ἀκτὴ οὕτως ὀνομαζομένη. ἀφ' ὧν καὶ Κρισσαῖος κόλπος καλεῖται ἐν Πελοποννήσῳ, ὁ διὰ τῆς Ἤλιδος καὶ Πατρῶν, μέχρι Κορίνθου παρατεταμένος. ἀντικρὺ τούτων πρὸς βορρᾶν ἔχων Ναύπακτον, καὶ τὰ περὶ αὐτήν. *Bar.* 191. Ἀλλ' ὥσπερ] Ἀλλὰ ὡσπερεί τις ἔποικος ἀναξία, ἤγουν, μηδεμιᾶς φροντίδος ἀξία. *Bar.* Ἔποικος] Ἤγουν, ξένη, ἐν ἀλλοτρίᾳ οἰκίᾳ οἰκοῦσα. L. B.

Οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν
Ἀεικεῖ σὺν στολᾷ,
Κεναῖς δ' ἐφίσταμαι τραπέζαις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ α'.

Χο. Οἰκτρὰ μὲν νόστοις αὐδὰ,
Οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
Ὅτε σοὶ παγχάλκων ἀνταία
Γενύων ὡρμάθη πλαγά.
Δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
Δεινὰν δεινῶς προφυτεύσαντες
Μορφὰν, εἴτ' οὖν θεὸς, εἴτε βροτῶν

Ἦν

192. Οἰκονομῶ] ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους. Ὧδε μὲν ἀεικεῖ] δεικτικῶς τὸ ὧδε. ἐλεεινὸν δὲ τὸ τοιοῦτον, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν. ἀεικεῖ δὲ ἀντὶ τοῦ αἰσχρᾷ, ἀπρεπεῖ· παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ καθήκειν. 195. Οἰκτρὰ μὲν νόστοις αὐδὰ] ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. ἀπὸ κοινοῦ δὲ τὸ, αὐδά. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγείλασα περὶ τοῦ νόστου τοῦ πατρός· οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ, οἷον, οἰκτρὰ πέπονθας καὶ ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, ὅτι καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀνῃρέθη. 197. Ἀνταία γενύων] ὅτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων. γένυς γὰρ εἶδος πελέκεως. 199. Δόλος ἦν ὁ φράσας] ἀντὶ τοῦ ὁ φρασάμενος, ὁ δὲ ἀνελὼν, ἔρως. δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἑστίασιν ἐν ᾗ ἀνῃρέθη. Ἔρος ὁ κτείνας] ἔρος μικρὸν, διὰ τὸ μέτρον. ὅτι δὲ καὶ μικρὸν γράφεται, δῆλον ἐκ τῆς αἰτιατικῆς. τὸν ἔρον γὰρ λέγομεν· καὶ Ὅμηρος, Ἐξ ἔρον ἕντο. 200. Προφυτεύσαντες] προσκεψάμενοι, προκατασκευάσαντες. 201. Μορφὰν] μορφὴν, τύπον. τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου. Εἴτ' οὖν θεὸς] πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει. Εἴτε βροτῶν] εἴτε τις ἀπὸ βροτῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 196. Ἐν κοίταις πατρῴαις] ἤγουν εἰς ἃς κατεκλίθη μετὰ τὸ λελοῦσθαι Ἀγαμέμνων, καὶ παρὰ Κλυταιμνήστρας ἀπόλωλεν,

Vitam ago in thalamis patris, sic quidem
Fœda amicta veste,
Vacuis autem assisto mensis.

ANTISTROPHICA. STROPHE I.

Cho. Luctuosus sane de reditu *patris* nuncius,
Luctuosus & in lecto paterno *de matre*,
Quando tibi æreæ adversa
Securis irruit plaga.
Dolus id suasit, libido interfecit,
Horrendum horrende cum prius concepissent
Monstrum; sive Deus, sive mortalium

Quis

λων, ἐνδυθεὶς χιτωνίσκον κεφαλῆς καὶ χειρῶν οὐκ ἔχοντα ἔξοδον· εἰ καὶ μὴ Σοφοκλῆς οὕτω λέγει. 197. Ὅτι σοὶ] τὸ σοὶ ἐνταῦθα οὐκ ἔστιν ἀργόν. ἀλλ' ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς πληγὴ πρότερον ἑτέρων ὑπ' αὐτῆς ἐλογίσθη, διὰ τοῦτο τό σοι λέγει. 199. Δόλος ἦν ὁ φράσας] συλλογιστικῶς ἐνταῦθα τὸν ἔρωτά φησι τὸν φόνον ἐργάσασθαι· ἔρως μὲν γὰρ δόλον ἀπέτεκεν· ὁ δὲ τὸν φόνον ἐμηχανήσατο. ἄρα οὖν οὐκ ἄλλος ἀντ' ἔρωτός ἐστιν, ὁ τὸν φόνον ἐργασάμενος. προτέρου δὲ κειμένου τοῦ μέσου, ὕστερον τέθειται τὸ συμπέρασμα. μικρογραφεῖν δὲ δεῖ τὸ ἔρος, διὰ τὸ εἶναι τὸν πόδα ἀνάπαιστον. ὅτι δὲ Ἰωνικῶς οὕτω γράφεται, δῆλον ἐκ τῆς αἰτιατικῆς. τὸν ἔρον γάρ φασιν. ὡς καὶ Ὅμηρος, Ἐξ ἔρον ἕντο. ἰστέον δὲ ὅτι ἔρωτά τινες ἐνταῦθα τὸν τῆς Κλυταιμνήστρας πρὸς Αἴγισθον ἐξέλαβον· καὶ δόλον δι' οὗ αὐτὴ ἐμηχανήσατο τὸν τοῦ Ἀγαμέμνονος θάνατον. πρὶν γὰρ τοῦτον ἐκ Τροίας ἐλθεῖν, τὸ τοῦ φόνου δρᾶμα συνεσκευάσθη.

SCHOL. INED. 195. Οἰκτρὰ μὲν αὐδὰ] Ἤγουν, φωνὴ, ἐγένετο ἐν τοῖς νόστοις, ἤγουν, ἐν ταῖς ἐπιστροφαῖς εἰς οἶκον τοῦ σοῦ πατρὸς δηλονότι ὦ Ἠλέκτρα. οἰκτρὰ δὲ αὐδὴ ἀπὸ κοινοῦ ἐπεγένετο ἐν ταῖς κοίταις ταῖς πατρῴαις, ὅτε ἀνταία ἤγουν καταπρόσωπος ἡ πληγὴ τῶν παγχάλκων γενύων, ἤγουν πελεκέων, ὡρμήθη σοι. *Bar.* Νόστοις] Τῶν νόστων τῶν σῶν δηλονότι. ἤγουν τῆς ἐπαναστροφῆς τῆς σῆς. L. B. Αὐδὰ] Ἀντὶ τοῦ ἀγγελία. ἐλεεινὴ μὲν ἡ ἀγγελία τῆς ἀναστροφῆς τῆς σῆς. ἐλεεινὴ δὲ ἡ ἀγγελία ἀπὸ κοινοῦ, ὅτε ἐν ταῖς κοίταις ταῖς πατρῴαις ὡρμήθη, ἤγουν ἐκινήθη ἐναντία σοι πληγὴ γενύων. τουτέστι στομάτων παγχάλκων, ἀντὶ τοῦ πελέκεως. L. B. 201. Εἴτ' οὖν] Ἀποφηματικὸς ὁ λόγος. οὐχ ὥς τινές φασιν ἐν ἀρᾶς σχήματι. L. B.

Ἦν ὁ ταῦτα πράσσων.

ΣΤΡΟΦΗ. β.

Ηλ. Ὦ πασᾶν κείνα πλέον ἁμέ-
ρ' ἐλθοῦσ' ἐχθίστα δή μοι·
Ὦ νὺξ, ὦ δείπνων ἀρρήτων
Ἔκπαγλ' ἄχθη·
Τοὺς ἐμὸς εἶδε πατὴρ
Θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
Αἳ τὸν ἐμὸν εἷλον βίον
Πρόδοτον, αἵ μ' ἀπώλεσαν·
Οἷς ὁ μέγας θεὸς Ὀλύμπιος
Ποίνιμα πάθεα παθεῖν πόροι,
Μηδέ ποτ' ἀγλαΐας ἀποναίατο,

Τοιάδ'

203. Ὦ πασᾶν κείνα] ὦ ἡμέρα αὕτη ἡ ἐλθοῦσα ἐμοὶ ἐχθίστη, ἡ μάλιστα [illegible] πασῶν ἡμερῶν, τὸ δὲ πλέον, περισσόν. 205. Ὦ δείπνων ἀρρήτων] τῶν ὑπὸ Αἰγίσθου (φησὶ) τῷ Ἀγαμέμνονι [illegible] ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάζεσθαι καλόν. 206. Ἔκπαγλ' ἄχθη] μεγάλα. 207. Τοὺς ἐμὸς εἶδε] ὤφειλεν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ· ὁ δὲ πρὸς τὸ [illegible] ἀπέδωκε, λέγων, οὓς θανάτους ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμων χειρῶν. 208. Διδύμαιν χειροῖν] τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου. 209. Αἳ τὸν ἐμὸν εἷλον βίον] πάνυ [illegible], αἵτινες χεῖρες αἱ κτείνασαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προδεδώκασι τοῖς ἐχθροῖς. 211. Οἷς θεὸς] ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τοὺς ἐργαζομένους ταῖς χερσί. 212. Ποίνιμα] ποινῆς ἄξια. ποινὰ δὲ λέγει) ἐπὶ μόνης καταβολῆς [illegible], Ὅμηρος, Ποινὴν οὗ παιδὸς ἐδέξατο τεθνηῶτος. καὶ, Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πολλ' ἀποτίσας· τοῦ δέ τ' ἐρητύει [illegible]. 213. Ἀγλαΐας] [illegible].

ΣΚΟΛ. ΤΡΙΚΑΙΝ. 203. Κείνα πλέον] τὸ πλέον, περισσόν, ἀρκεῖ γὰρ τὸ ἐχθίστη πρὸς γνησίαν [illegible]. ἢ τὸ μὲν ἐχθίστη πρὸς τὸ πασᾶν ἐχέτω τὴν δύναμιν, τὸ δὲ πλέον πρὸς τὸ ἐχθίστη: ἢ [illegible]

τὴν

Quis erat qui hæc patravit.

STROPHE 2.

El. O omnium illa dies
Longe acerbissima mihi certe, quæ *adhuc* venit!
O nox, O cœnæ nefandæ
Dira calamitas!
Qua cœna meus pater vidit
Indignas mortes à duorum manibus,
Quæ *manus* meam *quoque* vitam cepere
Proditam, quæ me funditus perdiderunt:
Quibus magnus ille Deus Olympius
Ultrices sceleris pœnas pati præbeat *affatim*.
Nulla unquam lætitia fruantur,

Qui

τὴν αὐτὴν ἐχέτω δύναμιν πρὸς τὸ πιστόν. δεῖγμα γὰρ τῆς ἐχθίστης ὑπερβολῆς, ὥσπερ ὅτε δύο ἢ τρεῖς ἀρνήσεις τίθεμεν εἰς ἄρνησιν μείζονα· πολλάκις δὲ καὶ λέξεις. 206. Ἔκπαγλ' ἄχθη] τὸ ἄχθη καὶ τὸ θανάτους ταὐτόν ἐστιν. εἰποῦσα γὰρ, ὦ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ, Ἐμὸς ἴδεν πατὴρ θανάτους ἀεικεῖς. εἰ καὶ τὸ ἄχθη κλητική ἐστιν· τὸ δὲ θανάτους, αἰτιατική· τὸ μὲν πρὸς τὸ ὦ συντασσόμενον· τὸ δὲ θανάτους, πρὸς τὸ ἴδεν. ἔστι δὲ τοῦτο ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὅδ' εἴληχεν τύχην, Θανόντες ἂν προὐκείμεθ' ἐχθίστῳ μόρῳ. μὴ λάθῃ σε τὸ διδύμαιν ἀντὶ δοτικῆς, ἵνα καὶ ἐν ἔξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς, ἤτοι, θανάτους διδύμαιν ἐχθρῶν, ἤγουν ἃς αἱ διπλαῖ χεῖρες εἰργάσαντο Κλυταιμνήστρας καὶ Αἰγίσθου. 213. Ἀπονοίατο] Ὀνάω, ὀνῶ, ὄνημι, ὄναμαι, εὐκτικὸν ὀναίμην, ὄναιο, ὄναιτο. τὸ τρίτον τῶν πληθυντικῶν ὄναιντο, καὶ Ἰωνικῶς ὀναίατο.

SCHOL. INED. 205. Ὦ νὺξ] Ὦ ἔκπαγλα ἄχθη τῶν ἀῤῥήτων δείπνων, καθ' ἃ ὁ ἐμὸς πατὴρ εἶδε θανάτους ἀεικεῖς. Διδύμαιν χεροῖν. ἤγουν, τοῦ Αἰγίσθου, καὶ τῆς Κλυταιμνήστρας. Bar. L. B. 208. Διδύμαιν χεροῖν] Ἡ πληγὴ γὰρ τοῦ πελέκεως, δι' ἀμφοτέρων γίνεται τῶν χειρῶν, ὡς ἐπὶ τὸ πλεῖστον. L. B. 209. Τὸν ἐμὸν βίον] Ἤγουν, τὴν ἐμὴν ζωὴν εἷλον προδότιν. ἀντὶ τοῦ ἀπώλεσαν. τουτέστι, φθορᾶς ἀπώλεσαν ἔχουσαν. L. B. 211. Οἷς ὁ μέγας θεὸς] Ἤγουν, τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ. Bar. 213. Μηδέ ποτ'] Οὕτω συντακτέον· μηδὲ ἀπόναιντό ποτε, ἤγουν ἀπολαύσαιεν ἀγλαΐας, τουτέστι λαμπρότητος. L. B. Ἀπονοίατο] Τὸ θέμα, ὄνω. ὁ μέλλων, ὀνήσω. ὁ ἀόρ. ὤνησα. ὁ μέσος, ὠνησάμην. καὶ τὸ εὐκτικὸν, ὀνησαίμην, ὄναιο, ὄναιτο. καὶ τὸ τρίτον τῶν πληθυντ. ὄναιντο,

Τοιάδ' ἀνύσαντες ἔργα.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. Φράζου, μὴ πόρσω φωνεῖν.
Οὐ γνώμαν ἴσχεις ἐξ οἵων
Τὰ παρόντ', οἰκείας εἰς ἄτας
Ἐμπίπτεις οὕτως αἰκῶς;
Πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
Ψυχᾷ πολέμους. τὰ δὲ, τοῖς δυνατοῖς
Οὐκ ἐριστὰ πλάθειν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Ηλ. Ἐν δεινοῖς ἠναγκάσθην δή.

Ἔξοιδ'.

ὄναιντο, κοινῶς. καὶ Ἰωνικῶς καὶ ποιητικῶς, ὀναίατο· οἱ Ἴωνες, καὶ οἱ ποιηταὶ τροπῆς τοῦ ν εἰς τὸ α ἐν τῷ τρίτῳ προσώπῳ τῶν πληθυντ. εἰς α ποιοῦσι τὸ ἴδιον τρίτον. καὶ μετὰ τῆς ἀπὸ προθέσεως κατὰ συγκοπὴν ἐν συνθέσει, ἀπονναίατο. *Bar.*

215. Φράζου, μὴ πόρσω φωνεῖν] ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἐπιτείνειν ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. 216. Οὐ γνώμαν ἴσχεις] οὐ νοεῖς, οὐ γινώσκεις (φησὶν) ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνάγκης ἐλήλυθας; 217. Οἰκείας] ἤτοι τὰς συγγενικάς· ἢ ἀπὸ σοῦ ἐσομένας, καὶ οὐκ ἀλλαχόθεν. 220. Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ] σεαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή· ὡς ἐν ἀτιμίαις αὐτῆς οὔσης. Ἄλλως. πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν, διὰ τῆς σῆς δυσθύμου ψυχῆς τίκτουσα ἀεὶ ταραχὰς καὶ ἔριδας. δύσθυμος δὲ, σκληρὸς, βαρύθυμος· οὗ ἐναντίον ὁ εὔθυμος. 221. Τὰ δὲ, τοῖς δυνατοῖς οὐκ ἐριστὰ] τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν. ἀντὶ τοῦ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως. ταῦτα δὲ ἃ πράττεις, οὐκ ἐριστὰ τοῖς κρατοῦσιν ἐστί· τουτέστι, περὶ τούτων φιλονεικίαι πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον.

ἐριστὰ

Qui talia perpetrarunt facinora.

ANTISTROPHE 1.

Cho. Considera, parce ultra loqui:
Non memoria retines quali ex statu
In præsentia proprias ærumnas
In te accersis adeo indigne?
Magnam enim malorum copiam abunde parasti,
Tuo mœsto dum paris semper
Prælia corde. Hisce vero *in rebus*, cum potentibus
Congredi vana est contentio.

ANTISTROPHE 2.

El. Malorum acerbitate coacta fui sane.

Bene

ἐριστὴς δὲ, ὁ φιλόνεικος· ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότατα ἔχων εἰς τὸ ἐρίζειν. ὥσπερ φιλικὸς, ὁ ἐπιτήδειος εἰς φιλίαν. ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν. ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιὰ, ἡ ἀξία παίζεσθαι. 222. Πλάθειν] πελάζειν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 215. Μὴ πόρσω φωνεῖν] ἤγουν ἐκτὸς τοῦ δέοντος. δεῖ γὰρ σιγᾷν, καὶ μὴ κατὰ τῶν δυνατωτέρων θρασυστομεῖν. 217. Οἰκείας εἰς ἄτας] ἤγουν, αὐτὴ ἑαυτὴν εἰς κινδύνους ἐμβάλλεις οὐ σωφρονοῦσα. 221. Τὰ δὲ, τοῖς δυνατοῖς] ἤγουν ταῦτα, ἃ καθ' ἑκάστην πράττεις θρηνοῦσα καὶ καταρωμένη, οὐκ ἄριστα καὶ ἄξια εἰς μάχην καὶ ἄμυναν τοῖς δυνατοῖς, ὥστε πλάθειν καὶ ἐγγὺς ἰέναι, καὶ τὸ παράπαν, βλάπτειν αὐτοὺς δύνασθαι. ἀλλ' οἱ μὲν τούτων ἄνω καθεστήκασι· σοὶ δὲ μᾶλλον ταῦτα πολλὴν ἄγει τὴν βλάβην, μισεῖσθαι λέγω παρ' ἐκείνων, καὶ ἐν κακὸς μοίρᾳ δοκεῖν. 223. Ἐν δείνοις] οὐ χρὴ γράφειν, ἐν δείνοις ἠναγκάσθην ἐν δείνοις. περισσὸν γάρ ἐστι πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον, ἀλλ' ἐν δείνοις ἠναγκάσθην δή. δίμετρον γὰρ ὀφείλει εἶναι καὶ τοῦτο ὥσπερ ἐκεῖνο.

SCHOL. INED. 221. Δυνατοῖς] Τοῖς βασιλεῦσιν, ἤγουν Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ. *Bar.*

Ἔξοιδ'· οὐ λάθει μ' ὀργά.
Ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
Ταύτας ἄτας,
Ὄφρα μ' ἔχῃ βίοτος.
Τίνι γάρ ποτ' ἄν, ὦ φίλα γενέθλα,
Πρόσφορον ἀκούσαιμ' ἔπος;
Τίνι φρονοῦντι καίρια;
Ἄνετέ μ', ἄνετε παράγοροι·
Ταῦτα γὰρ ἄλυτα κεκλήσεται.
Οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι,
Ἀνάριθμος ὧδε θρήνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
Μάτηρ ὡσεί τις πιστά,
Μὴ τίκτειν σ' ἄταν ἄταις.

Ἠλ.

224. Ἔξοιδ'· οὐ λάθει μ' ὀργὰ] τοῦτο ἔπος (φησὶν) οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον, διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι. 228. Τίνι γάρ ποτ'] παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων; ὥστε μὴ συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἰσχύειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων. οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. Ὦ φίλα γενέθλα] ὦ προσφιλὴς ἐμοὶ γενεά. 230. Τίνι φρονοῦντι] παρὰ τίνος φρονοῦντος καίρια, ἤγουν συμφέροντα. 231. Ἄνετέ μ', ἄνετε] ἐάσατε. οἷον, παύσασθε με παραμυθούμεναι. Ἢ οὕτως, ὑμεῖς με παραμυθούμεναι ἄνετε. ὅ ἐστιν, ἐπιτρέπετε ὀδύρεσθαι, καὶ μὴ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. 232. Ταῦτα γὰρ ἄλυτα] τὸ θρηνεῖν τὸν πατέρα, ἄλυτόν μοι ἐστίν. ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. 234. Ἀνάριθμος ὧδε θρήνων] ἔν τισι κεῖται ἀνάνομος. οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ἀνήριθμος,

Bene novi, non *mea* latet ira:
Attamen in *rebus his* atrocibus non tempera-
bo
Ab his imprecationibus,
Dum vita nobis suppetat.
A quo enim unquam (O charum genus)
Audire *possem* commodam orationem?
A quo qui recta sapiat?
Dimittite me, dimittite consolatrices.
Hæc enim nullo dissolventur die:
Nunquam à doloribus cessabo,
Innumeros sic edens fletus.

ANAPÆSTI.

Cho. At *quæ dico*, præ benevolentia tantum dico,
Mater veluti fida,
Ne parias malum malis.

El.

ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. Ἢ οὕτως, ἀνάριθμος, οἷον οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ δαψιλέσι χρωμένη αὐτοῖς.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 225. Ἀλλ' ἐν γὰρ] ἰστέον ὅτι τὸ ἀλλὰ μετὰ τοῦ γὰρ συντιθέμενον, ποτὲ μὲν ἀργὸν ἔχει τὸ γὰρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐνεργά. ὡς καὶ ἐνταῦθα, τὸ μὲν ἀλλὰ πρὸς τὸ οὐ σχήσω συνταςσόμενον· τὸ δὲ γὰρ διὰ μέσου τιθέμενον, λαμβανομένου ἔξωθεν τοῦ εἰμί. γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλὰ καὶ τοῦ γὰρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. εἰ δὲ οὕτω τῷ ἀλλὰ τὸ γὰρ πλησιάζει ὡς μὴ μεσολαβεῖν μηδοτιοῦν, ἀργόν ἐστι παντελῶς τὸ γάρ. 231. Ἄνετέ μ'] τὸ ἄνετε οὐ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ' ἐξ ἀνάγκης καὶ ποιητικῇ ἀδείᾳ γίνεται. ὄντων γὰρ, τριῶν ἐφεξῆς κειμένων βραχέων, μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα. ὡς οὖν τὸ ἀθάνατος εὑρίσκεται ἀεὶ τὸ α ἔχον μακρὸν, καὶ τὸ ἀκάματος καὶ ἀπάλαμος, οὕτω καὶ τὸ ἄνετε ἐνταῦθα. οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φωνῆεν ποιήσωσιν, ὡς καὶ εἰς τὸ γενέθλα γέγονε. καὶ εἴπου δύο σύμφωνα εἶεν, τὸ ἓν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν· καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

SCHOL. INED. 234. Ἀνάριθμος] Ἀντὶ τοῦ, ἀμέτοχος· ἀπὸ τοῦ μὴ συναριθμεῖσθαι. L. B.

Ηλ. Καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
Πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
Ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
Μήτ' εἴην ἔντιμος τούτοις·
Μήτ', εἴτῳ πρόσκειμαι χρηστῷ,
Ξυναίοιμ' εὔκηλος, γονέων
Ἐκτίμους ἴσχουσα πτέρυγας
Ὀξυτόνων γόων.
Εἰ γὰρ ὁ μὲν θανὼν
Γᾶ τε καὶ οὐδὲν ὢν,
Κείσεται τάλας·
Οἱ δὲ μὴ πάλιν
Δώσουσ' ἀντιφόνους δίκας,

Ἔρρει

238. Καὶ τί μέτρον] ἔχει τόδε τὸ κακὸν, ὥστε μετρίως θρηνεῖν· πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων. Κακότητος] τῆς συγχύσεώς μου. 241. Μήτ' εἴην ἔντιμος τούτοις] τοῖς ἀμελοῦσι τῶν γονέων. μὴ εἴη μοι ταύτης τῆς τιμῆς, τὸ τοὺς γονέας μὴ μέχρι τοῦ παντὸς ὀδύρεσθαι· τουτέστι, μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων. 242. Μήτ', εἴτῳ πρόσκειμαι χρηστῷ] μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ συνοικοίην εὔκηλος. οἷον, μηδὲ, εἰ ἀγαθός τις ἐστὶν, ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ, ζηλοῦσα αὐτὸν καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο. μήτε οὖν αὐτὴ γενοίμην, μήτε εἰ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων. Ἢ οὕτως, μηδὲ εἰ συνοικοίην χρηστῷ τινι ἀνδρὶ, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα, καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους. 243. Γονέων ἐκτ.] τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους. ἀντὶ τοῦ ἐκτὸς τιμῆς. ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἴην ἰδίᾳ τῶν γονέων. πτέρυγας δὲ ὀξυτόνων γόων εἴρηκε, διὰ τὸ ταχύ· ἅμα μὲν γὰρ τῇ μνήμῃ καὶ ὀδυρμὸς, οὐδενὸς τοῦ μεταξὺ ὄντος. ὀξυγόους δὲ, διὰ τὸ σφοδρόν. καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν. 249. Πάλιν δώσουσιν] ἀντὶ τοῦ ἀνταποδώσουσιν, ἀντισταθμήσουσι τοῦ φόνου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 244. Ἴσχουσα] εἰκότως τὰς πτέρυγας εἶπεν ἐπὶ τῶν γόων· δίκην γὰρ πτερῶν ἄνω πρὸς ὕψος φέρονται. ἡ δὲ σύνταξις,

ἔχουσα

El. At quis, quæso, modus meæ afflictionis?
Quî possum mortuos negligere cum laude?
Cui hoc hominum ingenitum est?
Neque sim apud illos honorata:
Nec, sicui adjuncta forem *viro* benigno,
Silentium agerem cohabitans, parentibus
Impias sistens alas
Acute-sonantium luctuum.
Nam ille si sic mortuus
Jacebit miser in terram
Et in nihilum redactus:
Illique non vicissim
Dabunt meritas pro cæde pœnas,
Valeat

ἴσχουσα εὔκηλος καὶ ἥσυχος πτέρυγας γόων ὀξυτόνων, ἐκτίμους καὶ ἀτίμους τῶν γονέων. δέον δὲ εὐκήλως εἰπεῖν, εὔκηλος εἶπε πρὸς τὸ ἴσχουσα. 246. Εἰ γὰρ] αὕτη ἡ κατασκευή ἐστι πρὸς τὸ γονέων ἐκτίμους ἴσχουσα θρήνων πτέρυγας, εἰ καὶ ἀσάφειάν πως ἔχει. ὁ γὰρ παρ' αὐτοῖς πρὸς τοὺς γονέας γινόμενος θρῆνος, τιμὴν μὲν ἐκείνοις παρέχει, κατάρα δέ ἐστι τῶν αὐτοὺς φονευσάντων.

SCHOL. INED. 238. Καὶ τί μέτρον] Ἤγουν, ποία συμμετρία κακώσεως, ἤγουν, κακοπραγίας ἔφυ, ἤγουν, ὑπῆρξεν; L.B. 241. Μήτ' εἴην] Ἀντιστρόφως τοῦτο λέγει. ἤγουν, μὴ εἴη μοι ταῦτα διὰ τιμῆς. τὸ δὲ πᾶν. μήτε εἴη μοι ταῦτα διὰ τιμῆς· ἤγουν τὸ ἀμελῶς διακεῖσθαι δηλονότι ἐπὶ τοῖς ἐπιθανοῦσι. μήτε, εἴ τινι χρηστῷ πρόσκειμαι, ξυνναίοιμι, ἤγουν συνοικοίην δηλονότι εὔκηλος, τουτέστιν ἥσυχος, ἔχουσα πτέρυγας γόων ὀξυτόνων, ἀντὶ τοῦ, γόους ὑψηλοφώνους, ἐκτίμους τῶν γονέων, ἤτοι ἀφιστάμενος τῆς τιμῆς τῶν γονέων. L. B. Τούτοις] Τοῖς ἀνθρώποις, τοῖς ἀμελοῦσι δηλονότι τῶν οἰκείων ἀποθανόντων, καὶ ταῦτα τοιούτῳ τρόπῳ, καὶ πικρῷ τέλει παραλόγως καὶ ἀδίκως φθαρέντων. μήτε εὔκηλος καὶ ἀμνήμων τῶν ἐμῶν γονέων εἴην εἴθε, εἰ πρόσκειμαι καί τινι χρηστῷ φίλῳ δηλονότι. οὐκ οὐδὲ φίλῳ χρηστῷ πρόσκειμαι, ἀλλὰ μᾶλλον ἐχθροῖς, Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ. μήτε ἔχουσα ἀτίμους πτέρυγας, ἤγουν κινήσεις θρήνων μεγαλοφώνων, εἴθε συγκατοικοίην τοιούτοις ἀνθρώποις, ἐν οἷς μνήμη γονέων οὐκ ἔστι δηλονότι, ἔχουσα καὶ ἐγὼ αὐτὴ ἀτίμους πτέρυγας ὀξυτόνων γόων. *Bar.* 244. Ἐκτίμους ἴσχουσα] Ἀτίμους ἔχουσα πτέρυγας ὀξυτόνων γόων. τοῦτο λέγει ἀπὸ μεταφορᾶς τοῦ τέττιγος, ὅστις ἐκ τῆς κινήσεως τῶν πτερύγων ᾄδει φωνὰς ὀξυτόνους. *Bar.*

Ἔρροι τ' ἂν αἰδὼς, ἁπάντων
τ' εὐσέβεια θνητῶν.

ΙΑΜΒΟΙ.

Χο. Ἐγὼ μὲν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα,
Καὶ τοὐμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
Λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
Ηλ. Αἰσχύνομαι μὲν, ὦ γυναῖκες, εἰ δοκῶ
Πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
Ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾷν.
Σύγγνωτε· πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
Πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,
Ἃ 'γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
Θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ.

Ἡ

251. Αἰδὼς] ἥ τε αἰδὼς ἔρροι, καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τοῦ ἀδίκως ἀνῃρημένου μὴ τιμωρία ἔσται. 255. Σὺ νίκα] τὸ σὺ νίκα, πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται. 256. Αἰσχύνομαι μὲν] αἰδοῦμαι εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν, καὶ ἀπαραμυθήτως ἔχειν. 257. Δυσφορεῖν] ἀγανακτεῖν. τὸ δυσφορεῖν κυρίως ἐπὶ νόσου λέγεται, ᾧ ἐναντίον τὸ εὐφορεῖν, ὡς παρ' Ἱπποκράτει, Εὐφόρως φορέουσι. 258. Ἀλλ' ἡ βία γὰρ] ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. λέγει δὲ, Ἀλλὰ σύγγνωτε· ἡ βία γὰρ ἀναγκάζει με δρᾷν ταῦτα. 261. Ἃ 'γὼ κατ' ἦμαρ] ἀναγκαίως κέχρηται τῷ νοήματι. ἐπὶ μὲν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα· ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τὰ Αἰγίσθου ὁσημέραι γιγνόμενα, εἰκότως παρατείνει καὶ τὸ πενθεῖν. 262. Καταφθίνονθ'] μαραινόμενα, κατὰ μεταφορὰν, ἀντὶ τοῦ μειούμενα. τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, ἢ τὸ φθίνειν. φθίνειν γὰρ καὶ μαραίνεσθαι ταὐτὸν. καὶ ἀπὸ τούτων, καὶ ἐπ' ἄλλων, ὡς ἐνταῦθα, θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ τοῦ αὐξάνοντα μᾶλλον καὶ τρεφόμενα, ἢ μειούμενα.

ΣΧΟΛ.

Valeat pudor, & omnium
Pietas simul mortalium.

IAMBI.

Cho. Ego quidem, O filia, & tuam rem sedulo agens simul,
Et meam ipsius huc veni: si vero minus recte
Loquor, tu viceris: te enim sequemur simul.
El. Pudet me quidem, O mulieres, si videor vobis
Nimis impotenter ferre hæc immoderato luctu.
At enim vis me cogit hæc facere.
Ignoscite: quomodo enim generosa quæ sit mulier
Paterna cernens infortunia non lugeat hæc,
Quæ ego diebus & noctibus semper
Virere plus quam decrescere cerno:

Cui

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 251. Ἔρροι τ' ἂν αἰδὼς] φθαρείη ἡ παρὰ τῶν ἀνθρώπων πρὸς θεοὺς εὐσέβεια καὶ αἰδώς. νομίζουσι γὰρ οὐκ εἶναι θεούς, μὴ τῆς κακίας κολαζομένης. 253. Καὶ τὸ σὸν σπεύδουσ'] ἤγουν ἵνα μὴ κατὰ σοῦ τοὺς ἐχθροὺς κινήσῃς τῷ συνεχεῖ θρήνῳ, καὶ ταῖς πρὸς αὐτοὺς λοιδορίαις· καὶ τοὐμὸν, ἵνα μὴ ἄφιλος δόξω ἐν τοιούτῳ καιρῷ, μὴ πρὸς παραμυθίαν σοῦ χωρήσασα. 258. Ἀλλ' ἡ βία] τὸ ἀλλὰ πρὸς τὸ σύγγνωτε σύναπτε· τὸ δὲ ἡ βία γὰρ; διὰ μέσου ἐστί. κατασκευὴ γάρ ἐστι, τίνος χάριν αὐτῇ συγγνώσονται. 259. Ἥτις εὐγενὴς γυνὴ] οὐ χρὴ γράφειν τὸ ἥτις. τοιοῦτον γάρ ἐστιν οἷον τὸ ὅ, τι εὑρίσκομεν, ποτὲ μὲν τοῦ ὃ τὴν δύναμιν ἔχοντος, ποτὲ δὲ τοῦ τις· καὶ οἷον τὸ ὅν τινα, καὶ ἥν τινα, καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προείρηται, εἰς τὸ, Οὐκοῦν ἂν εἴποις ἥν τιν' αἰτίαν προσθείς. κἀνταῦθα οὖν τό τις μόνον ἔχει τὴν δύναμιν. ¶ Σχήμ. Τρικλ. 256. Αἰσχύνομαι] αἰτιολογία τίνος ἕνεκα οὕτω θρηνεῖ ἀπαράκλητα.

SCHOL. INED. 254. Εἰ δὲ μὴ] Εἰ δὲ μὴ καλῶς δοκῶ λέγειν, νικάτω τὸ σὸν θέλημα· σοὶ γὰρ ἀκολουθήσομεν ὁμοῦ· ἤγουν συνδραμούμεθα γὰρ τῷ σῷ θελήματι. L. B. 260. Οὐ δρῴη] Ἤγουν, οὐ ποιοίη ἂν τάδε· ὥσπερ ἐγὼ δηλονότι ποιῶ. L. B.

265. Ἐ

Ἡ πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείνατο,
Ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
Ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
Ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδέ μοι
Λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
Ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
Ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
Τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
Φοροῦντ' ἐκείνῳ ταυτὰ, καὶ παρεστίους
Σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν·
Ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν
Τὸν αὐτοφόντην ἡμῖν ἐν κοίτῃ πατρὸς
Ξὺν τῇ ταλαίνῃ μητρί· μητέρ' εἰ χρεὼν
Ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην.
Ἡ δ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι

Ξύνεστ',

265. Ἐν τοῖς ἐμαυτῆς] ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς. 266. Κἀκ τῶνδ' ἄρχομαι] καὶ βασιλεύομαι ὑπ' αὐτῶν. ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι. 269. Ὅταν θρόνοις Αἴγισθον] καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος, Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης, Κτείνας Ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ. 271. Φοροῦντ' ἐκείνῳ ταυτὰ] οὐχ ὅμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο περιπαθὲς, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός. ἐσθήματα μὲν καὶ ἐσθῆτες, ἐν πεζῷ λόγῳ ἄχρηστα, ἐσθὴς δὲ ἐν χρήσει. Καὶ παρεστίους] ἤγουν ἐφεστίους· ἐφέστιοι δὲ λοιβαὶ, αἱ ἐν τῇ οἰκίᾳ τελούμεναι. 272. Σπένδοντα λοιβὰς] τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς ὅπου ἄδικος φόνος εἴργασται. σπένδω λοιβὰς, ὡς λέγω λόγον· καὶ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται. 273. Ἴδω δὲ τούτων] ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα. κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός. 274. Αὐτοφόντην] γράφεται καὶ αὐτοέντην. τὸ δὲ ἡμῖν παρέλκει Ἀττικῶς. 275. Μητέρ' εἰ χρεὼν] χρεὼν ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου πρέπον. ὡς τὸ ὤφελεν ἀντὶ τοῦ ἐχρεώστει.

Cui primo quidem à parte matris, quæ me genuit,
Omnia inimicissima contigerunt: deinde ædibus
In meis ipsius, cum occisoribus patris
Versor, & ab his imperor, & ab hisce mihi
Accipere simul *quorum egeo*, vel carere cogor.
Quales igitur dies putas me agere
Cum thronis Ægysthum insidentem video
Paternis? aspicioque vestes
Gerentem easdem, quas ille *olim*, & domestica
Fundentem libamina eo *in loco* ubi eum trucidavit.
Video denique horum extremam contumeliam,
Parricidam nobis in lecto patris
Cum perdita matre: matrem si fas *est*
Eam dicere, quæ cum isto cubet.
Illa vero adeo perpeti est audax, ut cum piaculari viro

Cohabitet,

καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἔπρεπεν. 277. Τλήμων] τολμηρὰ, ἀναιδής. Μιάστορι] λυμεῶνι, φονεῖ. μιάστωρ, ὁ διὰ τὸν παρ' ἑαυτῷ μιασμὸν καὶ τοὺς ἄλλους μιαίνων. Ὥστε τῷ μιάστορι ξύνεστι] σιωπᾶται ὁ καὶ σύνδεσμος. τὸ γὰρ ὥστε, μόνον μετὰ ἀπαρεμφάτου ζητεῖ τάττεσθαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 268. Ποίας ἡμέρας] τοῦτο ἢ ἀντὶ γενικῆς λάμβανε, ἢ ἀντὶ αἰτιατικῆς· καὶ εἰ μὲν αἰτιατική ἐστιν, οὐδεμίαν ἀσάφειαν ἔχει· εἰ δὲ γενική, οὕτω λέγομεν, ποίας ἡμέρας νομίζεις με ἄγειν, ἀντὶ τοῦ ποίου χρόνου τοῦτο λογίζομαι; 270. Εἰσίδω δ' ἐσθήματα φοροῦντ'] οὐ μόνον ἐσθὴς ἐσθῆτος εὕρηται τὸ ἔνδυμα, ἀλλὰ καὶ ἔσθημα ἐσθήματος. ὡς κἀνταῦθα, καὶ ἔσθησις ἐσθήσεως. τὰ ὕστερα ποιητῶν· τὸ δὲ ἐσθὴς, καὶ λογογράφων.

SCHOL. INED. 266. Ἄρχομαι] Τὸ ἀρχὴν ποιοῦμαι, καὶ τὸ ἀρχὴν λαμβάνω. ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε, ἤδη τῶν ἐπισκόπων. καὶ ἄρχομαι, τὸ ἐξουσιάζομαι. L. B. 269. Οἵαν θρόνοις] Οἵαν ἐν τοῖς θρόνοις τοῖς πατρῴοις θακοῦντα, ἤγουν καθήμενον. L. B. 274. Τὸν αὐτοφόντην] Τὸν αὐτόχειρα, τὸν αὐτουργὸν τοῦ φόνου ἡμῶν, καὶ ἑαυτῆς ἡγεῖται θάνατον, τὸν τοῦ πατρὸς θάνατον. L. B. Οὐ διά τινος ἄλλου ἐποίησεν ὁ Αἴγισθος τὸν φόνον τοῦ Ἀγαμέμνονος, ἀλλὰ διὰ τῆς ἰδίας χειρός. ὅθεν καὶ αὐτοφονεύς. *Bar.*

280. Εὐρου

Ξυνοῦσ', Ἐριννὺν οὔτιν' ἐκφοβουμένη·
Ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
Εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
Πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανε,
Ταύτῃ χοροὺς ἵστησι, καὶ μηλοσφαγεῖ
Θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.
Ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
Κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
Τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην,
Αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
Τοσόνδ', ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
Αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
Φωνοῦσα, τοιάδ' ἐξονειδίζει κακά·
Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
Τέθνηκεν, ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;
Κακῶς ὄλοιο· μηδέ σ' ἐκ γόων ποτὲ
Τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.

Τάδ'

280. Εὑροῦσ' ἐκείνην ἡμέραν] τὸ εὑροῦσα, τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει· οἷον ἡδέως αὐτὴν θεωμένη. 281. Ἁμὸν] τὸ ἡμέτερον, ἤγουν τὸ ἐμόν. ἡμέτερον μέν, ὃ πολλοὶ ἔχομεν· ἐμὸν δέ, ὃ μόνος ἐγὼ ἔχω. 283. Θεοῖσιν ἔμμηνα ἱερὰ] οἱ Ἀργολικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς γαμηλιῶνος, ὡς Δινίας ἐν ἑβδόμῳ Ἀργολικῶν. 285. Κωκύω] δακρύω. λέγομεν δὲ δακρύω τὸν τεθνηκότα, ἐπιδακρύω δὲ τῷ τεθνηκότι. 286. Ἐπωνομασμένην] ἐφ' ᾧ ὠνομάσθην. 288. Ὅσον μοι θυμὸς] ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος, Οἵτε στεναγμοὶ τῶν πόνων ἐρείσματα. 289. Γενναία] εὐγενὴς λόγοις, καὶ οὐ πράξεσιν. 291. Ὦ δύσθεον] καὶ ταῦτα Ἀριστοφάνης παρώδηκεν ἐν Γηρυτάδῃ· δύσθεον δέ, ἀσεβές. Σοὶ μόνῃ πατὴρ τέθνηκεν] ἀντὶ ἐρωτήσ

Cohabitet, Furiam nullam reformidans:
Quin, ut patratis facinoribus arridens,
Nacta quæsitum illum diem, quo olim
Patrem meum dolo interfecit,
Hoc ipso choreas instituit, & oves mactat
Diis scilicet servatoribus menstrua sacra.
Ast *hæc* ego misera conspicans in tectis
Ploro, tabesco *tota*, & lamentor patris
Epulas infelices Agamemnonias dictas,
Mecum sola: neque enim lugere licet
Tantum, quantum voluptati foret animo meo.
Ipsa enim, dictis tenus generosa, mater
Clamans malis convitiatur talibus:
O infensi numinis odium, tibi soli pater
Mortuus est? mortaliumque nullus in luctu
    alius?
Pereas male: neque te ex ploratibus unquam
Præsentibus liberent *vel* Dii inferni.

Hæc

ἀνῃρέθη φησὶν, ἀλλὰ τέθνηκε, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

SCHOL. INED. 281. Ἐκ δόλου] Ἤγουν, ἐκ συνεργίας δόλου. L. B. 284. Ἐγὼ δ'] Ἤγουν, ἐγὼ δὲ ὁρῶσα ἡ δύσμορος κλαίω κατὰ τὰς στέγας, τέτηκα, καὶ ἐπικωκύω, διὰ τὴν δυστάλαιναν δαῖτα τὴν ὀνομασμένην ἐπὶ τῷ ὀνόματι τοῦ πατρός μου, Ἀγαμέμνονος δηλονότι, ἐγὼ αὐτὴ κατ' ἐμαυτήν. ἤγουν, διὰ τὴν δυστάλαιναν δαῖτα, τὴν ἐπωνομασμένην Ἀγαμεμνόνειον, ἐλλειπτικῶς· οὐ δύναται γὰρ εἰπεῖν τὸ ὄνομα τοῦ πατρὸς ἐπὶ τοιούτοις. *Bar.* 286. Ἐπωνομασμένην] Ἀντὶ τοῦ τὴν ἐπωνυμίαν ἔχουσαν τοῦ πατρός. L. B. 290. Τοιάδ'] Ἀντὶ τοῦ, τοιαύτας ἀτιμίας ἀτιμάζει. L. B. 291. Δύσθεον] Ἀντὶ τοῦ δυσθέατον. ἤγουν, βαρὺ καὶ πικρὸν, καὶ δυσκόλως θεαθῆναι δυνάμενον. ἢ δύσθεον ἀντὶ τοῦ ἀσεβὲς, καὶ κακόθεον, καὶ κακόδαιμον μίσημα. Σοὶ μόνῃ πατὴρ τέθνηκεν] Αἰδεῖται εἰπεῖν ἀνῃρέθη, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν. *Bar.* 294. Θεοί] Ἤγουν, ὁ Πλούτων, καὶ ἡ Περσεφόνη, καὶ ὁ Ἅδης. *Bar.*

301. Ὑλακτεῖ]

Τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
Ἥξοντ' Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς
Βοᾷ παραστᾶσ', Οὐ σύ μοι τῶνδ' αἰτία;
Οὐ σὸν τόδ' ἐστι τοὔργον; ἥτις ἐκ χερῶν
Κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
Ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.
Τοιαῦθ' ὑλακτεῖ· σὺν δ' ἐποτρύνει πέλας
Ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
Ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
Ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
Ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
Παυστῆρ' ἐφήξειν ἡ τάλαιν' ἀπόλλυμαι.
Μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τέ μου
Καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
Ἐν οὖν τοιούτοις, οὔτε σωφρονεῖν, φίλαι,
Οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἐν τοῖς κακοῖς

Πολλή

301. Ὑλακτεῖ] ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ, ὡς κύων. Σὺν δ' ἐποτρύνει] συμπαροτρύνει δὲ ἐπὶ ταῦτα ὁ νυμφίος αὐτῆς ὁ ἔνδοξος παρὼν πέλας· ἤγουν συνωθεῖ· λέγεται δὲ τὸ συνωθεῖν ἐπὶ τῶν ἀμφοτέραις ταῖς χερσὶν ὠθούντων, ὅμοιον τῷ, Ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν, ἀντὶ τοῦ ἐπὶ τὸ πλεῖν παρορμήσαντα. 302. Ὁ κλεινὸς] κατὰ εἰρωνείαν. 304. Ὁ σὺν γυναιξὶ τὰς μάχας] συνεργούσης γὰρ Κλυταιμνήστρας ἀνεῖλε τὸν Ἀγαμέμνονα, Αἰγίσθου ὑπὸ χερσὶ καὶ δολομήτιος ἀλόχοιο. 305. Ἐγὼ δ' Ὀρέστην τῶνδε] γράφεται, ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε. 307. Τὰς οὔσας] τὰς παρούσας. 308. Καὶ τὰς ἀπούσας] ἤγουν καὶ ἃς εἶχον, καὶ ἃς ἔμελλον ἀνακύψειν (ἀνακαλύψειν. L. B.) λέγεται δὲ ὑπερβολικῶς. 309. Ἐν οὖν τοιούτοις] θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται. ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινα πράσσουσι, καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται.

ΣΧΟΛ.

Hæc convitiatur improba: at cum audit ab
aliquo,
Venturum Oreſtem, tum ſane furibunda
Inclamat aſtans: Non tu mihi horum cauſa *es*?
Nonne tuum hoc eſt factum? Quæ manibus
ex meis
Subductum Oreſtem clam expoſuiſti alendum?
At ſcito quidem te daturam ſaltem dignas
pœnas.
Talia latrat: ſimulque inſtigat prope adſtans ei
Ad hæc inclytus ille ſponſus,
Ille, *inquam*, prorſus imbellis, mera illa noxa,
Qui ope mulierum pugnas inire *audet*.
Ego vero Oreſtem expectans ſemper, ut hæc
mala
Adventu ſuo reſtinguat, miſera *interim* pereo.
Dum enim aliquid aggredi uſque differt, præ-
ſenteſque mihi
Et futuras ſpes corrupit.
In talibus igitur *ærumnis* neque modeſte agere,
amicæ,
Neque pietatem colere penes nos eſt: ſed in
malis *hujuſmodi*
Magna

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 310. Οὔτ' εὐσεβεῖν πάρεστιν] ἤγουν, τοῖς θεοῖς εὐχαριστεῖν, ἀλλὰ μᾶλλον πρὸς αὐτοὺς δυσχεραίνειν, ὅτι μὴ δίκας εἰς τάχος τοὺς τῶν παρόντων αἰτίους ἀπῄτησεν.

SCHOL. INED. 296. Ἥξοντ' Ὀρέστην] Ἤγουν, ἀφίξεσθαι τὸν Ὀρέστην. L. B. Ἐμμανὴς] Ἀντὶ τοῦ, ἐμμανῶς, μανικῶς. L. B. 301. Ὑλακτεῖ] Κατὰ μεταφορὰν ἀπὸ τῶν κυνῶν. ἀντὶ τοῦ ἀπειλοῦσα βοᾷ. L. B. 303. Ἡ πᾶσα βλάβη] Ἤγουν, ὁ πανταχόθεν βλαβερός. ὁ λυμεὼν, ἡ αὐτοβλάβη. *Bar.* 309. Ἐν οὖν τοιούτοις] Ἀνακεφαλαίωσις τοῦ λόγου. Ἐν τοῖς τοιούτοις οὖν, ὦ φίλαι, οὔτε σωφρονεῖν πάρεστιν, οὔτε

Πολλή γ' ἀνάγκη κἀπιτηδεύειν κακά.
Χο. Φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
Λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
Ηλ. Ἦ κάρτα· μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
Θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.
Χο. Ἦ κἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
Τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
Ηλ. Ὡς νῦν ἀπόντος, ἱστόρει τί σοι φίλον.
Χο. Καὶ δή σ' ἐρωτῶ· τοῦ κασιγνήτου (τί φῄς;)
Ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.
Ηλ. Φησίν γε· φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
Χο. " Φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
Ηλ. Καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
Χο. " Θάρσει· πέφυκεν ἐσθλός, ὥστ' ἀρκεῖν φίλοις.

Ηλ.

ὅτι εὐσεβεῖν, ἀλλ' ἐν τοῖς κακοῖς πάρεστιν ἐπιτηδεύειν κακά, ὅτι πολλή ἐστιν ἡ ἀνάγκη. *Bar.*

312. Φέρ' εἰπὲ] ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος. 314. Ἦ κάρτα] ἐν ἤθει, οἷον πολλοῦ γε δεῖ. Μὴ δόκει] ἀντὶ τοῦ ἡγοῦ. δαιμονίως ᾠκονόμηται τοῦτο πρὸς τὴν χήρωσιν Κλυταιμνήστρας. τὸ γὰρ εἰσάγεσθαι ἔξωθεν, ἀπρεπὲς μὲν πρὸς τὴν μείρακα, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν. 315. Θυραῖον οἰχνεῖν] ἀντὶ τοῦ θυραίαν διατρίβειν. θυραῖος ἀντὶ τοῦ θυραία, καὶ ῥαγδαῖος ἀντὶ τοῦ ῥαγδαία, καὶ βίαιος ἀντὶ τοῦ βιαία, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α ληγόντων, Ἀττικά ἐστι. χρύσεος δὲ ἀντὶ τοῦ χρυσῆ, καὶ κλυτὸς ἀντὶ τοῦ κλυτή, καὶ ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η ληγόντων, ποιητικά. 316. Ἦ κἂν ἐγὼ] ὄντως, εἰ ταῦτα οὕτως ἔχει, καὶ ἐγὼ ἂν θαρροῦσα μᾶλλον ἀφικοίμην εἰς τοὺς σοὺς λόγους. 318. Ἱστόρει] ἐρώτα. ἱστορεῖν, τὸ διέρχεσθαι τόπους παρὰ τοῖς κοινοῖς, παρὰ δὲ τοῖς ποιηταῖς, τὸ ἐρωτᾶν. 319. Τοῦ κασιγνήτου τί φῄς] λείπει ἡ περί. 320. Μέλλοντος] βραδύνοντος. 322. Φιλεῖ γὰρ ὀκνεῖν] δύναται τὸ ὀκνεῖν Ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι, Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων.

Πράσσων]

Magna sane *urget* necessitas studiis nosmet tradendi malis.

Cho. Age dic, utrum Ægystho alicubi hic stante
Hæc nobis loqueris, an absente a domo?

El. Omnino *abest*: ne puta me, si domi esset prope,
Foras prodire posse; jam vero ruri abest.

Cho. Equidem & ego audacius tecum loquerer,
Siquidem hæc se ita habent.

El. Abesse crede, proinde quære quid tibi lubet.

Cho. Hoc ergo abs te quæro; de fratris adventu
Aut mora (quid dicis?) scire cupio.

El. Pollicetur quidem; sed nihil eorum quæ dicit præstat.

Cho. " Solet enim vir quisque cunctari magnum moliens facinus.

El. Atqui ego servavi illum absque mora.

Cho. " Confide: frater est bonus, adeoque amicis opem feret.

El.

Πράσσων] ἐπιχειρῶν πράττειν. 324. Πέφυκεν ἐσθλὸς] ἤγουν, ἀγαθὸς ὑπάρχει, ὥστε ἐπαρκεῖν, τουτέστι, βοηθεῖν τοῖς φίλοις.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 312. Φέρ' εἰπὲ] ἐδεδίει ὁ χορὸς Ἠλέκτρας εἰπεῖν, μὴ παρ' Αἰγίσθου γνωσθεὶς κακόν τι πάθῃ. 315. Θυραῖον οἰχνεῖν] ἤδει δὲ τοῦτο, εἰ μὴ βούλει ὄνομα Ἀττικόν. οὐ γὰρ μόνον ἡ θυραία, ἀλλὰ καὶ ὁ θυραῖος, ὥσπερ ἡ θεὰ καὶ ἡ θεός. εἰ δὲ βούλει, καὶ ἐπίῤῥημα. 319. Καὶ δή σ' ἐρωτῶ] μὴ λάβῃς εἰς τὸ κασιγνήτου ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ χωρὶς τούτου σύνταξον· εἰ καί τινα ἀσάφειαν ἔχει· οὕτω γὰρ ὀφείλων εἰπεῖν, εἰδέναι θέλω, ὁ κασίγνητος ἀφίξεται ἢ μελλεῖ, ἐξ τί φῂς διὰ μέσου λαμβανομένου· ὁ δὲ ἐπλαγίασε πρὸς γενικήν· ἢ πρὸς τὸ μέλλοντος στίχον· πρὸς δὲ τὸ ἐρωτῶ τὴν σύνταξιν ποιητέον, ὥσπερ πρῶτον ἐποίεις πρὸς τὸ εἰδέναι θέλω.

SCHOL. INED. 322. Φιλεῖ γὰρ] Πᾶς ἀνὴρ εἴωθεν ἀναβάλλεσθαι ὁ ἐπιχειρῶν μέγα ἔργον. *Bar.* 324. Πέφυκεν ἐσθλὸς] Ἐσθλὸς οὐ μόνον ὁ ἀγαθὸς λέγεται, ἀλλὰ καὶ ὁ ἱκανὸς καὶ ἀνδρεῖος, ὡς ἐνταῦθα. ἤγουν, ἀρκετὸς καὶ χρήσιμος, ὥστε συμμαχεῖν τοῖς φίλοις. *Bar.*

325. Ἐπεί

Ηλ. Πέποιθ᾽· ἐπεί τ᾽ ἂν οὐ μακρὰν ἔζων ἐγώ.
Χο. Μὴ νῦν ἔτ᾽ εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
Τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
Φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.
Χρ. Τίν᾽ αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
Ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
Κοὐδ᾽ ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
" Θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά.
Καίτοι τοσοῦτόν γ᾽ οἶδα κἀμαυτὴν, ὅτι
Ἀλγῶ ᾽πὶ τοῖς παροῦσιν· ὥστ᾽ ἂν, εἰ σθένος
Λάβοιμι, δηλώσαιμ᾽ ἂν οἷ᾽ αὐτοῖς φρονῶ.
" Νῦν δ᾽ ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ·
Καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
Τοιαῦτα δ᾽ ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν·
Καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ ᾽γὼ λέγω,

Ἀλλ᾽

325. Ἐπεί τ᾽ ἂν] ἐπεί τοι ἄν. 326. Ὡς δόμων ὁρῶ τὴν σὴν ὅμαιμον] οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ, ἀλλ᾽ ἐπειδὴ ὁρῶσιν ἐναγίσματα βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι, κωλύουσι αὐτὴν τῶν ἑξῆς λόγων. 327. Φύσιν] κατὰ φύσιν, ἤτοι φύσει, καὶ οὐ θέσει. τοῦ γνησίου ἐναντίον ὁ μὴ φυσικὸς (ὁ φυσικὸς, L. B.) ὁ λεγόμενος κόπελος· τοῦ δὲ φύσει υἱοῦ, ὁ θέσει, ἤγουν ὁ υἱοθετούμενος. 330. Τίν᾽ αὖ σὺ τήνδε] τὸ ἑξῆς, τίνα φάτιν φωνεῖς; ἐπίτηδες δὲ τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξε, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιρρήσεσι τὰ δράματα. 334. Καίτοι τοσοῦτόν γ᾽ οἶδα] ὡς εἰ ἔλεγεν, οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ τοῖς παροῦσιν. 335. Ὡς᾽ ἂν, εἰ σθένος] τρία γὰρ παρακολουθοῦσι εἰς τὸ γενέσθαι τι, βούλησις, δύναμις, καὶ ἐπιστήμη. 337. Ὑφειμένῃ δοκεῖ] μὴ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ. ἀντὶ τοῦ, δοκεῖ μοι ταπεινῶς διαλέγεσθαι καὶ ὑπηκόως.

El. Confisa sum: alioqui ego non huc usque tam diu vixissem.
Cho. Nihil nunc amplius dicas: ex ædibus enim video
Tuam sororem, patre eodem natam,
Chrysothemin, matreque *eadem*, inferias manibus
Ferentem, quæ solent dari inferis.
Chr. Quem tu rursus ante vestibuli fores
Progressa, O soror, excitas clamorem?
Et ne longo quidem tempore perdoceri vis
" Animo impotenti non gratificari in vanis.
Sane in tantum novi & meipsam, quod
Doleo rebus præsentibus; adeo ut, si vires
Alicunde acciperem, ostenderem quo essem in eos animo.
" Nunc vero in malis *positam* me oportet demissiori *velo* navigare,
Nec putare me magnum quid facere, cum næ lædam quidem.
Sic autem & te volo facere.
Quanquam sane jus non est in eo, quod ego suadeo,
Sed

ὑπηκόως. μεταφορικῶς δὲ λέγεται ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντέχοντες ὑφιᾶσι τὸ ἱστίον. εἰς τὸ αὐτό, ὑφήσειν τὸ ἱστίον, οἷον συστέλλειν τὸ φρόνημα, καὶ μὴ ἄντικρυς μάχεσθαι· οἱονεὶ τῇ προαιρέσει χρῶμαι. 340. Τὸ μὲν δίκαιον] ὁ νοῦς, τί ὄφελος τῆς δικαιοσύνης, ἥτις διὰ ταύτην τοῖς δεινοῖς περιπίπτει;

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 338. Πημαίνειν δὲ μή] ἤγουν βλάπτειν αὐτούς. καὶ γὰρ αὐτὴ δοκεῖς πᾶσιν ἀλόγως ἀγανακτοῦσα, μὴ δυναμένη βλάψαι αὐτοὺς, πρὸς οὓς ἀγανακτεῖς. 339. Τοιαῦτα δέ] ἤγουν οὐ μόνον ἐγὼ βούλομαι, ἀλλὰ καί σε βούλομαι ποιεῖν τοιαῦτα. ¶ Σχήμ. Τρικλ. 330. Τίν' αὖ σὺ τήνδε] ἄφιξις Χρυσοθέμιδος, καὶ συμβουλὴ πρὸς τὴν ἀδελφήν.

SCHOL. INED. 330. Τίν' αὖ σὺ] Ἤγουν, τίς ἐστιν ἡ φωνὴ αὕτη,

Ἀλλ' ἢ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
Ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.

Ηλ. Δεινόν γε σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
Κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
Ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα,
Κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
Ἐπεί θ' ἑλοῦ γε θάτερον, ἢ φρονεῖν κακῶς,
Ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν.
Ἥτις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
Σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
Ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
Οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.

Οὐ

αὕτη, ἣν φανεῖ, ὦ κασιγνήτη, πρὸς ταῖς ἐξόδοις τοῦ θυρῶνος ἐλθοῦσα. L. B. 337. Ὑφειμένη] Ἤγουν, ὑφειμένον, τουτέστιν, ὑποκεχαλασμένον ἐχούσῃ τὸ ἱστίον. L. B.

342. Ἀκουστέα] Ἀττικῶς, ἀντὶ τοῦ ἀκουστέον. τουτέστιν, ἄξιόν ἐστιν ὑπακούειν κατὰ πάντα τῶν ἀρχόντων. 344. Μέλειν] φροντίζειν. 345. Ἅπαντα γάρ σοι] ταῦτα ὁποῖά ἐστι τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ, καί φησιν αὐτῇ τὰ Κρέοντος φρονεῖν. Τἀμὰ νουθετήματα] οἷον, ἃ εἶπες ἐμὲ νουθετοῦσα. 347. Ἐπεί θ' ἑλοῦ γε] ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς, προστιθεμένην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν. οἷον, θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ παροράς. τὸ δὲ θάτερα ἀντὶ τοῦ θάτερον, Ἀττικῶς εἴρηται. τὸ δὲ, ἐπεί θ' ἑλοῦ γε, ἀντὶ τοῦ, εἰ δὲ μή τοι, ἔκλεξαι θάτερον. 350. Τὸ τούτων μῖσος] λείπει ἡ κατά. 352. Τήν τε δρῶσαν] ἀντὶ τοῦ ἐμέ. Ἐκτρέπεις] ἡ ἐκ ἀντὶ τῆς ἀπό. ἀποτρέπεις. ἐκτρέπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ· καὶ ἐκτροπὴ, ὅταν τις ἣν βαδίζει ὁδὸν ἀφεὶς, ἑτέραν βαδίσῃ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 346. Κείνης διδακτὰ] μὴ λάβῃς εἰς τὸ ἐκείνης ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὥσπερ φαμὲν, ἐρώμενός ἐστιν ὁ δεῖνα τοῦ δεῖνος, οἷον Ἀλκιβιάδης Σωκράτους· οὕτω καὶ τοῦτο, διδακτὰ κείνης, ἀντὶ τοῦ ἐκείνης διδάγματα καὶ μαθήσεις. 347. Ἐπεί θ' ἑλοῦ γε] ἤγουν, πρόκρινε θάτερον τῶν δύο, ἢ φρονεῖν κακῶς, λέγω δὴ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ συνεῖναι,

Sed quod tu judicas? tamen si liberam me oportet
Vivere, dominantibus omnia parendum est.

El. Indignum sane est te natam patre, quali es nata,
Illius esse oblitam, hujus autem matris curam habere.
Omnes enim tuæ quas mihi das monitiones
Illius sunt dictata, & nihil ex te ipsa dicis.
Quare elige saltem alterutrum, vel *ut credaris* desipere,
Aut mente sanam, amicorum memoriam nullam habere.
Quæ modo dixeris, si valeres viribus
Odium utique tuum contra eos ostenderes;
Me vero patrem in omnibus vindicantem
Neque adjuvas, quinimo agentem dehortaris.

Annon

εἶναι, καὶ ἀμνημονεύειν τοῦ πατρός· ἢ φρονοῦσαν καὶ φρόνιμον οὖσαν, καὶ τὰ πατρὸς θεραπεύουσαν, μὴ ἔχειν μνήμην τῶν φίλων, ἤγουν μὴ συνεῖναι Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ, οὓς περὶ πλείστου ποιεῖς. τοῦτο δὲ εἶπεν Ἠλέκτρα πρὸς αὐτὴν, εἰποῦσαν ὡς ἀλγεῖ τε τοῖς παροῦσι, καὶ τὰ Αἰγίσθου καὶ Κλυταιμνήστρας θεραπεύει ὑπ' ἀνάγκης. τὸ δὲ ἔπειτα, οὐ πρὸς τὸ οὐδὲν ἐκ σαυτῆς λέγεις, ἔχει τὴν δύναμιν, ἀλλὰ πρὸς τὰ ἄνω ῥηθέντα, τὸ, δεινόν γέ σ' οὖσαν, καὶ τὰ ἑξῆς· εἰ γὰρ ἦν πρὸς τὸ οὐδὲν ἐκ σαυτῆς, οὐκ ἂν ἦν ἔπειτα, ἀλλ' ἐπεί τοι. ὅθεν καὶ ἀπὸ τούτου ἀπατώμενοί τινες μετατιθέασι τὸν τόνον, ἐπεὶ θ' ἑλοῦ ποιοῦντες, ὅπερ οὐκ ἔχει λόγον· ἐπεὶ καὶ ἐν τοῖς παλαιοῖς τῶν βιβλίων ἔπειθ' ἑλοῦ εὕρηται. 351. Πάντα τιμωρουμένης] εὕρηται οὐ μόνον ἐνεργητικῶς τιμωρῶ τὸ κολάζω, ἀλλὰ καὶ τὸ βοηθῶ· καὶ οὐ μόνον τιμωροῦμαι παθητικῶς τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὡς καὶ πᾶς τις ἐξετάζων εὑρήσει. ¶ Σχήμ. Τρικλ. 343. Δεινόν γέ σ'] κατηγορία Ἠλέκτρας πρὸς αὐτήν.

SCHOL. INED. 343. Δεινόν γ'] Τουτέστι, χαλεπὸν καὶ ἄδικον ἐστί, σὲ οὖσαν θυγατέρα τοῦ Ἀγαμέμνονος, ἀφ' οὗ σὺ θυγάτηρ ἐγεννήθης τοῦ θαυμαστοῦ ἐπιλανθάνεσθαι, τῆς δὲ μητρὸς τῆς φονευτρίας δηλονότι φροντίζειν. *Bar.* 345. Νουθετήματα] Τουτέστι, διδάγματα, ἅπερ εἶπας ἐμοὶ καὶ ἐδίδαξας, ἐκείνης τῆς μητρὸς εἰσὶ διδασκαλίαι δηλονότι, καὶ οὐδὲν ἀπὸ γνώσεως ἰδίας λέγεις. *Bar.*

356. Κακῶς

Οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
Ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
Κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
Οὐ ζῶ; κακῶς μὲν, οἶδ', ἐπαρκούντως δέ μοι.
Λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
Τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
Σὺ δ' ἡμῖν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
Ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
Ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
Μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
Τούτοις ὑπεικάθοιμι. σοὶ δὲ πλουσία
Τράπεζα κείσθω, καὶ περιῤῥείτω βίος.
Ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
Βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
Οὐδ' ἂν σὺ, σώφρων δ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
Πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ

Τῆς

356. Κακῶς μὲν, οἶδ'] κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω· οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν. 357. Λυπῶ δὲ τούτους] διὰ τὸ τιμᾷν τὸν πατέρα. 365. Ἐμοὶ γὰρ ἔστω] ἐμοὶ (φησὶν) ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πεῖναν ἀπελαύνουσα. οὐ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν σχήσω. Ἢ οὕτως, τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι. 367. Οὐδ' ἂν σὺ, σώφρων] οὐδὲ σὺ, εἰ ἐσωφρόνεις, ἁβρῶς ἔζης, ἠμεληκυῖα τοῦ πατρός. Νῦν δ' ἐξὸν] ἀδείας οὔσης. τὸ ἐξὸν, τὸ παρὸν, τὸ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε οἱ Ἀττικοὶ πλαγιάζουσιν, ὅτε πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ. 368. Καλοῦ] ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 361. Οὐδ' εἴ μοι τὰ σὰ] τὰ σὰ πρὸς τὸ ἐφ' οἷς συντακτέον· τὸ δὲ δῶρα, πρὸς τὸ οἴσειν, οὕτω· ἐγὼ μὲν οὖν οὐκ ἄν ποτε

2 ὑπεικάθοιμι

Annon hæc præter mala timiditatem *tuam* arguunt?
Quamobrem doce *me*, vel disce *ipsa* ex me, quidnam
Sum lucri factura, desinens hisce ab luctibus.
Nonne vivo? male quidem, scio; ita tamen, ut contentus sim.
Molesta autem sum istis, quod mortuum
Honore afficiam, si qua gratia *horum* apud inferos est.
Tu vero, quæ te odisse ais, verbis quidem odisti,
Re ipsa autem occisoribus patris faves.
At ego ne unquam quidem (ne si tua mihi
Quis adferat dona, quibus nunc delicate vivis)
His me subderem. Tibi lauta
Apponatur mensa, victusque abunde affluat;
Mihi sit tenue, modo non molestum, pabulum.
Tuos vero non ambio honores consequi,
Neque tu *cuperes*, si sobrie velles agere; nunc autem cum licet patris
Omnium optimi filiam dici, *age* dicitor

Matris;

ὑπεξκάθοιμι καὶ ὑποταγείην τούτοις, τῷ Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ· οὐδ' εἰ τὰ σὰ, ἐφ' οἷσι νῦν χλιδᾷς, μέλλοι τις οἴσειν καὶ κομίσειν ἐμοὶ δῶρα. ἢ τὰ σὰ πρὸς τὸ δῶρα σύναπτε, ἵν' ᾖ, τὰ σὰ δῶρα, ἤγουν ἅπερ σοι δωροῦνται).

SCHOL. INED. 353. Οὐ ταῦτα πρὸς] Ἤγουν. πρὸς τῷ εἶναι σὲ κακὴν, ὑπάρχεις καὶ δειλή. κακὴ μὲν, ὅτι οὐ τιμωρεῖς τὸν πατέρα. δειλὴ δὲ, ὅτι φοβῇ τοὺς κτανόντας τὸν πατέρα. *Bar.* 362. Χλιδᾷς] Χλιδὴ ἐτυμολογεῖται, ἀπὸ τοῦ χαλᾷν τὴν ἰδέαν. ἡ γὰρ τρυφὴ χαλᾷ τὴν ἰδέαν, καὶ χαυνοῖ, καὶ ἀχρειοῖ. *Bar.* 364. Περιῤῥείτω] Ἤγουν, πανταχόθεν εὐπορία ἐχέτω. L. B. 367. Ἐξὸν] Δυνατὸν ὂν δηλοῖ· ἀλλ' ὅμως, λαμβάνεται ἀντὶ τοῦ δυνατοῦ ὄντος. *Bar.* 368. Καλοῦ] Τὸ καλοῦ, οὐκ ἔστιν ὄνομα, ἀλλὰ ῥῆμα προστακτικὸν, ἀπὸ τοῦ καλέομαι, καλοῦμαι. καὶ ὁ παρα-

τατικὸς,

Τῆς μητρός. οὕτω γὰρ φανῇ πλείστοις κακὴ,
Θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
Χο. Μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν· ὡς τοῖς λόγοις
Ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
Τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
Χρ. Ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
Τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτὲ,
Εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
Ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
Ηλ. Φέρ', εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
Μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
Χρ. Ἀλλ' ἐξερῶ σοι πᾶν, ὅσον κάτοιδ' ἐγώ.
Μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξοις γόων,
Ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου
Φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ
Στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.

Πρὸς

στατικὸς, ἐκαλεόμην, ἐκαλούμην, ἐκαλέον, ἐκάλουν. καὶ τὰ προσταχθὲν, καλοῦ. Bar.

371. Μηδὲν πρὸς ὀργὴν] ἀντὶ τοῦ ὀργίλως. καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς· καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ ἐπιῤῥήματος. 372. Εἰ σὺ μὲν μάθοις] εἰ συγκεράσετε τοὺς τρόπους, εὖ ἂν ἔχοι. ἡ μὲν γὰρ, αὐστηρὰ, ἡ δὲ, ἀνειμένη. 374. Ἠθάς εἰμι] ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος. ἐνταῦθα οὖν ἐθὰς ὤφειλεν εἶναι, διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθὰς ἀπὸ τοῦ ἦθος, ἐπεὶ πλησιάζει τὸ ἔθος καὶ τὸ ἦθος. 375. Τῶν τῆσδε μύθων] τῶν παρὰ ταύτης λεγομένων μύθων. 377. Μακρῶν] μεγάλων, ἢ πολυχρονίων. Σχήσει] ἐφέξει, κωλύσει. Γόων] γράφεται καὶ λόγων. 382. Ἐνταῦθα πέμψειν] ἐκεῖσε. τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ, ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ· τὸ αὐτοῦ, ἐν δευτέρῳ, οἷον αὐτοῦ ἔνθα εἶ σύ· τὸ ἐκεῖ, ἐν τρίτῳ, οἷον ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος. ἐνταῦθα δὲ ἀντὶ τοῦ

ἐκεῖσε

Matris; ita plurimis videberis mala,
Quæ mortuum patrem, & amicos prodis tuos.

Cho. Ne quid iracundius, per Deos *oro*: nam sermonibus
Inest utriusque fructus, si tu quidem disceres
Istius uti recte, & hæc contra tuis.

Chr. Equidem, O fœminæ, familiaris sum quodammodo
Hujus dictis; & ne meminissem quidem *de his* unquam,
Si non maximum malum ei imminere
Audissem, quod eam perpetuis his reprimet ab luctibus.

El. Age igitur, dic illud grave *malum*: nam si mihi
Majus quid hisce dixeris, non amplius repugnabo.

Chr. At enarrabo tibi rem omnem, quantum ego novi.
Te enim, nisi hisce destiteris luctibus,
Illuc ablegare statuunt, ubi non amplius Solis
Jubar aspicies; viva enim in undique tecto
Carcere terra procul hac tua occines mala.

Propterea

ἐκεῖσε λέγε), τὸ ἐπίῤῥημα ἀντὶ τοῦ ἐπιῤῥήματος. 383. Κατηρεφεῖ] κατεσκεπασμένη, σκοτεινῇ. 384. Ὑμνήσεις] θρηνήσεις. ὕμνος κυρίως ἡ εἰς θεὸν ᾠδή· παρὰ δὲ ποιηταῖς ἁπλῶς ἡ ᾠδὴ, εἴτε ἐπὶ ποιητικῆς ἐμμελείας (ἀφ' οὗ λέγε) ὑμνοπόλος παρ' αὐτοῖς, ταυτὸν τῷ ἀοιδοπόλος) εἴτε μέλους θρηνώδους, καθ' ὃ λέγεται ἐνταῦθα τὰ ὑμνήσεις.

SCHOL. INED. 378. Τῶν δέ μοι] Ἤγουν, τῶν παρόντων μοι νῦν κακῶν. L. B. 383. Κατηρεφεῖ] Ἤγουν, ἐν σκοτεινῇ φυλακῇ. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅτε ἤθελον ἀπολέσαι τινὰ, καὶ μὴ μιανθῆναι τῷ αὐτοῦ αἵματι, ἐν φυλακῇ σκοτεινῇ ἔβαλον ἐκεῖνον, καὶ ἐκεῖ ἔθνησκε, λέγοντες οὐ παρ' ἡμῶν ἐφονεύθη — *Bar.* 384. Ὑμνήσεις] Κατ' εὐφημισμὸν, ἀντὶ τοῦ πενθικῶς θρηνήσεις. *Bar.*

386. Εἰ

Πρὸς ταῦτα φράζου, καί με μήποθ' ὕστερον
Παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
Ηλ. Ἦ ταῦτα δή μοι καὶ βεβούλευνται ποιεῖν;
Χρ. Μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
Ηλ. Ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
Χρ. Τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
Ηλ. Ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
Χρ. Ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
Ηλ. Ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτ' ἐκφύγω.
Χρ. Βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
Ηλ. Καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
Χρ. Ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
Ηλ. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
Χρ. Ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
Ηλ. Σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
Χρ. Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.

Ηλ.

386. Ἐν καλῷ] ἔγκαιρον. νῦν (φησὶν) εὔκαιρόν ἐστι καλῶς φρονῆσαι. 387. Ἦ ταῦτα δή μοι] ἆρα δή μοι καὶ βεβούλευνται, ἤγουν οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βουλῇ κυροῦσιν. 389. Ἀλλ' ἐξίκοιτο] ἁρμόζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ. 393. Ἀφ' ὑμῶν] πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτῆς συγκαταλέγει ὡς τὰ αὐτῶν αἱρουμένην. 395. Καλὸς γὰρ] εἰρωνεύεται ἐν ἤθει. Ὥστε θαυμάσαι] ἀντὶ τοῦ ἀγαπῆσαι βιοῦν αὐτὸν δηλονότι τὸν βίοτον. θαυμάζει τις ἀρετὴν, ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι ἀρετὴν, καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους. κατὰ τοῦτο λέγεται κἀνταῦθα τὸ θαυμάσαι. ἤγουν, καλὸς γὰρ ὁ ἐμὸς βίος, ὥστε θαυμάσαι αὐτὸν δηλονότι. 398. Ἀλλ' οὐ διδάσκω] ἀλλ' οὐ διδάσκω κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἴκειν τοῖς ἄρχουσιν. 400. Ἀβουλίας] ἐξ αἰτίας τῆς κακοβουλίας. ἤγουν διὰ κακοβουλίαν.

ΣΧΟΛ.

Propterea considera; & ne me unquam posthac,
Malo accepto, culpaveris: nunc enim tempus est sapere.

El. Serione decrevere, ut hæc faciant mihi?

Chr. Omnino, simulac Ægysthus domum venerit.

El. Utinam hac saltem de causâ redeat ocyus.

Chr. Quas, misera, tibi imprecaris imprecationes?

El. Ut veniat ille, siquid hujusmodi *mihi* agere cogitat.

Chr. Numquid mali ut feras? ubi est, rogo, mens tua?

El. Ut à vobis fugiam quam longissime.

Chr. Vitæ autem præsentis nonne memoriam tenes?

El. Lauta est hercle (quidni?) mea vita, mirum ut sit.

Chr. At lauta esset, si tu utique recte sapere nosses.

El. Ne me edoceas amicis esse perfidam.

Chr. Ego vero id non doceo; sed ut dominantibus cedas.

El. Tu illis assentare: non meum narras ingenium.

Chr. Atqui pulchrum est tamen non præ temeritate cadere.

El.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 386. Νῦν γὰρ ἐν καλῷ φρονεῖν] ἤγουν πρὸ τοῦ πείρας κάλλιστόν ἐστι νοῦν λαμβάνειν, ὅπως ταύτην ἐκφύγῃς. οἱ δὲ τὸ ἐν καλῷ ἀντὶ τοῦ λέγω φάσκοντες, οὐκ οἶδα εἰ τὸ παράπαν μετέχουσι νοῦ.

SCHOL. INED. 386. Μέμψῃ] Ἤγουν, κατηγορήσῃς. *Bar.* 387. Ἦ ταῦτα] Ἐρωτηματικῶς, ἀντὶ τοῦ, ἆρα δὴ, καὶ ταῦτα βεβούλευνται Αἴγισθος καὶ Κλυταιμνήστρα ποιεῖν εἰς ἐμὲ, ἤγουν, βαλεῖν με εἰς φυλακήν; *Bar.* 390. Τίν', ὦ τάλ.] Ἤγουν, τίς ἐστιν ὁ λόγος ὅδε, ὃν ηὔξω, ὦ τάλαινα; L. B. 392. Ποῦ ποτ'] Ἤγουν, ἐν ποίᾳ καταστάσει φρονήσεως εἶ; L. B.

401. Εἰ

Ηλ. Πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
Χρ. Πατὴρ δὲ τούτων (οἶδα) συγγνώμην ἔχει.
Ηλ. Ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
Χρ. Σὺ δ' οὐχὶ πείσῃ, καὶ συναινέσεις ἐμοί;
Ηλ. Οὐ δῆτα, μήπω νοῦ τοσόνδ' εἴην κενή.
Χρ. Χωρήσομαί τ' ἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
Ηλ. Ποῖ δ' ἐμπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
Χρ. Μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
Ηλ. Πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
Χρ. Ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
Ηλ. Ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
Χρ. Ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
Ηλ. Ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
Χρ. Ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
Ηλ. Εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
Χρ. Ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.

Ηλ.

401. Εἰ χρὴ] εἰ ἀπαιτεῖται. Τιμωρούμενοι] ἀντὶ τοῦ τιμωροῦντες. 402. Πατὴρ δὲ τούτων.] οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἔχει ἡμῶν δηλονότι. 403. Ταῦτ' ἐστὶ τἄπη] κακῶν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη. 405. Νοῦ κενὴ] ἀντὶ τοῦ συνέσεως κούφη. 406. Οἷπερ ἐστάλην ὁδοῦ] καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν· οἷον πορεύσομαι οἷ ἀπεστάλην. ἐπεὶ δὲ ὁδὸς ἀγγέλλει ἐκεῖσε ὅποι ἀπεστάλη, λέγει οἷ τοῦ ὁδοῦ. ἐστάλην, ἀντὶ τοῦ ἀπεστάλην. στέλλομαι ἀντὶ τοῦ πορεύομαι· ἀποστέλλομαι δὲ ὑφ' ἑτέρου, ἀντὶ τοῦ πέμπομαι. 408. Τυμβεῦσαι] σπεῖσαι τῷ τύμβῳ. 413. Συγγένεσθέ] συμμαχήσατε. συνεργήσατε. συμπράξατε ἡμῖν κἂν νῦν. ἀκούσασα δὲ ὅτι ἐν τοῖς ὀνείροις δείγματά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θαρσεῖ, καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παριστάναι. 415. Τὴν ὄψιν] ἤγουν ὃ εἶδεν. ὄψις, τὸ θεαθὲν, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ πρόσωπον. 416. Πλὴν ἐπὶ σμικρὸν] ἀντὶ τοῦ πλὴν δι' ὀλίγων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 401. Πατρὶ τιμωρούμενοι] ἀπροσώπως ἐνταῦθα

El. Cademus tamen, si *sic* oportet, patrem vindicantes.

Chr. At pater *ipse* (novi) horum tibi veniam dabit.

El. Ignavorum est hujusmodi dicta probare.

Chr. Tu vero non parebis, neque consenties mihi?

El. Minime sane: nequaquam, *precor*, sim adeo mentis inops.

Chr. Pergam igitur quo missa sum viæ.

El. Quo vadis autem? & ista cui perfers sacra?

Chr. Mater me mittit, ut patri inferias feram ad tumulum.

El. Quid dicis? an mortalium invisissimo?

Chr. Quem ipsa occidit: hoc enim vis dicere.

El. Quoniam amicorum persuasa? cui hoc placuit?

Chr. Ex pavore quodam nocturno, ut mihi videtur.

El. O dii patrii, succurrite saltem nunc, *oro*.

Chr. Quamnam habes fiduciam hoc ex pavore?

El. Si visionem mihi dixeris, dicam tibi tunc.

Chr. At nihil novi quod eloquar, præter paucula.

El.

ταῦθα πᾶς γὰρ ἡ ὅσια, τιμωρήσομεν εἶπεν, ὅπερ ἐστὶν ἀρσενικόν. καὶ φαίνεται ὅτι πρὸς τὸ ὑμεῖς τοῦτο ἔφερεν. 407. Ποῖ δ' ἐμπορεύῃ] καλῶς εἶπε τὸ ἐμπορεύῃ. ὥσπερ γὰρ οἱ ἔμποροι κέρδους ἕνεκα σφᾶς τοιαύτην τὴν τέχνην μετίασιν· οὕτω καὶ ἡ Χρυσόθεμις πρὸς Ἀγαμέμνονα τὴν θυσίαν ἔφερεν, κέρδος τῇ μητρὶ καὶ βοήθειαν ἐντεῦθεν πραγματευομένη. οἱ δὲ λέγοντες τὸ ἐμπορεύῃ ἀντὶ τοῦ πορεύῃ, ἀλλὰ μεταβάλλοντες τὸ ἐν ἀργόν, ἀμαθεῖς. καταχρηστικῶς δὲ εἶπε τὸ ἐμπόρια. ἐμπόρευμα γὰρ κυρίως τὰ διὰ πόρου γινόμενα.

SCHOL. INED. 403. Πρὸς κακῶν] Ἀντὶ τοῦ, κακῶν ἀνθρώπων ἐστὶν ἴδιον δηλονότι, ἐπαινέσαι ταῦτα τὰ ἔπη, ἤγουν, κακοὶ ταῦτα ἐπαινέσονται. L. B. 403. Οὐ δῆτα] Ἀντὶ τοῦ μηδαμῶς· ἤγουν, εἴθε μηδαμῶς εἴην κενή, ἤτοι λειπομένη νοῦ, τουτέστιν ἠλιθίως, κατὰ τοσοῦτον. L. B. 411. Ἐκ τοῦ φίλων] Ἀντὶ τοῦ, ἐκ παρακινήσεως τινὸς τῶν φίλων. L. B. 412. Δοκεῖν ἐμοί] Ἤγουν, κατὰ τὸ δοκεῖν ἐμοί. δοκεῖν γὰρ δοκέειν οἱ Ἀττικοὶ λέγουσιν· οὐ δοκεῖν· ὡς πλέειν πλεῖν, δέειν δεῖν. L. B. 413. Ὦ θεοί] Ἀκούσασα ἡ Ἠλέκτρα ὅτι ἐν τοῖς ὀνείροις γεγόνασι τῇ Κλυταιμνήστρᾳ φόβοι τινὰ, θαρρεῖ, καὶ ἐπικαλεῖται τοὺς θεούς. Bar.

Ηλ. Λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
Ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς.
Χρ. Λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
Τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
Ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
Πῆξαι λαβόντα σκῆπτρον, οὑ 'φόρει ποτὲ
Αὐτός, ταννῦν δ' Αἴγισθος. ἔκ τε τοῦδ' ἄνω
Βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
Πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
Τοιαῦτά του παρόντος, ἡνίχ' ἡλίῳ
Δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου·
Πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι

Πέμπει

417. Λέγ' ἀλλὰ τοῦτο] λέγε κἂν τοῦτο. Πολλά τοι] ἀντὶ τοῦ κατὰ πολύ, ἐπιρρηματικῶς. ἔστι δὲ Ἀττικόν, ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον. 418. Ἔσφηλαν] ἔσφαλαν. σφαλῆναι ἐποίησαν. 419. Λόγος τις αὐτὴν] λόγον λέγει, ἐπεὶ οὐκ αὐτὴ παρ' ἐκείνης ἔμαθεν, ἀλλὰ παρ' ἄλλου διηγουμένου. 420. Δευτέραν ὁμιλίαν] ὡς αὖθις αὐτοῦ ἀναζήσαντος, καὶ προσομιλήσαντος. ὁμιλία δέ, ἐπὶ τῶν ἑνωμένων· κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός. ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων γίνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ἡ ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ ἐπὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινί, ἤγουν διαλέγεται· καὶ ὁμιλεῖ βιβλίῳ, ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἑνοῦται· καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἑνοῦται καὶ συγκρίνεται. κοινωνοῦσι δέ τινες, ἢ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας, ἢ γνώσεως, ἢ τινος τοιούτου τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης, ἢ χωρίου, ἢ τοιούτων τινῶν. 421. Ἐφέστιον] ἐπὶ τὴν οἰκίαν γενόμενον. τουτέστιν ἐπ' οἶκον. ἐφέστιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ. ὡς παρ' Ὁμήρῳ, Ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων. καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ, Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν. ἐφέστιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὤν, ὡς ἐνταῦθα· ὁμέστιος δὲ καὶ συνέστιος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν. 424. Θαλλὸν] θαλλὸς καὶ θύρσος τὸ αὐτό. ἔστι δὲ ὁ ἁπαλὸς κλάδος. 426. Ἡνίχ' ἡλίῳ] τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα.

El. Dic illa saltem. sæpe sane dicta paucula
Everterunt olim, & constituerunt viros.
Chr. Rumor quidem est ipsam vidisse patris,
Tuique & mei, secundum congressum,
Reversi in hanc lucem; deinde illum in domo
Fixisse prehensum sceptrum (quod gerebat olim
Ipse, nunc autem Ægysthus gerit) atque ex eo sursum
Succrevisse florentem ramum, quo umbrata
Omnis fuit Mycenensium regio.
Talia à quodam (qui præsens aderat, cum ipsa Soli
Referret somnium) audiebam recitari.
Plura vero his non novi, nisi quod

Eo

ρυται. Ἡλίῳ] ἀντὶ τοῦ ἡμέρᾳ. ἤκουσα (φησὶ) τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί. 427. Ἐξηγουμένης] ἀντὶ τοῦ διηγουμένης. ἑρμηνεία, συνθήκη λόγου δηλοῦσά τι, καὶ ἡ τῶν τυχόντων διασάφησις. ἐξήγησις δὲ, διασάφησις θείων· διήγησις δὲ, ἡ ἁπλῶς ἀφήγησις.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 426. Ἡλίῳ] ἔθος ἦν τοῖς παλαιοῖς, ὁπότε καθ' ὕπνους ὄναρ δεινὸν θεάσαιντο, ἅμα πρωῒ πρὸς τὸν ἥλιον λέγειν, ἵν' ἐπειδὴ ἐναντίος οὗτός ἐστι τῇ νυκτὶ, ἀποτροπὴν ἐργάσηται τούτου. ¶ Σχόλ. Τρικλ. 419. Λόγος τις] διήγησις ὧν κατὰ τὴν νύκτα ἡ μήτηρ αὐτῶν εἶδεν.

SCHOL. INED. 418. Ἔσφηλαν] ἤγουν, ἔβλαψαν, καὶ ἐνεπόδισαν. L. B. *Bar.* 419. Λόγος τίς] Λόγος τις ἐστὶν εἰς αὐτὴν τὴν μητέρα ἡμῶν, λέγει ἰδεῖν δευτέραν ὁμιλίαν τοῦ σοῦ καὶ ἐμοῦ πατρὸς, ἐλθόντος εἰς τὴν ζωήν. εἶτα εἶδε τὸν πατέρα ἡμῶν τοῦτον ἐφέστιον λαβόντα τὸ σκῆπτρον, ὅπερ ἔφερέ ποτε αὐτὸς, ὅτε ἔζη, τανῦν δὲ φέρει ὁ Αἴγισθος, πῆξαι. καὶ ἐκ τοῦδε τοῦ σκήπτρου ἄνω, εἶδε ἀναβλαστῆσαι βρύοντα θαλλὸν, ᾧ, ἀντὶ τοῦ, δι' οὗ, εἶδε γενέσθαι κατάσκιον πᾶσαν τὴν χθόνα τῶν Μυκηναίων. ἰστέον ὅτι τὸ ἐφέστιον ἁρμόζει καὶ μετὰ τοῦ Ἀγαμέμνονος, ἵνα ᾖ, τὸν δὲ ὄντα ἐφέστιον· ἁρμόζει καὶ μετὰ τοῦ σκήπτρου. ἵνα ᾖ, εἶτα τόνδε τὸν πατέρα ἡμῶν λαβόντα τὸ ἐφέστιον σκῆπτρον. ἤγουν τὸ πατρικὸν, ὅπερ ὁ Ζεὺς δέδωκε τῇ οἰκίᾳ ἡμῶν ἔκπαλαι. *Bar.*

Πέμπει με κείνη τοῦδε τοῦ φόβου χάριν.
ΗΛ. Πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
Ἐμοὶ πιθέσθαι, μηδ' ἀβουλίᾳ πεσεῖν·
Εἰ γὰρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.
Ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν,
Τύμβῳ προσάψῃς μηδέν. οὐ γάρ σοι θέμις,
Οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
Κτερίσματ', οὐδὲ λουτρὰ προσφέρειν πατρί·
Ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
Κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
Τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
Κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
Ἀρχὴν γὰρ, εἰ μὴ τλημονεστάτη γυνὴ
Πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
Οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.

Σκέψαι

432. Εἰ γάρ μ' ἀπώσῃ] εἰ γὰρ νῦν (φησὶ) δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με, καὶ ἀξιώσεις τά σου γενέσθαι. Ἄλλως. μέτει, ἀντὶ τοῦ κολακεύσεις. μετέρχομαι, τὸ ὑπέρχομαι, καὶ κολακεύω, καὶ τὸ κολάζω. 434. Οὐ γάρ σοι θέμις] μὴ ἀποτρέψῃ, εἴτι κακὸν μέλλει γενέσθαι ἀπὸ τῶν ὀνείρων. εὐνὴν δὲ νῦν τάφον. θέμις, τὸ εὔνομον· τὸ δίκαιον. ὅμως ἀμφότερα ἐπὶ θεοῦ, καιον δὲ ἐπὶ ἀνθρώπου. 437. Βαθυσκαφεῖ κόνει] εἰς βάθος ὀρωρυγμένῃ. μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ π οὐ δύναται ἁρμόσαι. δεῖ οὖν συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν τὸ ῥίψον, ἢ τὸ δὸς, ἤτι τῶν τοιούτων. καὶ ἐν ἑτέροις τοῦτο γίνεται πολ ὡς παρ' Ὁμήρῳ, ἦχι ἑκάστῳ Ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο· οὐ γὰρ οἱ ἵπποι ἔκειντο (ἵν' ἀπὸ κοινοῦ τὸ ἔκειντο λέγηται), μετεσχηματισ ἀπὸ τοῦ ἔκειτο) ἀλλ' εἱστήκεσαν. 441. Εἰ μὴ τλημονεστάτη] καθόλου (φησὶν) εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν ποτε ταῦτα ἔπραττ

Eo ipsa me mittit hunc ob timorem.
El. Per nunc Deos *ergo* te obsecro patrios,
Ut mihi pareas, neque per imprudentiam cadas:
Nam si repuleris me, malo accepto post ad me recurres.
At, O chara *soror*, horum quidem quæ manibus portas,
Tumulo admoveris nihil; non enim tibi fas,
Nec pium, à muliere adeo inimica, statuere
Inferias, aut lavacra offerre patri:
At vel ventis trade, vel profundo in pulvere
Conde ea, unde nunquam ad tumulum patris
Horum accedat quicquam; at donec moriatur,
Thesaurus ei hic servetur sub terra intactus.
Omnino enim, nisi hæc audacissima mulier
Omnium nata foret, hæc inimica libamina
Nunquam ei, quem interfecit, adornasset.

τιμῇ τοῦ πατρὸς, ὃν αὐτὴ ἀνεῖλεν. εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι, λυσιτελοῦντι πράττειν· ᾧ μὴ ὑπουργήσῃς σύ.

¶ Σχόλ. Τρικλ. 433. Ἀλλ', ὦ φίλη] συμβουλὴ Ἠλέκτρας πρὸς Χρυσόθεμιν, ἵνα ἀπορρίψῃ ἃ φέρει θύματα πρὸς τύμβον πατρός.

SCHOL. INED. 434. Προσάψῃς μηδὲν] Ἀντὶ τοῦ, μὴ προσάψῃς, ἤγουν ἀναθῇς. L. B. Κρεμάσῃς, προσεγγίσῃς, καὶ προσαρτίσῃς. *Bar.* 436. Κτερίσματ'] Κτερίσματα λέγονται τὰ ἐπὶ τοῖς νεκροῖς θύματα. ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ χέειν αὐτὰ κάτω τῆς ἔρας, ἤγουν τῆς γῆς. *Bar.* 440. Κειμήλι'] Κειμήλια λέγονται, τὰ ἐναπόθετα χρήματα. ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ κεῖσθαι καὶ μὴ τὸν ἥλιον ὁρᾷν. *Bar.* 441. Εἰ μὴ τλημ.] Εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεστάτη γυνὴ πασῶν γυναικῶν, οὐκ ἄν ποτε ἔκτεινε τὸν ἄνδρα αὐτῆς, ὃν ἔκτεινεν. ἀλλ' οὐδὲ ἔστεφεν ἐπὶ τῷδε τῷ τάφῳ αὐτοῦ τάσδε τὰς δυσμενεῖς χοάς. ἢ οὕτως. εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεστάτη γυνὴ πασῶν τῶν γυναικῶν, ἤγουν ἀπὸ πασῶν τῶν γυναικῶν, οὐκ ἄν ποτε ἐπέστεφε, καὶ ἐπεκόσμει τῷδε τῷ πατρὶ ἡμῶν καὶ ἀνδρὶ αὐτῆς, τάσδε τὰς δυσμενεῖς χοὰς, ὅν τινα ἔκτεινε. *Bar.*

Σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
Γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς,
Ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενὴς,
Ἐμασχαλίσθη, κἀπὶ λυτροῖσιν κάρα
Κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
Λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
Οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
Τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
Κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
Ἄχω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,

Καὶ

444. Εἴ σοι προσφιλῶς αὐτῇ] σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα. 447. Ἐμασχαλίσθη] ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τοῦ ἠκρωτηριάσθη. οἱ ἐπεὶ εἰώθασαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσεσθαι τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. κάρα δὲ, κατὰ τὴν κεφαλὴν ἑαυτῆς δηλονότι. τὸ δὲ ἐξέμαξεν, ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας. καὶ τὸ κάρα αὐτοῦ, τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεί φησιν οὗτος, Δείπνίσσας, ὥς τίς τε κατέκλανε βοῦν ἐπὶ φάτνῃ. ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως. εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες· διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕστερον τι δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως. ἐπὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτῶν ἐκρέμαζον αὐτὰ, ἵνα (φασὶν) ἀσθενεῖς γένοιντο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος, Ἐξάργματα τέμνε θανόντος, ὁ Ἰάσων τοῦ Ἀψύρτου. 448. Κηλῖδας ἐξέμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου. ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. 450. Ἀλλὰ ταῦτα μὲν μέθες] προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου. 453. Ἀλιπαρῆ τρίχα] περιπαθῶς μὲν, τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

ΣΧΟΛ.

Considera modo si tibi amice videtur
Hæc dona accepturus, qui in tumulo jacet mortuus,
Ab ipsa, à qua cæsus turpiter primum, dein, ut hostis
Truncatus membris est, & aqua lustrali *in illius* caput
Maculas detersit. Num tu igitur putas
Hæc a reatu cædis illam solutura?
Non sunt: sed hæc omitte. Tu vero
Præcide de capite tuo cincinnorum summas comas,
Meique miseræ (parva quidem hæc sunt, quæ tamen
Habeo omnia) & patri da squalidum hunc capillum,

Meamque

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 444. Προσφιλῶς] τὸ αὐτῇ, ἢ πρὸς τὸ σοὶ συντακτέον, ἵν' ᾖ οὐκ παραλλήλως αὐτῇ σοί· ἢ πρὸς τὸ γέρα, οὕτω, τὰ γέρα αὐτῇ, ἤγουν αὐτῆς· ἢ πρὸς τὸ προσφιλῶς, ἵν' ᾖ, προσφιλῶς αὐτῇ, ἤγουν ἀποδεκτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βούλεται. 447. Ἐμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡνίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. τοῦτο δὲ ἐποίουν ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τοὺς ζῶντας ἀμύνονται, Ἐρινῦς αὐτοῖς ἐπιπέμποντες· οὐ μόνον δὲ ταῦτα ἐποίουν, ἀλλὰ καὶ τὸ ξίφος, δι' οὗ ἡ σφαγὴ ἐγένετο, ἀπέματτον πρὸς τὴν τοῦ σφαγέντος κεφαλήν.

SCHOL. INED. 447. Κάρα] Τὸ κάρα. καὶ κλίνεται τοῦ κρατὸς ἑτεροκλίτως. ἡ δοτικὴ τῷ κρατὶ, ἡ αἰτιατικὴ, τὸ κάρα. *Bar.* 448. Ἆρα μὴ] Τὸ μὴ ἐνταῦθα παρέλκον ἐστίν. ἀρκεῖ γὰρ εἰς τὴν ἔννοιαν τοῦ λόγου μόνον τὸ ἆρα. Ἐρώτ. ἆρα δοκεῖς αὐτῇ Κλυταιμνήστρᾳ τῇ μητρὶ ἡμῶν φέρειν ταῦτα τὰ κτερίσματα λυτήρια τοῦ φόνου; Ἀποκρ. οὐκ ἔστι. ἀντὶ τοῦ οὐδαμῶς. *Bar.* 453. Ἀλιπαρῆ τρίχα] Τρίχες κεφαλὴ λέγεται, οὐχὶ κεφαλὴ τριχῶν. οὐ γὰρ ὥσπερ ἡμέρα ἡλίου λέγεται, καὶ τὸ ἀνάπαλιν ἥλιος ἡμέρας λέγεται, ἐπεὶ διὰ τὴν ἡμέραν ὁ ἥλιος ἐγένετο, καὶ οὗ ἕνεκα ἐστὶν ἡμέρα. ποιεῖ οὖν ὁ ἥλιος τὴν ἡμέραν γεγονὼς, διὰ τοῦτο καὶ λέγεται ἥλιος ἡμέρας. ἡ δὲ κεφαλὴ ποιεῖ μὲν τρίχας. οὐ μὴν δ' αὐτὸ τοῦτο ἐστὶν ἡ κεφαλὴ, ἤγουν διὰ τὸ ποιεῖν τρίχας. οὐδ' ὁ προηγούμενος σκοπὸς

τὸ

Καὶ ζῶμα τοὐμόν, οὐ χλιδαῖς ἠσκημένον.
Αἰτοῦ δὲ προσπίτνουσα, γῆθεν εὐμενῆ
Ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
Καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
Ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
Ὅπως τολοιπὸν αὐτὸν ἀφνεωτέραις
Χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
Οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον,
Πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
Ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
Κἀμοί τ' ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
Πάντων ἐν ᾅδου κειμένῳ κοινῷ πατρί.
Χο. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ

Εἰ

τῆς κεφαλῆς ἐστιν ὄντος. διὸ οὐ λέγεται ἡ κεφαλὴ τῶν τριχῶν· καὶ ἐπὶ τῶν ποιούντων οὕτως. ἐπὶ δὲ τῶν γινομένων διά τινος σκεπτέον· ἔοικεν οὖν, οὐ πάντα τὰ γινόμενα οἷς γίνεται τούτων λέγεσθαι. οἷον ἡ θύρα τῷ πρίονι γίνεται ἢ τῷ σκεπάρνῳ. οὐ μὲν ἡ θύρα τοῦ σκεπάρνου λέγεται, ἢ τοῦ πρίονος. οὐ γὰρ αὐτὸ δι' ἑαυτοῦ τὸ σκέπαρνον ποιεῖ τὴν θύραν, ἵν' ᾖ ἡ θύρα τοῦ σκεπάρνου· ἀλλ' ὁ ἐργαζόμενος, ἄλλος ἐστιν, ἐργαλείῳ χρώμενος τῷ σκεπάρνῳ. ἤγουν, ὁ τέκτων, οὗ λέγεται ἡ θύρα. λέγεται δὲ καὶ τοῦ οἴκου. ὅτι ἕνεκα τοῦ οἴκου γίνεται. καὶ τοῦ κυρίου τοῦ οἴκου, ὡς δεσπόζοντος. καθόλου δὲ τὰ λεγόμενά τινος, ἢ ὡς πρός τι λέγεται, ὡς πατὴρ υἱοῦ. ἢ ὡς μέρη, ὡς ἡ χεὶρ τοῦ ἀνθρώπου. ἢ ὡς δοῦλα. ὡς ὁ λαὸς τοῦ θεοῦ. ἢ ὡς δεσπόζοντα, ὡς ὁ θεὸς τῶν ἀνθρώπων. καὶ ὁ βασιλεὺς τοῦ λαοῦ. ἢ ὡς κτήματα. ὡς τὸ ἔνδυμα τοῦ δεῖνος· ἢ ὡς γινόμενα ὑπό τινος. ὡς ἡμέρα ἡλίου. ἢ ὡς γινόμενα διά τι, καὶ ποιοῦντα ἐκεῖνο δι' ὃ ἐγένοντο. ὡς ἥλιος ἡμέρας. ἢ ὡς περιέχοντα. οἷον τόδε τὸ πλῆθος, τοσούτων ἀνθρώπων ἐστίν. ἤγουν, τοσούτους ἀνθρώπους περιέχει. ἢ ὡς περιεχόμενα. οἷον τοσοῦτοι ἄνθρωποι τούτου τοῦ πλήθους. ἤγουν, τοσοῦτοι περιέχονται ὑπὸ τούτου τοῦ πλήθους. ἢ ὡς ἐπέχοντα. οἷον ὁ δρόμος οὗτος πέντε σταδίων ἐστί. ἤγουν, τοσούτους σταδίους ἐπέχει. ἢ ὡς ἐπικρατούμενα. οἷον, τοσοῦτοι στάδιοι τούτου τοῦ δρόμου. ἤγουν, τοσοῦτοι στάδιοι ἐπικρατοῦνται ὑπὸ τούτου τοῦ δρόμου. καθὸ λέγεται καὶ ὁ δεῖνα τοσούτων ἐτῶν. ἤγουν τοσαῦτα ἔτη ἡ ζωὴ αὐτοῦ ἐπέχει. καὶ τὰ ἔτη τοῦ δεῖνος. ἤγουν, ἃ ἐπέχεται ὑπὸ τῆς ζωῆς αὐτοῦ. L. B.

454. Καὶ

Meamque zonam, utcunque nullis politam ornamentis.
Pete autem accedens ad genua, è terra propitius
Nobis ut auxiliator ipſe in hoſtes adſit,
Et filius Oreſtes potentiori manu *fretus*
Illius hoſtes vivus inſultet pede.
Ut in poſterum ipſius tumulum ditioribus
Ornemus manibus, quam in præſentia donamus.
Puto enim, puto hanc rem & ipſi curæ eſſe,
Adeoque miſiſſe hæc illi viſu odioſa ſomnia.
Quapropter, ſoror, tibi hac in re ſervi,
Meque adjuva, chariſſimumque mortalium
Omnium, qui apud inferos nunc eſt, communem nobis patrem.

Cho. Pie virgo loquitur : & tu

Si

454. Καὶ ζῶμα τοὐμὸν] σύμφωνον τοῦτο τῷ, ὅδε μὴ ἀσκεῖ σὺν στολᾷ. ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα. ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας. 457. Ἐξ ὑπερτέρας] ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος. 465. Κοινῷ πατρὶ] τῷ σῷ καὶ ἐμῷ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 466. Πρὸς εὐσέβ.] ἔστιν ὅτε τὴν πρὸς μετ' ὀνόματος κειμένην καὶ αἰτιατικῇ συντασσομένην, ἀντὶ ἐπιρρήματος λαμβάνουσιν, ὡς τὸ, μηδὲν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς ἀξίαν· καὶ ἐνταῦθα πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς.

SCHOL. INED. 458. Ἐπεμβῆναι] Ἤγουν, λὰξ ἐπεμπηδῆσαι, καὶ ἐπιτεθῆναι. L. B. 459. Τολοιπὸν] Ἤγουν κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, τουτέστι, τὸ ἔμπροσθεν. L. B. 461. Οἶμαι μὲν] Ἤγουν, ὑπολαμβάνω ὅτι διὰ φροντίδος ἐστὶ κἀκείνῳ τῷ πατρὶ ἡμῶν Ἀγαμέμνονι, πέμψαι ταῦτα τὰ δυσθέατα ὀνείρατα τῇ μητρὶ ἡμῶν Κλυταιμνήστρᾳ. Ἤγουν, οἶμαι μὲν οὖν, οἶμαι ὅτι ἦν ἐκείνῳ τῷ πατρὶ ἡμῶν τι μέλον, ἤγουν, τίς ποτε φροντὶς, πέμψαι τάδε τὰ δυσπρόσοπτα ὀνείρατα αὐτῇ τῇ μητρὶ ἡμῶν, Κλυταιμνήστρᾳ δηλονότι. *Bar.*

Εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
Χρ. Δράσω· "τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
"Δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
Πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
Σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω φίλαι.
Ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
Δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

Χο. Εἰ μὴ ἐγὼ παράφρων
Μάντις ἔφυν, καὶ γνώμας
Λειπομένα σοφᾶς,
Εἶσιν ἁ πρόμαντις

Δίκα,

468. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν. δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ, οὐκ ἔχει λόγον, ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. Ἄλλως. οὐ δισταγμοῦ (φησὶ) καὶ ἀμφιβολίας προσδεῖται τοῖς δυο, πότερον δεῖ τούτων ποιεῖν ἢ προαιρεῖσθαι. 469. Ἀλλ' ἐπισπεύδειν] ἀλλὰ παρέχει σπουδὴν ἐπὶ τὸ δρᾶν. σπεύδω ἐπὶ τόδε, ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω. 471. Σιγὴ παρ' ὑμῶν] εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν. 472. Ὡς εἰ τάδ' ἡ τεκοῦσα] ὅτι εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα, ἀλγεινὴν νομίζω εἰς τὸ ἑξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν, ἤγουν εἰς ἄλγος ἐμὸν τολμήσειν τήνδε τὴν ἐπιχείρησιν, εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα. ὀφείλει δὲ μᾶλλον οὕτω λέγεσθαι, πικρὰν δοκῶ ἐγὼ τολμήσειν τήνδε τὴν πεῖραν. ὅμοιον δὲ, ὡς κἀμ' ἐπαυχῶ. 474. Εἰ μὴ ἐγὼ παράφρων] ἀνόητος· ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος, θαῤῥεῖν παραινεῖ τὴν Ἠλέκτραν. 477. Εἶσιν ἁ πρόμαντις] ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς συνετοῖς προγιγνωσκομένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 474. Εἰ μὴ ἐγὼ παρ.] κατανοήσας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου, ὡς ταχέως οἱ φονεῖς ὑπὸ τῆς δίκης τιμωρηθήσονται, προμαντευόμενος δῆθεν φησὶ πρὸς τὴν Ἠλέκτραν, ὦ τέκνον, ὕπεστί μοι θράσος, ἤγουν θαῤῥῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων καὶ

λειπομένη

Si ſapies, O chara *mihi*, facies hæc quæ jubet.
*Chr.*Faciam: “ res enim juſta non habet rationem competitoris,
“ Ut *de ea* inter duos diſceptetur, ſed maturare factum *opus eſt*.
Aggredienti autem hæc opera mihi
Silentium, per vos, per Deos, præſtetur, amicæ.
Nam ſi hæc mater mea reſciverit, acerbum mihi
Credo me hoc auſum auſuram in poſterum.

EPODICA. STROPHE.

*Cho.*Niſi ego inſipiens
Vates ſum, & mente
Deſtituta prudenti,
Venit prænuncia *ſui*
Ultio,

λειπομένη καὶ ἐστερημένη γνώμης σοφῆς, ἤγουν διανοίας φρονίμου· ἤγουν εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐστέρημαι γνώσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ δίκη ἡ πρόμαντις, καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη, καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια· ἤγουν κατὰ τῶν φονέων τοῦ σοῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τοῦτ' ἔστι, δικαίως αὐτοὺς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ μετελεύσεται, καὶ τιμωρήσεται τινὰ κλύουσαν, καὶ ἀκούσασαν ἀρτίως καὶ πρὸ ὀλίγου ὀνειράτων ἡδυπνόων καὶ εὐφραντῶν ἡμῖν, οὐκ ἐπὶ μακροῦ χρόνου, ἀλλὰ ταχέως. ἤγουν, ταχέως τιμωρήσεται Κλυταιμνήστραν, ἥτις εἶδε τὰ ὀνείρατα. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ παρ' Ἀριστοφάνει, Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεζόμενον. καὶ τῷ, Ἥκει τῷ κακὸν, δώσει τὶς δίκην.

SCHOL. INED. 470. Πειρωμένῃ] Ἤγουν, ἁπτομένῃ καὶ ἀρχομένῃ τῶν δὲ τῶν ἔργων ἃ εἶπεν ἡ Ἠλέκτρα ἐμοί, ἔστω πρὸς θεῶν σιγὴ παρ' ὑμῶν, ὦ φίλαι. ἰστέον ὅτι οὖσα εὐλαβὴς ἡ Χρυσόθεμις, ἀξιοῖ τὸν χορὸν κρύπτειν τὰ γινόμενα ἔργα. διὸ καί φησι, ὦ φίλαι, πρὸς θεῶν ἔστω σιγὴ παρ' ὑμῶν, ἐμοὶ τῇ πειρωμένῃ τῶνδε τῶν ἔργων. τουτέστιν, ἔστω κρύψις παρ' ὑμῶν, ἐμοὶ τῇ ἐπιχειρούσῃ τῶνδε τῶν ἔργων. ἤγουν, ζητῶ γενέσθαι σιγὴν παρ' ὑμῶν, ἕνεκα ἐμοῦ τῆς ἐπιχειρούσης τῶνδε τῶν ἔργων. ἤγουν, σιωπήσατε ταῦτα τὰ ἔργα, ἃ ἐπιχειρῶ ποιεῖν, ὅτι εἰ ἡ τεκοῦσα πεύσεται καὶ μαθήσεται ταῦτα, δοκῶ

Δίκα, δίκαια φερομένα
Χεροῖν κράτη· μέτεισιν, ὦ
Τέκνον, οὐ μακροῦ χρόνου.
Ὕπεστί μοι θράσος,
Ἁδυπνόων κλύουσαν
Ἀρτίως ὀνειράτων·
Οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
Οὐδ' ἁ παλαιὰ χαλκόπληκτος
Ἀμφήκης γένυς,
Ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἥξει δὲ καὶ πολύπους

Καὶ

πως εἰς τὸ ἑξῆς μέλλω μέμψασθαι ἐμὲ, ἤγουν, ἐμαυτὴν, ὅτι ἐτόλμησα ἐργάσασθαι τήνδε τὴν πεῖραν πικράν. *Bar.* 474. Παράφρων] Οὐκ ὀρθὰ στοχαζόμενος εἰς τὸν σκοπὸν τούτων τῶν ὀνείρων δηλονότι. L. B.

478. Δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν. ἤγουν ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν. 479. Μέτεισιν] μέτεισι, φησὶ, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς. Ἄλλως. μέτεισι, κολάσει, οὐ διὰ μακροῦ χρόνου. 484. Οὐ γάρ ποτ' ἀμναστεῖ] οὐ γὰρ ἀμνημονεῖ (φησὶ) τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεὺς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν. 486. Χαλκόπληκτος] ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ' ἀμνημονεῖ (φησὶν) ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτὸν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων. χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκοῦ πληγείς· ἐνταῦθα δὲ χαλκόπληκτος γένυς, ἡ ὑπὸ χαλκοῦ ἠλασμένη. παλαιὰ δὲ ἀναφέρεται πρὸς τὴν πρᾶξιν, ἥτις πάλαι ἐγένετο. 489. Αἰκίαις] ὕβρεσιν. αἰκία, ὕβρις, ἀπὸ τοῦ μὴ ἐοικέναι· ἀφ' οὗ καὶ τὸ ἀεικής. Γένυς δὲ, εἶδος πελέκεως. 490. Ἥξει δὲ καὶ πολύπους] ἡ Ἐριννὺς ἡ

Ultio, justas ferens
Manibus vires: adest ultura,
O filia, jam brevi spatio.
Ea subest mihi fiducia
Blande aspirantia audienti
Modo somnia:
Non enim unquam immemor est genitor saltem
tuus,
Græcorum rex,
Neque vetus illa ferro cusa
Anceps bipennis,
Quæ ipsum occidit
Fœdissimis affectum injuriis.

ANTISTROPHE.

Venit quoque multis cum pedibus,
Et

ἐκείνῳ τῷ φόνῳ ἀπολαυθήσασα. οὕτως ἐν τῷ ὑπομνήματι. πολύπους, ἐν ὑπερβολῇ τοῦτο ἔθηκεν· ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις. ἐπεὶ γὰρ (φησὶν) ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τέκουσα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 481. Ὕπεστί μοι] οἱ γράφοντες, Ὕπεστί μοι θάρσος, ἀμαθεῖς τῶν μέτρων. διὰ τοῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται, ἵν᾽ οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. εἰ δὲ ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς. πολλὰ γὰρ τοιαῦτα καινοτομοῦσιν οἱ ποιηταί, μετατιθέντες τὰ σύμφωνα, καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

SCHOL. INED. 486. Ἁ παλαιὰ γένυς] Ἀντὶ τοῦ, ὁ παλαιὸς πέλεκυς. ἀπὸ τοῦ στόματος λέγει ὅλον τὸν πέλεκυν· παλαιὸν δὲ λέγει, ἀναφέρων πρὸς τὴν πρᾶξιν, ἥ τις πάλαι ἐγένετο. L. B. 490. Ἥξει δὲ] Ἤγουν, ἡ πολλὰ διερχομένη, καὶ ἡ πολύχειρ· ἤγουν, ἡ πολλὰ ἐργαζομένη. ἡ Ἐριννὺς λέγει ἡ χαλκόπους. ἤγουν, ἡ εὔτονος κατὰ τὴν πορείαν, ἡ κρυπτομένη ἐν δεινοῖς λόχοις, ἀντὶ τοῦ ἐν δεινῷ λόχῳ, τουτέστιν, ἐν φοβερᾷ ἐνέδρᾳ. L. B.

493. Χαλκόπους]

Καὶ πολύχειρ, ἁ δεινοῖς
Κρυπτομένα λόχοις,
Χαλκόπους Ἐρινύς.
Ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
Μιαιφόνων γάμων ἁμιλ-
λήματ' οἷσιν οὐ θέμις.
Πρὸ τῶνδέ τοι μ' ἔχει,
Μήποτε, μήποθ' ἡμῖν
Ἀψεγὲς πελᾶν τέρας
Τοῖς δρῶσι καὶ συνδρῶσιν.
Ἤτοι μαντεῖαι βροτῶν
Οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
Οὐδ' ἐν θεσφάτοις,

Εἰ

493. Χαλκόπους] ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων. 494. Ἄλεκτρ', ἄνυμφα] δυσάλεκτρα καὶ κακόνυμφα. ἀντὶ τοῦ μὴ νενομισμένα, ἀλλὰ παράνομα, διὰ τὴν μοιχείαν. 495. Μιαιφόνων γάμων] ἤτοι ἐπὶ τῆς Ἐρινύος ἐστὶν ὁ λόγος. ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα. ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις· οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ Ἐρινύς. διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ, Οἷσιν οὐ θέμις, ἐπὶ τῶν γάμων. φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπε. 497. Πρὸ τῶνδέ τοι μ' ἔχει] τό τοι, σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ ἐλπὶς, ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων (Αἴγισθον φησὶ καὶ Κλυταιμνήστραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαῤῥῶ ὅτι τοῖς δρᾶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος. παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως. ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν, ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς· τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου. 499. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει. 500. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῶν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. 501. Ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις

Et multis cum manibus *illa*, quæ horrendis
Nunc latet insidiis,
Æripes Erynnis.
Nam thalamum & sponsalia inceſtantes
Sanguine fœdatarum nuptiarum invaſerunt
Eos, quos non erat fas invadere.
Propter hæc adeo mihi ſedet,
Nullo, nullo modo nobis
Innoxium advenire hoc prodigium
Auctoribus ſceleriſque ſociis.
Certe divinatio mortalium
Nulla eſt in diris per ſomnum viſis,
Nec in Oraculis,

Niſi

ροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ τοῦ εὖ ἕξει. 502. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί. 503. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 491. Ἁ δεινοῖς] ἤγουν δεινῶς ἐνεδρεύουσα τοῖς κακοῖς, καὶ μὴ φαινομένη, ἀλλ' ἐξ ἀφανοῦς αὐτοὺς βάλλουσα. 495. Μιαιφόνων] ὁ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας γάμος βαρὺς κατέστη τῷ Ἀγαμέμνονι, δι' αὐτὸν γὰρ πεφόνευται. δέον δὲ εἰπεῖν, ἐπέβησαν γὰρ τῷ Ἀγαμέμνονι μιαιφόνοι, κακόλεθροι, καὶ ἄνυμφοι γάμοι, ὁ δὲ ἄλεκτρα καὶ ἄνυμφα ἁμιλλήματα μιαιφόνων γάμων εἶπε. προσέθηκε δὲ τὸ ἁμιλλήματα, ἐπειδὴ ἀγώνισμα περισπούδαστον ἐποιήσαντο, διὰ τὸν αὐτῶν ἄθεσμον γάμον Ἀγαμέμνονα κτεῖναι, ἵνα μὴ γνωσθέντες ὑπ' αὐτοῦ φονευθεῖεν. 501. Ἤτοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾷν.

SCHOL. INED. 496. Οἷσιν οὐ θέμις] Τουτέστι, οἷς καὶ ὁποίοις γάμοις, οὐ δίκαιον, οὐδὲ πρεπὸν, οὐδὲ ἔννομον ἦν ἐπελθεῖν. ὑπὲρ τούτων δὲ δὴ, ἤγουν τῶν προειρημένων, ἔχει ἐμὲ ἐλπὶς, μή ποτε ἐπέλθοι πλησιάσαι ἡμῖν τοῖς δρῶσι καὶ συνδρῶσιν, ἤγουν σοὶ τῇ ἀχθομένῃ καὶ ἡμῖν τοῖς συναχθομένοις, τέρας καὶ σημεῖον ἀψεγὲς, ἤγουν ἀρεστόν. λέγει δὲ τοὺς ὀνείρους. αἱ μαντεῖαι δὲ τῶν ἀνθρώπων, οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἤγουν ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις ἤγουν χρησμοῖς καὶ θείοις λογίοις ἀληθεύουσι δηλονότι, εἰ μὴ τὸ φάντασμα τῆσδε τῆς νυκτὸς, εὖ κατασχήσει, ἀντὶ τοῦ καλῶς ἕξει καὶ ἀποβήσεται. *Bar.*

505. Εὖ

Καὶ πολύχειρ, ἁ δεινοῖς
Κρυπτομένα λόχοις,
Χαλκόπους Ἐριννύς.
Ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
Μιαιφόνων γάμων ἁμιλ-
λήμαθ' οἷσιν οὐ θέμις·
Πρὸ τῶνδέ τοι μ' ἔχει,
Μήποτε, μήποθ' ἡμῖν
Ἀψεγὲς πελᾶν τέρας
Τοῖς δρῶσι καὶ συνδρῶσιν.
Ἤτοι μαντεῖαι βροτῶν
Οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
Οὐδ' ἐν θεσφάτοις,

Εἰ

493. Χαλκόπους] ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων. 494. Ἄλεκτρ', ἄνυμφα] δύσλεκτρα καὶ κακόνυμφα. ἀντὶ τοῦ μὴ νενομισμένα, ἀλλὰ παράνομα, διὰ τὴν μοιχείαν. 495. Μιαιφόνων γάμων] ἤτοι ἐπὶ τῆς Ἐριννύος ἐστὶν ὁ λόγος. ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα. ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις· οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ Ἐριννύς. διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ, Οἷσιν οὐ θέμις, ἐπὶ τῶν γάμων φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπε. 497. Πρὸ τῶνδέ τοι μ' ἔχει] τό τοι, σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ ἐλπὶς, ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων (Αἴγισθον φησὶ καὶ Κλυταιμνήστραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαῤῥῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος. παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως. ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν, ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς· τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου. 499. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει. 500. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δράσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. 501. Ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνεί-

ροις

Et multis cum manibus *illa*, quæ horrendis
Nunc latet insidiis,
Æripes Erynnis.
Nam thalamum & sponsalia incestantes
Sanguine fœdatarum nuptiarum invaserunt
Eos, quos non erat fas invadere.
Propter hæc adeo mihi sedet,
Nullo, nullo modo nobis
Innoxium advenire hoc prodigium
Auctoribus scelerisque sociis.
Certe divinatio mortalium
Nulla est in diris per somnum visis,
Nec in Oraculis,

Nisi

ροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ τοῦ εὖ ἕξει. 502. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί. 503. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 491. Ἁ δεινοῖς] ἤγουν δεινῶς ἐνεδρεύουσα τοῖς κακοῖς, καὶ μὴ φαινομένη, ἀλλ' ἐξ ἀφανοῦς αὐτοὺς βάλλουσα. 495. Μιαιφόνων] ὁ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας γάμος βαρὺς κατέστη τῷ Ἀγαμέμνονι, δι' αὐτὸν γὰρ πεφόνευται. δέον δὲ εἰπεῖν, ἐπέβησαν γὰρ τῷ Ἀγαμέμνονι μιαιφόνοι, κακόλεθροι, καὶ ἄνυμφοι γάμοι, ὁ δὲ ἄλεκτρα καὶ ἄνυμφα ἁμιλλήματα μιαιφόνων γάμων εἶπε. προσέθηκε δὲ τὸ ἁμιλλήματα, ἐπειδὴ ἀγώνισμα περισπούδαστον ἐποιήσαντο, διὰ τὸν αὐτῶν ἄθεσμον γάμον Ἀγαμέμνονα κτεῖναι, ἵνα μὴ γνωσθέντες ὑπ' αὐτοῦ φονευθεῖεν. 501. Ἤτοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾶν.

SCHOL. INED. 496. Οἷσιν οὐ θέμις] Τουτέστι, οἷς καὶ ὁποίοις γάμοις, οὐ δίκαιον, οὐδὲ πρεπὸν, οὐδὲ ἔννομον ἦν ἐπελθεῖν. ὑπὲρ τούτων δὲ δὴ, ἤγουν τῶν προειρημένων, ἔχει ἐμὲ ἐλπὶς, μή ποτε ἐπέλθοι πλησιάσαι ἡμῖν τοῖς δρῶσι καὶ συνδρῶσιν, ἤγουν σοὶ τῇ ἀχθομένῃ καὶ ἡμῖν τοῖς συναχθομένοις, τέρας καὶ σημεῖον ἀψεγὲς, ἤγουν ἀρεστόν. λέγει δὲ τοὺς ὀνείρους. αἱ μαντεῖαι δὲ τῶν ἀνθρώπων, οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἤγουν ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις ἤγουν χρησμοῖς καὶ θείοις λογίοις ἀληθεύουσι δηλονότι, εἰ μὴ τὸ φάντασμα τῆσδε τῆς νυκτὸς, εὖ κατασχήσει, ἀντὶ τοῦ καλῶς ἕξει καὶ ἀποβήσεται. *Bar.*

505. Εὖ

Σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
Γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς,
Ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενής,
Ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρα
Κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
Λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
Οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
Τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
Κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
Ἄχω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,

Καὶ

444. Εἴ σοι προσφιλῶς αὐτῇ] σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προσφιλῶς τάδε τὰ δῶρα. 447. Ἐμασχαλίσθη] ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τοῦ ἠκρωτηριάσθη. οἱ ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσεσθαι τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. κάρα δὲ, κατὰ τὴν κεφαλὴν ἑαυτοῦ δηλονότι. τὸ δὲ ἐξέμαξεν, ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας. καὶ τὸ κάρα αὐτοῦ, τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεί φησιν αὐτὸς, Δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. ἀρκεῖ γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως. εἰώθεισαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες· διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕστερον τὶ δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως. ἐπὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτῶν ἐκρέμαζον αὐτὰ, ἵνα (φασὶν) ἀσθενεῖς γένοιντο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος, Ἐξάργματα τέμνε θανόντος, ὁ Ἰάσων τοῦ Ἀψύρτου. 448. Κηλῖδας ἐξέμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου. ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. 450. Ἀλλὰ ταῦτα μὲν μέθες] προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου. 453. Ἀλιπαρῆ τρίχα] περιπαθῶς μὲν, τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

ΣΧΟΛ.

Considera modo si tibi amice videtur
Hæc dona accepturus, qui in tumulo jacet mortuus,
Ab ipsa, à qua cæsus turpiter primum, dein, ut hostis
Truncatus membris est, & aqua lustrali *in illius* caput
Maculas tersit. Num tu igitur putas
Hæc a reatu cædis illam solutura?
Non sunt: sed hæc omitte. Tu vero
Præcide de capite tuo cincinnorum summas comas,
Meique miseræ (parva quidem hæc sunt, quæ tamen
Habeo omnia) & patri da squalidum hunc capillum,

Meamque

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 444. Προσφιλῶς] τὸ αὐτῇ, ἢ πρὸς τὸ σοὶ συντακτέον, ἵν' ᾖ οὐκ παραδήλου αὐτῇ σοί· ἢ πρὸς τὸ γέρα, οὕτω, τὰ γέρα αὐτῇ, ἤγουν αὐτῆς· ἢ πρὸς τὸ προσφιλῶς, ἵν' ᾖ, προσφιλῶς αὐτῇ, ἤγουν ἀποδεκτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βούλεται. 447. Ἐμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡνίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. τοῦτο δὲ ἐποίουν ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τοὺς ζῶντας ἀμύνονται, Ἐρινῦς αὐτοῖς ἐπιπέμποντες· οὐ μόνον δὲ ταῦτα ἐποίουν, ἀλλὰ καὶ τὸ ξίφος, δι' οὗ ἡ σφαγὴ ἐγένετο, ἀπέματτον πρὸς τὴν τοῦ σφαγέντος κεφαλήν.

SCHOL. INED. 447. Κάρα] Τὸ κάρα. καὶ κλίνεται τοῦ κρατὸς ἑτεροκλίτως. ἡ δοτικὴ τῷ κρατὶ, ἡ αἰτιατικὴ, τὸ κάρα. *Bar.* 448. Ἆρα μὴ] Τὸ μὴ ἐνταῦθα παρέλκον ἐστίν. ἀρκεῖ γὰρ εἰς τὴν ἔννοιαν τοῦ λόγου μόνον τὸ ἆρα. Ἐρώτ. ἆρα δοκεῖς αὐτῇ Κλυταιμνήστρᾳ τῇ μητρὶ ἡμῶν φέρειν ταῦτα τὰ κτερίσματα λυτήρια τοῦ φόνου; Ἀποκρ. οὐκ ἔστι. ἀντὶ τοῦ οὐδαμῶς. *Bar.* 453. Ἁλιπαρῆ τρίχα] Τρίχες κεφαλὴ λέγεται, οὐχὶ κεφαλὴ τριχῶν. οὐ γὰρ ὥσπερ ἡμέρα ἡλίου λέγεται, καὶ τὸ ἀνάπαλιν ἥλιος ἡμέρας λέγεται, ἐπεὶ διὰ τὴν ἡμέραν ὁ ἥλιος ἐγένετο, καὶ οὗ ἕνεκα ἐστὶν ἡμέρα. ποιεῖ οὖν ὁ ἥλιος τὴν ἡμέραν γεγονὼς, διὰ τοῦτο καὶ λέγεται ἥλιος ἡμέρας. ἡ δὲ κεφαλὴ ποιεῖ μὲν τρίχας. οὐ μὲν δ' αὐτὸ τοῦτο ἐστὶν ἡ κεφαλὴ, ἤγουν διὰ τὸ ποιεῖν τρίχας. οὐδ' ὁ προηγούμενος σκοπὸς

τῆς

Καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
Αἰτοῦ δὲ προσπιτνοῦσα, γῆθεν εὐμενῆ
Ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
Καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
Ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ,
Ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
Χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
Οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον,
Πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
Ὅμως δ', ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε
Κἀμοί τ' ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
Πάντων ἐν ᾅδου κειμένῳ κοινῷ πατρί.
Χο. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ

Εἰ

τῆς κεφαλῆς ἐστιν αὐτός. διὸ καὶ λέγεται ἡ κεφαλὴ τῶν τριχῶν· καὶ ἐπὶ μὲν τῶν κτώντων οὕτως. ἐπὶ δὲ τῶν γινομένων διὰ σκοπόν· ἔοικεν οὖν, ὡς πάντα τὰ γινόμενα οἷς γίνεται τούτων λέγεσθαι. οἷον ἡ θύρα τῷ πρίονι γίνεται ἢ τῷ σκεπάρνῳ. οὐ μὲν ἡ θύρα τοῦ σκεπάρνου λέγεται, ἢ τοῦ πρίονος. οὐ γὰρ αὐτὸ δι' ἑαυτοῦ τὸ σκέπαρνον ποιεῖ τὴν θύραν, ἵν' ᾖ ἡ θύρα τοῦ σκεπάρνου· ἀλλ' ὁ ἐργαζόμενος, ἄλλος ἐστιν, ἐργαλείῳ χρώμενος τῷ σκεπάρνῳ. ἤγουν, ὁ τέκτων, οὗ λέγεται ἡ θύρα. λέγεται δὲ καὶ τοῦ οἴκου. ὅτι ἕνεκα τοῦ οἴκου γίνεται. καὶ τοῦ κυρίου τοῦ οἴκου, ὡς αὐτο-ξοντος. καθόλου δὲ τὰ λεγόμενα τινὸς, ἢ ὡς πρός τι λέγεται, ὡς πατὴρ υἱοῦ. ἢ ὡς μέρη, ὡς ἡ χεὶρ τοῦ ἀνθρώπου. ἢ ὡς δοῦλα. ὡς ὁ λαὸς τοῦ θεοῦ. ἢ ὡς δεσπόζοντα, ὡς ὁ θεὸς τῶν ἀνθρώπων. καὶ ὁ βασιλεὺς τοῦ λαοῦ. ἢ ὡς κτήματα. ὡς τὸ ἔνδυμα τοῦ δεῖνος· ἢ ὡς γινόμενα ὑπό τινος. ὡς ἡμέρα ἡλίου. ἢ ὡς γινόμενα διά τι, καὶ ποιοῦντα ἐκεῖνο δι' ὃ ἐγένοντο. ὡς ἥλιος ἡμέρας. ἢ ὡς περιέχοντα. οἷον τόσδε τὸ πλῆθος, τοσούτων ἀνθρώπων ἐστίν. ἤγουν, τοσούτους ἀνθρώπους περιέχει. ἢ ὡς περιεχόμενα. οἷον τοσοῦτοι ἄνθρωποι τούτου τοῦ πλήθους. ἤγουν, τοσοῦτοι περιέχονται ὑπὸ τούτου τοῦ πλήθους. ἢ ὡς ἐπέχοντα. οἷον ὁ δρόμος οὗτος πέντε σταδίων ἐστί. ἤγουν, τοσούτους σταδίους ἐπέχει. ἢ ὡς ἐπικρατούμενα. οἷον, τοσοῦτοι στάδιοι τούτου τοῦ δρόμου. ἤγουν, τοσοῦτοι στάδιοι ἐπικρατοῦνται ὑπὸ τούτου τοῦ δρόμου. καθὸ λέγεται καὶ ὁ δεῖνα τοσούτων ἐτῶν. ἤγουν τοσαῦτα ἔτη ἡ ζωὴ αὐτοῦ ἐπέχει. καὶ τὰ ἔτη τοῦ δεῖνος. ἤγουν, ἃ ἐπέχονται ὑπὸ τῆς ζωῆς αὐτοῦ. L. B.

454. Καὶ

Meamque zonam, utcunque nullis politam ornamentis.
Pete autem accedens ad genua, è terra propitius
Nobis ut auxiliator ipſe in hoſtes adſit,
Et filius Oreſtes potentiori manu *fretus*
Illius hoſtes vivus inſultet pede.
Ut in poſterum ipſius tumulum ditioribus
Ornemus manibus, quam in præſentia donamus.
Puto enim, puto hanc rem & ipſi curæ eſſe,
Adeoque miſiſſe hæc illi viſu odioſa ſomnia.
Quapropter, ſoror, tibi hac in re ſervi,
Meque adjuva, chariſſimumque mortalium
Omnium, qui apud inferos nunc eſt, communem nobis patrem.
Cho. Pie virgo loquitur: & tu

Si

454. Καὶ ζῶμα τοὐμὸν] σύμφωνον τοῦτο τῷ, ὧδε μὲν ἀσκεῖ σὺν στολᾷ. ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα. ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας. 457. Ἐξ ὑπερτέρας] ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος. 465. Κοινῷ πατρὶ] τῷ σῷ καὶ ἐμῷ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 466. Πρὸς εὐσέβ.] ἔστιν ὅτε τὴν πρὸς μετ' ὀνόματος κειμένην καὶ αἰτιατικῇ συντασσομένην, ἀντὶ ἐπιῤῥήματος λαμβάνουσιν, ὡς τὸ, μηδὲν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς ἀξίαν· καὶ ἐνταῦθα πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς.

SCHOL. INED. 458. Ἐπεμβῆναι] Ἤγουν, λὰξ ἐπεμπηδῆσαι, καὶ ἐπιτεθῆναι. L. B. 459. Τολοιπὸν] Ἤγουν κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, τουτέστι, τὸ ἔμπροσθεν. L. B. 461. Οἶμαι μὲν] Ἤγουν, ὑπολαμβάνω ὅτι διὰ φροντίδος ἐστὶ κἀκείνῳ τῷ πατρὶ ἡμῶν Ἀγαμέμνονι, πέμψαι ταῦτα τὰ δυσθέατα ὀνείρατα τῇ μητρὶ ἡμῶν Κλυταιμνήστρᾳ. Ἤγουν, οἶμαι μὲν οὖν, οἶμαι ὅτι ἦν ἐκείνῳ τῷ πατρὶ ἡμῶν τι μέλον, ἤγουν, τὶς ποτε φροντὶς, πέμψαι τάδε τὰ δυσπρόσοπτα ὀνείρατα αὐτῇ τῇ μητρὶ ἡμῶν, Κλυταιμνήστρᾳ δηλονότι. *Bar.*

468. Τὸ

Εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
Χρ. Δράσω· " τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
" Δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
Πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
Σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω φίλαι.
Ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
Δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

Χο. Εἰ μὴ ἐγὼ παράφρων
Μάντις ἔφυν, καὶ γνώμας
Λειπομένα σοφᾶς,
Εἶσιν ἁ πρόμαντις

Δίκα,

468. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν. δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ, οὐκ ἔχει λόγον, ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. Ἄλλως. οὐ δισταγμοῦ (φησὶ) καὶ ἀμφιβολίας προσδεῖται τοῖς δυο, πότερον δεῖ τοῦτων ποιεῖν ἢ προαιρεῖσθαι. 469. Ἀλλ' ἐπισπεύδειν] ἀλλὰ παρέχει σπουδὴν ἐπὶ τὸ δρᾶν. σπεύδω ἐπὶ τόδε, ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω. 471. Σιγὴ παρ' ὑμῶν] εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν. 472. Ὡς εἰ τάδ' ἡ τεκοῦσα] ὅτι εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα, ἀλγεινὴν νομίζω εἰς τὸ ἑξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν, ἤγουν εἰς ἄλγος ἐμὸν τολμήσειν τήνδε τὴν ἐπιχείρησιν, εἰ ἀκούσεται ταῦτα ἡ τεκοῦσα. ὀφείλει δὲ μᾶλλον οὕτω λέγεσθαι, πικρὰν δοκῶ ἐγὼ τολμήσειν τήνδε τὴν πεῖραν. ὅμοιον δὲ, ὡς κἀμὲ ἐπαυχῶ. 474. Εἰ μὴ ἐγὼ παράφρων] ἀντὶ τοῦ· ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος, θαῤῥεῖν παραινεῖ τὴν Ἠλέκτραν. 477. Εἶσιν ἁ πρόμαντις] ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς σπουδαίοις προγιγνωσκομένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 474. Εἰ μὴ ἐγὼ παρ.] κατανοήσας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου, ὡς ταχέως οἱ φονεῖς ὑπὸ τῆς δίκης τιμωρηθήσονται, προμαντευόμενος δῆθεν φησὶ πρὸς τὴν Ἠλέκτραν, ὦ τέκνον, ὕπεστί μοι θράσος, ἤγουν θαῤῥῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων καὶ

λειπομένη

Si sapies, O chara *mihi*, facies hæc quæ jubet.

Chr. Faciam: " res enim justa non habet rationem competitoris,

" Ut *de ea* inter duos disceptetur, sed maturare factum *opus est*.

Aggredienti autem hæc opera mihi

Silentium, per vos, per Deos, præstetur, amicæ.

Nam si hæc mater mea resciverit, acerbum mihi

Credo me hoc ausum ausuram in posterum.

EPODICA. STROPHE.

Cho. Nisi ego insipiens
Vates sum, & mente
Destituta prudenti,
Venit prænuncia *sui*
Ultio,

λειπομένη καὶ ἐστερημένη γνώμης σοφῆς, ἤγουν διανοίας φρονίμου· ἤγουν εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐστέρημαι γνώσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ δίκη ἡ πρόμαντις, καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη, καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια· ἤγουν κατὰ τῶν φονέων τοῦ σοῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τοῦτ' ἔστι, δικαίως αὐτοὺς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ μετελεύσεται, καὶ τιμωρήσεται τινὰ κλύουσαν, καὶ ἀκούσασαν ἀρτίως καὶ πρὸ ὀλίγου ὀνειράτων ἡδυπνόων καὶ εὐφραντῶν ἡμῖν, οὐκ ἐπὶ μακροῦ χρόνου, ἀλλὰ ταχέως. ἤγουν, ταχέως τιμωρήσεται Κλυταιμνήστραν, ἥτις εἶδε τὰ ὀνείρατα. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ παρ' Ἀριστοφάνει, Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθιδρυμένον. καὶ τῷ, Ἥκει τῷ κακὸν, δώσει τὶς δίκην.

SCHOL. INED. 470. Πειρωμένῃ] Ἤγουν, ἁπτομένῃ καὶ ἀρχομένῃ τοῦ δὲ τοῦ ἔργου ἃ εἶπεν ἡ Ἠλέκτρα ἐμοὶ, ἔστω πρὸς θεῶν σιγὴ παρ' ὑμῶν, ὦ φίλαι. ἰστέον ὅτι οὖσα εὐλαβὴς ἡ Χρυσόθεμις, ἀξιοῖ τὸν χορὸν κρύπτειν τὰ γινόμενα ἔργα. διὸ καί φησι, ὦ φίλαι, πρὸς θεῶν ἔστω σιγὴ παρ' ὑμῶν, ἐμοὶ τῇ πειρωμένῃ τῶνδε τῶν ἔργων. τουτέστιν, ἔστω κρύψις παρ' ὑμῶν, ἐμοὶ τῇ ἐπιχειρούσῃ τῶνδε τῶν ἔργων. ἤγουν, ζητῶ γενέσθαι σιγὴν παρ' ὑμῶν, ἕνεκα ἐμοῦ τῆς ἐπιχειρούσης τῶνδε τῶν ἔργων. ἤγουν, σιωπήσατε ταῦτα τὰ ἔργα, ἃ ἐπιχειρῶ ποιεῖν, ὅτι εἰ ἡ τεκοῦσα πεύσεται καὶ μαθήσεται ταῦτα, δοκῶ

Δίκα, δίκαια φερομένα
Χεροῖν κράτη· μέτεισιν, ὦ
Τέκνον, οὐ μακροῦ χρόνου.
Ὕπεστί μοι θράσος,
Ἁδυπνόων κλύουσαν
Ἀρτίως ὀνειράτων·
Οὐ γάρ ποτ᾽ ἀμναστεῖ γ᾽ ὁ φύσας
Ἑλλάνων ἄναξ,
Οὐδ᾽ ἁ παλαιὰ χαλκόπληκτος
Ἀμφήκης γένυς,
Ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἥξει δὲ καὶ πολύπους

Καὶ

πως εἰς τὸ ἑξῆς μέλλω μέμψασθαι ἐμὲ, ἤγουν, ἐμαυτὴν, ὅτι ἐτόλμησα ἐργάσασθαι τήνδε τὴν πεῖραν πικράν. *Bar.* 474. Παράφρων] Οὐκ ὀρθὰ στοχαζόμενος εἰς τὸν σκοπὸν τούτων τῶν ὀνείρων δηλονότι. L. B.

478. Δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν. ἤγουν ἰσχὺν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν. 479. Μέτεισιν] μέτεισι, φησὶ, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς. Ἄλλως. μέτεισι, κολάσει, οὐ διὰ μακροῦ χρόνου. 484. Οὐ γάρ ποτ᾽ ἀμναστεῖ] οὐ γὰρ ἀμνημονεῖ (φησὶ) τῶν τολμηθέντων καθ᾽ ἑαυτοῦ ὁ βασιλεὺς, ἀλλ᾽ ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν. 486. Χαλκόπληκτος] ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ᾽ ἀμνημονεῖ (φησὶν) ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτὸν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων. χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκοῦ πληγείς· ἐνταῦθα δὲ χαλκόπληκτος γένυς, ἡ ὑπὸ χαλκοῦ ἡλασμένη. παλαιὰ δὲ ἀναφέρεται πρὸς τὴν πρᾶξιν, ἥτις πάλαι ἐγένετο. 489. Αἰκίαις] ὕβρεσιν. αἰκία, ὕβρις, ἀπὸ τοῦ μὴ ἐοικέναι· ἀφ᾽ οὗ καὶ τὸ ἀεικής. Γένυς δὲ, εἶδος πελέκεως. 490. Ἥξει δὲ καὶ πολύπους] ἡ Ἐριννὺς ἡ

Ultio, justas ferens
Manibus vires: adest ultura,
O filia, jam brevi spatio.
Ea subest mihi fiducia
Blande aspirantia audienti
Modo somnia:
Non enim unquam immemor est genitor saltem tuus,
Græcorum rex,
Neque vetus illa ferro cusa
Anceps bipennis,
Quæ ipsum occidit
Fœdissimis affectum injuriis.

ANTISTROPHE.

Venit quoque multis cum pedibus,
Et

ἐκείνῳ τῷ φόνῳ ἀπολαύσασα. ὅτως ἐν τῷ ὑπομνήματι. πολύπες, ἐν ὑπερβολῇ τοῦτο τέθεικεν· ἐν δὲ τῷ ὑπομνήματι κεῖται πολύπαις. ἐπεὶ γὰρ (φησὶν) ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ τέθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 481. Ὕπεστί μοι] οἱ γράφοντες, Ὕπεστί μοι θάρσος, ἀμαθεῖς τῶν μέτρων. διὰ τοῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. εἰ δ' ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς. πολλὰ γὰρ τοιαῦτα καινοτομοῦσιν οἱ ποιηταί, μετατιθέντες τὰ σύμφωνα, καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

SCHOL. INED. 486. Ἁ παλαιὰ γένυς] Ἀντὶ τοῦ, ὁ παλαιὸς πέλεκυς. ἀπὸ τοῦ στόματος λέγει ὅλον τὸν πέλεκυν· παλαιὸν δὲ λέγει, ἀναφέρων πρὸς τὴν πρᾶξιν, ἥ τις πάλαι ἐγένετο. L. B. 490. Ἥξει δὲ] Ἤγουν, ἡ πολλὰ διερχομένη, καὶ ἡ πολύχειρ· ἤγουν, ἡ πολλὰ ἐργαζομένη. ἡ Ἐριννὺς λέγω ἡ χαλκόπους. ἤγουν, ἡ εὔτονος κατὰ τὴν πορείαν, ἡ κρυπτομένη ἐν δεινοῖς λόχοις, ἀντὶ τοῦ ἐν δεινῷ λόχῳ, τουτέστιν, ἐν φοβερᾷ ἐνέδρᾳ. L. B.

493. Χαλκόπους]

Καὶ πολύχειρ, ἁ δεινοῖς
Κρυπτομένα λόχοις,
Χαλκόπους Ἐριννύς.
Ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
Μιαιφόνων γάμων ἁμιλ-
λήματ' οἷσιν οὐ θέμις·
Πρὸ τῶνδέ τοι μ' ἔχει,
Μήποτε, μήποθ' ἡμῖν
Ἀψεγὲς πελᾶν τέρας
Τοῖς δρῶσι καὶ συνδρῶσιν.
Ἤτοι μαντεῖαι βροτῶν
Οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
Οὐδ' ἐν θεσφάτοις,

Εἰ

493. Χαλκόπους] ἡ στερρὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων. 494. Ἄλεκτρ', ἄνυμφα] δύσλεκτρα καὶ κακόνυμφα. ἀντὶ τοῦ μὴ νενομισμένα, ἀλλὰ παράνομα, διὰ τὴν μοιχείαν. 495. Μιαιφόνων γάμων] ἤτοι ἐπὶ τῆς Ἐριννύος ἐστὶν ὁ λόγος. ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα. ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις· οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν ἡ Ἐριννύς. διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ, Οἷσιν οὐ θέμις, ἐπὶ τῶν γάμων φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπε. 497. Πρὸ τῶνδέ τοι μ' ἔχει] τό τοι, σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ ἐλπὶς, ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων (Αἴγισθον φησὶ καὶ Κλυταιμνήστραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαῤῥῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος. παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως. ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν, ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς· τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου. 499. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει. 500. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δράσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδράσαις καὶ συναχθομέναις. 501. Ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις

ρεις

Et multis cum manibus *illa*, quæ horrendis
Nunc latet insidiis,
Æripes Erynnis.
Nam thalamum & sponsalia incestantes
Sanguine fœdatarum nuptiarum invaserunt
Eos, quos non erat fas invadere.
Propter hæc adeo mihi sedet,
Nullo, nullo modo nobis
Innoxium advenire hoc prodigium
Auctoribus scelerisque sociis.
Certe divinatio mortalium
Nulla est in diris per somnum visis,
Nec in Oraculis,

Nisi

ροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ τοῦ εὖ ἕξει. 502. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί. 503. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 491. Ἁ δεινοῖς] ἤγουν δεινῶς ἐνεδρεύουσα τοῖς κακοῖς, καὶ μὴ φαινομένη, ἀλλ᾽ ἐξ ἀφανοῦς αὐτοὺς βάλλουσα. 495. Μιαιφόνων] ὁ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας γάμος βαρὺς κατέστη τῷ Ἀγαμέμνονι, δι᾽ αὐτὸν γὰρ πεφόνευται. δέον δὲ εἰπεῖν, ἐπέβησαν γὰρ τῷ Ἀγαμέμνονι μιαιφόνοι, κακώλεθροι, καὶ ἄνυμφοι γάμοι, ὁ δὲ ἄλεκτρα καὶ ἄνυμφα ἁμιλλήματα μιαιφόνων γάμων εἶπε. προσέθηκε δὲ τὸ ἁμιλλήματα, ἐπειδὴ ἀγώνισμα περισπούδαστον ἐποιήσαντο, διὰ τὸν αὐτῶν ἄθεσμον γάμον Ἀγαμέμνονα κτεῖναι, ἵνα μὴ γνωσθέντες ὑπ᾽ αὐτοῦ φονευθεῖεν. 501. Ἤτοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥσπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾷν.

SCHOL. INED. 496. Οἷσιν οὐ θέμις] Τουτέστι, οἷς καὶ ὁποίοις γάμοις, οὐ δίκαιον, οὐδὲ πρεπὸν, οὐδὲ ἔννομον ἦν ἐπελθεῖν. ὑπὲρ τούτων δὲ δὴ, ἤγουν τῶν προειρημένων, ἔχει ἐμὲ ἐλπὶς, μή ποτε ἐπέλθοι πλησιάσαι ἡμῖν τοῖς δρῶσι καὶ συνδρῶσιν, ἤγουν σοὶ τῇ ἀχθομένῃ καὶ ἡμῖν τοῖς συναχθομένοις, τέρας καὶ σημεῖον ἀψεγὲς, ἤγουν ἀρεστόν. λέγει δὲ τοὺς ὀνείρους. αἱ μαντεῖαι δὲ τῶν ἀνθρώπων, οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἤγουν ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις ἤγουν χρησμοῖς καὶ θείοις λογίοις ἀληθεύουσι δηλονότι, εἰ μὴ τὸ φάντασμα τοῦτο δὲ τῆς νυκτὸς, εὖ κατασχήσει, ἀντὶ τοῦ καλῶς ἕξει καὶ ἀποβήσεται. *Bar.*

505. Εὖ

Εἰ μὴ τόδε φάσμα νυ-
κτὸς εὖ κατασχήσει.

ΕΠΩΔΟΣ.

Ὦ Πέλοπος ἁ πρόσθεν
Πολύπονος ἱππεία,
Ὡς ἔμολες αἰανὴ
Τᾷδε γᾷ·
Εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη
Παγχρύσων δίφρων
Δυστάνοισιν αἰκίαις
Πρόρριζος ἐκριφθεὶς,
Οὔτις πω
Ἔλειπεν ἐκ τοῦδ' οἴκου
Πολύπονος αἰκία.

ΚΛΥΤΑΙ-

505. Εὖ κατασχήσει] οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ. 506. Ὦ Πέλοπος] οἷον ἦν καὶ τὸ πρῶτον, πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε. φησὶ δὲ Φερεκύδης ὅτι Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν Ἱπποδάμειαν, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου. καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔρριψεν εἰς θάλασσαν. 507. Πολύπονος ἱππεία] πολύπονος γενομένη πᾶσιν Ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ, λέγων ὡς ἔμολες αἰανὴ τᾷδε γᾷ. αἰανὴ δὲ, θρηνητική. ἐξ οὗ γίνεται αἶ, αἶ. ἱππασία παρὰ τοῖς κοινοῖς· ἱππεία δὲ καὶ ἱπποσύνη παρὰ τοῖς ποιηταῖς. 510. Εὖτε γὰρ ὁ ποντισθεὶς]

Nisi spectrum hoc nocturnum
Bene nobis evenerit.

EPODOS.

O Pelopis olim
Aurigatio plena laborum,
Quam venisti luctuosa
Huic quidem terræ?
Ex quo enim in mare pessum datus
Myrtilus interiit,
Aureis è curribus
Miseras per injurias
Radicitus ejectus;
Nulla unquam
Reliquit exinde domum hanc
Ærumnarum plena calamitas.

CLYTE-

ποντιωθεὶς] ὁ νοῦς τοιοῦτός ἐστιν, ἀφ' οὗ ὁ Μυρτίλος ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκλημονας δόμους. ἀντὶ Ἑρμῆς πατὴρ Μυρτίλου ἐμήνισε τοῖς Πελοπίδαις. 513. Αἰκίαις] αἰκισμοῖς, ὕβρεσι. 514. Πρόῤῥιζος] ἀντὶ τοῦ πανταίκασιν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 507. Πολύπονος ἱππεία] πολύπονος χρὴ γράφειν ἐνταῦθα καὶ τῷ ιβ' κώλῳ, ἵν' ᾖ παιονικὰ τὰ κῶλα, ὡς καὶ τὰ λοιπά. 516. Ἐκ τοῦδ' οἴκου] ἐπεὶ καὶ οἴκους καὶ οἴκου εὕρηται, πρὸς μὲν τὸ οἴκους οὕτω λέγε, ἐκ τοῦδε τοῦ καιροῦ οὔτις πω καὶ οὐδεμία αἰκία πολύπονος ἔλειπε τοὺς οἴκους· πρὸς δὲ τὸ οἴκου, οὕτως, οὔτις καὶ οὐδεμία αἰκία πολύπονος ἔλειπεν ἐκ τοῦδε τοῦ οἴκου.

SCHOL. INED. 508. Αἰανὴ] Ἀπὸ τοῦ αἰανὸν τὸ ποικίλον καὶ δόλιον. λέγεται δὲ οὕτω καὶ τὸ σκοτεινόν· αἰανὴ γοῦν, πικρὰ καὶ ἐπώδυνος καὶ σκοτεινὴ καὶ θλιβερὰ ἐπῆλθες ἐν ταύτῃ τῇ ἡμετέρᾳ γῇ. Bar.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΗΛΕΚΤΡΑ, ΠΑΙΔΑΓΩΓΟΣ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Κλ. Ἀνειμένη μὲν (ὡς ἔοικας) αὖ στρέφῃ.
Οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
Μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους.
Νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
Ἐμοῦ γε. καί τοι πολλὰ πρὸς πολλούς με δὴ
Ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
Ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
Ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
Λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
Πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ' ἀεί,
Ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς

Ἔξοιδα,

518. Ἀνειμένη] ἄνεσιν ἔχουσα. πανταχόθεν δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής. Στρέφῃ] ἀναστρέφῃ. γράφεται τρέφῃ, ἀντὶ τοῦ διάγεις. 520. Αἰσχύνειν] ἀντὶ τοῦ καθ' ὑμῶν λέγειν. Ἄλλως. ὃς ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους. ἁρμόζει δὲ καὶ χωρὶς τοῦ μὴ λέγεσθαι, οἷον ἐπεῖχέ σε αἰσχύνειν τοὺς φίλους. ἔνθα τὸ ἐπεῖχε, τὸ ἐκώλυε μόνον δηλοῖ. ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, ἀντὶ τοῦ κωλύων ἐποίει, λαμβάνεται. 528. Τέθνηκεν] ἐδύνατο δὲ λέγεσθαι καὶ μετὰ μετοχῆς, τεθνηκὼς πατήρ. Ἐξ ἐμοῦ] καλῶς. ἴδιον ῥητορικῆς, τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαια δὲ πραξάσης συνηγορεῖ ὁ ποιητής, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

¶ Σχήμ. Τρικλ. 518. Ἀνειμένη] ἄφιξις Κλυταιμνήστρας ἐπιπληττούσης Ἠλέκτρᾳ. 528. Ὡς ἐξ ἐμοῦ] ἀπολογία καὶ κατασκευὴ ὡς καλῶς τὸν φόνον εἰργάσατο.

CLYTEMNESTRA, ELECTRA, PÆDAGOGUS, CHORUS.

Iambi.

Cl. SOLUTA (ut videtur tibi) nunc iterum vagaris:
Non enim adest Ægisthus, qui te cohibuit semper,
Ne utique foras prodiens tuos dedecores amicos.
Nunc quoque quoniam ille abest, nihil revereris
Me *matrem*. Et multa sane multis de me
Libera locuta es, quam ferociter & præter æquum
Imperem, contumelia afficiens & te, & tua.
Ego vero contumelioso non sum animo: male autem tibi
Dico, male audiens abs te sæpius.
Pater quod scilicet (alius enim nullus est tibi prætextus)
A me occisus est; *fateor* à me honeste:

Sat

SCHOL. INED. 520. Θυραίαν] Ἀντὶ τοῦ ἁπλῶς. ὄνομα ἀντὶ ἐπιρρήματος. L. B. Αἰσχύνειν] Ἤγουν, ἐξουθενεῖν. ἀτιμάζειν φίλους αὐτῆς δηλονότι. L. B. Αἰσχύνομαι ἐγὼ ἀμεταβάτως· ἤγουν, τὸ κοινῶς ἐντρέπομαι. αἰσχύνω δὲ ἕτερον μεταβατικῶς, τὸ αἰσχύνεσθαι ποιῶ, ὡς ἐνταῦθα. ὅθεν καὶ τὸ αἰσχύνειν ἐνταῦθα, ἀντὶ τοῦ ἐντροπιάζειν λαμβάνεται. *Bar.* 522. Πρὸς] Πρὸς τὸ, ὡς θρασεῖα ἀποδίδοται τὸ καταπολύ. L. B. 527. Πρόσχημα] Ἤγουν, πρόφασις, λέγεται καὶ ὁ καλλωπισμός. πρόσχημα γάρ σοι ἀεὶ ὁ πατὴρ, ὅτι ἐξ ἐμοῦ τέθνηκεν, οὐδὲν ἄλλο. ἀντὶ τοῦ, πρόσχημά σοι τὸ τεθνηκέναι τὸν πατέρα ἐξ ἐμοῦ. τοῦτο καὶ μετὰ μετοχῆς δύναται λέγεσθαι. οἷον πρόσχημά σοι ὁ πατὴρ ἐξ ἐμοῦ τεθνηκώς.

541. Πότερον

Ἔξοιδα, τῶνδ᾽ ἄρνησις οὐκ ἔνεστί μοι.
Ἡ γὰρ δίκη νιν εἷλε, κοὐκ ἐγὼ μόνη,
Ἧι χρῆν σ᾽ ἀρήγειν, εἰ φρενοῦσ᾽ ἐτύγχανες.
Ἐπεὶ πατὴρ οὗτος σός, ὃν θρηνεῖς ἀεί,
Τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
Θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
Λύπης ὅτ᾽ ἔσπειρ᾽, ὥσπερ ἡ τίκτουσ᾽ ἐγώ.
Εἶεν. δίδαξον δή με τοῦ χάριν τίνων
Ἔθυσεν αὐτήν; πότερον Ἀργείων ἐρεῖς;
Ἀλλ᾽ οὐ μετῆν αὐτοῖσι τήν γ᾽ ἐμὴν κτανεῖν,
Ἀλλ᾽ ἀντ᾽ ἀδελφοῦ δῆτα Μενέλεω; κτανὼν
Τἀμ᾽, οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
Πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ;
Οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
Καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ᾽ ἦν χάριν;
Ἢ τῶν ἐμῶν ᾅδης τιν᾽ ἵμερον τέκνων

Ἢ

541. Πότερον ἐκείνῳ παῖδες] λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι. ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ, λέγοντι, Ἡ τέκεθ᾽ Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ. Ὁπλότατον δ᾽ ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος. οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν. ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἐχρῆν. ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς Κλυταιμνήστρας. Παῖδες διπλοῖ] Ἑρμιόνη καὶ Νικόστρατος. 544. Ἢ τῶν ἐμῶν ᾅδης] τὸ ἑξῆς, ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα ᾅδης ἔχει ἢ τῶν ἐκείνης;

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 535. Ὥσπερ ἡ τίκτουσ᾽] ἔκαμον δηλονότι. αἱ γὰρ ἐν τῷ τίκτειν ὠδῖνες πᾶσαν ὀδύνης ὑπερβολὴν ὑπεραίρουσι.

544. Τῷ

Sat novi, nec ineſt mihi hæc negare.
Juſtitia enim ſuſtulit illum, non ego ſola,
Cui oportuit te opem ferre, ſi ſaperes.
Quoniam pater iſte tuus, quem lugere non deſinis,
Tuam germanam ſororem ſolus Græcorum ſuſtinuit
Immolare Diis, non parem mihi paſſus
Dolorem cum genuit, ac ego, quæ peperi.
Eſto *parem paſſus eſſet*: tamen doce me *hoc unum*, quorum gratia
Mactavit illam? num dices Græcorum?
At nullum illis erat jus meam occidendi.
Sed propter fratrem, credo, Menelaum? occiſis
Meis, nonne debuit ob hæc mihi pœnas dare?
Non ipſi *Menelao* liberi erant gemini?
Eos, quam hanc meam, mage par erat mori, patre
Et matre genitos, cujus hæc navigatio ſuſcepta fuit de cauſa?
An meos Plutonem quædam libido liberos
Magis

544. Τίν' ἵμερον] τοῦτ' οὐκ ἔστι τίνα ἵμερον, εἰ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον· διὰ δὲ τὸ κοῦφισμα μετετέθη ὁ τόνος. ¶ Σχήμ. Τρικλ. 536. Εἶεν] ἔνστασις. 538. Ἀλλ' οὐ μετῆν] ἀντιπαράστασις. 541. Πότερον] ἐργασία. 544. Ἢ τῶν ἐμῶν] ἐνθύμημα.

SCHOL. INED. 534. Οὐκ ἴσον λύπης ἐμοί] Ἀντὶ τοῦ, οὐκ ἴσην ἐμοὶ λύπην καμών, ἀντὶ τοῦ ὑπομείνας ὅτε ἔσπειρεν, ὥσπερ ἐγὼ ἡ τίκτουσα. ἤγουν, ὥσπερ ἐγώ, ὅτε ἔτικτον, ὑπέμεινα δηλονότι. L. B. 536. Τοῦ χάριν τίνων ἔθυσεν] Ἤγουν, τίνος χάριν ἀποδιδοὺς ἐθυσίασεν. τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς. ἐστὶ γὰρ μετοχή, καὶ οὐ γενικὴ πληθυντική. Bar. 543. Ὃ δ'] Τὸ οὗτος, ἐπὶ τῶν ὁρωμένων λέγεται καὶ δακτυλοδεικτουμένων. ἢ ἐπὶ τῶν εἰς ὄψιν ἀγομένων ἀπὸ διηγήσεως. ἐνταῦθα οὖν οὐκ ἐπὶ διηγήσει τοῦ πλοῦ ἐπάγει τό, οὗτος, ἵνα καλῶς ἀποτείνῃ ἡ δεῖξις πρὸς ἃ διηγήσατο. ἀλλ' ἀναφορὰν θέλει δηλοῦν ὅλως μετὰ δείξεως, ἣν δηλοῖ τὸ ἐκεῖνος. ἔστιν οὖν τὸ ὅδε, ἀντὶ τοῦ, ἐκεῖνος. L. B. 544. Ἢ τῶν ἐμῶν ᾅδης] Ἆρα ὁ ᾅδης ἔχει τινὰ ἐπιθυμίαν τῶν ἐμῶν τέκνων εὐωχηθῆναι πλέον,

Ἢ τῶν ἐκείνης εἶχε δαίσασθαι πλέον;
Ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
Παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
Οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
Δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
Φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
Ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
Δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
Γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.
Ηλ. Ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
Λυπηρὸν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
Ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος θ' ὕπερ
Λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.
Κλ. Καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους
Ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
Ηλ. Καὶ δὴ λέγω σοι. πατέρα φὴς κτεῖναι; τίς ἂν

Τούτου

παρὰ τῶν τῆς ἐκείνης τῆς Ἑλένης παίδων δηλονότι; ἆρα ὁ πόθος τῶν ἐξ ἐμοῦ παίδων ἠμελεῖτο τῷ πανώλει πατρὶ Ἀγαμέμνονι, τῷ δὲ Μενελάῳ ἐνυπῆρχε πόθος τῶν αὐτοῦ παίδων; *Bar.*

547. Παρεῖτο] ἠμελεῖτο, παρῃρεῖτο. 552. Δύσθυμος] μεταμελος, κακόβουλος. 553. Γνώμην δικαίαν] οἷον λογισμῷ χρησαμένη δικαίῳ, τότε δηλονότι. Τοὺς πέλας ψέγε] ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. τινὲς τοὺς πέλας, τοὺς περὶ Ἀγαμέμνονα ἐγίνωσαν. 554. Ἐρεῖς μὲν οὐχὶ νῦν] οὐκ ἂν εἴποις ὡς λυπήσασά μοι, τοιαῦτα ἀντακήκοας ἐξ ἐμοῦ πρὸ πεπονθυίας οὐδὲν, σὺ προκατῆρξω τῆς εἰς ἐμὲ λοιδορίας. 558. Εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις] εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά. 560. Πατέρα φῂς κτεῖναι] ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴγε δικαίως. δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ. δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι.

ΣΧΟΛ.

Magis quam illius, cepit devorandi?
An perditissimo patri in liberos ex me susceptos
Amor elanguit, & Menelai inerat?
Non hæc inconsulti & mala mente patris officia?
Sic censeo quidem, etiamsi ad meam tua non accedat sententia:
Idem defuncta quoque diceret *filia*, si loqui posset.
Quare me sane facinoris illius
Non pœnitet: si vero tibi minus recte sapere videor,
Cum jure nitar probisque rationibus, age propinquos argue *tuos*.
El. Non quidem, nunc saltem, dices, quod tibi prior ingerens
Acerba, deinde abs te hæc audivi dicta.
Sed si mihi permiseris, & pro mortuo
Et pro sorore simul recte dixero.
Cl. Age, permitto; sique me sic semper verbis
Adorta esses; neutiquam me cum molestia audisses.
El. Ergo tibi dico: patrem ais te occidisse? atqui
Hoc

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 550. Φαίη δ' ἂν ἡ θανοῦσα] ἤγουν ἡ Ἰφιγένεια, οὐχ ἣν ὑπ' Ἀρτέμιδος ἁρπαγεῖσαν, ἀλλὰ θανοῦσαν ἡγεῖτο. ¶ Σχήμ. Τρικλ. 551. Ἐγὼ μὲν οὖν] συμπέρασμα. 554. Ἐρεῖς μὲν] προκατάστασις. 560. Καὶ δὴ λέγω] ἀνασκευή.

SCHOL. INED. 551. Ἐγὼ μὲν οὖν] Τουτέστιν, ἐγὼ μὲν ἐφ' οἷς ἐποίησα, οὐδὲν μεταμέλομαι, οὐδὲ φαίνομαί σοι κακῶς φρονεῖν. λαβοῦσα σὺ δικαίαν γνώμην, ἤγουν, εἰποῦσα σὺ δίκαια, ψέγε τοὺς πέλας, ἤγουν ἐμέ. L. B. 559. Λυπηρὰ] Ἤγουν, λύπην ἐμποιοῦσα εἰς τὸ κλύειν, ἤγουν ἀκούειν τινὰ σοῦ δηλονότι. ὅμοιον τῷ, Ἡδὺς ὁ ποταμὸς πιεῖν. ἤγουν εἰς τὸ πιεῖν, ἤγουν, εἰς τὸ πιεῖν τινα ἐξ αὐτοῦ. L. B.

561. Αἰχίων

Τούτου λόγος γένοιτ' ἂν αἴσχιον ἔτι,
Εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι
Ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασε
Πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τανῦν ξύνει.
Ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
Ποινῆς, τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι.
Ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
Πατήρ ποθ' οὑμὸς (ὡς ἐγὼ κλύω) θεᾶς
Παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
Στικτὴν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
Ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών.
Κἀκ τοῦδε μηνίουσα Λητῴα κόρη
Κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
Τοῦ θηρὸς ἐκθύσειε τὴν αὐτοῦ κόρην.
Ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
Ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
Ἀνθ' ὧν βιασθεὶς πολλά, κἀντιβὰς μόλις
Ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.

Εἰ

561. Αἴσχιον ἔτι] ἀντὶ τοῦ ἀκμὴν παρὰ τοῖς κοινοῖς. οἷον, ἔτι νέος ἐστί, καί, ἔτι ποιῶ τόδε. λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. λέγεται καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον οὐ μὴ ἔτι ποιήσω τόδε. ἔστι καὶ περιττόν, ὡς ἐνταῦθα. 563. Ὡς οὐ δίκῃ γ' ἔκτεινας] ἐναντίον τῷ, ἡ γὰρ δίκη νιν εἷλε, τὸ ὡς οὐ δίκῃ γ' ἔκτεινας. Ἀλλά σ' ἔσπασε πειθὼ] αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονευκέναι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν. Ἔσπασε] παρήγαγε, παρέσυρεν. 565. Τίνος ποινῆς] λείπει ἡ διά. 569. Ἐξεκίνησεν] ἐξεδίωξεν. 577. Κἀντιβὰς] ἀντιπαρατατόμενος, καὶ μὴ βουλόμενος. διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως. ἀντιβαίνειν δὲ καὶ

ἀντιτάττ

Hoc sermo potest esse turpior unquam?
Seu jure, sive injuria? dicam autem tibi,
Quod jure quidem nullo occidisti, sed te attraxit
Suadela viri mali, quicum nunc habitas.
I, roga venatricem Dianam, quem
Ultura ventos tam diu detinuit in Aulide.
Aut ego potius dicam: non enim fas tibi ex illa discere.
Pater meus olim (ut ego accepi) divæ
Ludens per nemus excitavit pedibus
Maculis distinctum cornibusque insignem cervum; cujus inter cædem
Jactabundus nescio quod emisit verbum.
Et inde irata Latoa virgo
Detinuit Achivos, donec pater mulctæ loco
Pro fera suam ipsius mactaret filiam.
Hoc illa mactata est modo: non enim alia patebat solvendi via
Exercitui, vel domum, vel ad Ilium.
Hac causa coactus, multum & repugnans, vix
Illam immolavit, non Menelao gratificans.

Quod

ἀντισπᾶν καὶ ἀντιτείνειν, ταυτόν· παρὰ δὲ τοῖς κοινοῖς, ἀντιπατεῖν.

¶ Σχόλ. Τρικλ. 568. Πατήρ ποθ'] διήγησις. 575. Ὧδ'] ὑπόθεσις.

SCHOL. INED. 568. Θεᾶς κατ' ἄλσος] Ἤγουν, σύνδενδρον τόπον ἀνατεθειμένον τῇ θεᾷ. L. B. 572. Λητῴα κόρη] Αἱ κλητικαὶ ἀντωνυμίαι δύναμιν ἔχουσι γενικῶν καὶ κλητικῶν γενικῶν, καὶ πατρικῶν γενικῶν. οἷον, ὁ ἐμὸς υἱός. καὶ ὁ ἐμὸς οἶκος. καὶ ἡ ἐμὴ πατρίς. τὰ δὲ κλητικὰ ὀνόματα γενικῶν κλητικῶν μόνον ἔχουσι δύναμιν, οἷον Πλατωνικὸν βιβλίον, οὐ μὴν καὶ Πλατωνικὸς υἱός. καὶ Ἑκτόρεος ζωστήρ. οὐ μὴν καὶ Ἑκτόρεος υἱός. ἀλλ' ἢ υἱὸς τοῦ Ἕκτορος, ἢ Ἑκτορίδης χωρὶς τοῦ υἱοῦ. οἱ ποιηταὶ δὲ καὶ Ἑκτόρεος υἱὸς λέγουσι. καὶ Λητῴα θυγάτηρ, ὡς ἐνταῦθα. ἔστι γὰρ Λητῴα κόρη, ἡ θυγάτηρ τῆς Λητοῦς, ἤγουν Ἄρτεμις. L. B.

Εἰ δ' οὖν (ἐρῶ γὰρ καὶ τὸ σόν) κεῖνον θέλων
Ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τούτου θανεῖν
Χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
Ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
Μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
Εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
Πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
Ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
Εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
Αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
Ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
Πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
Καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
Κἀξ εὐσεβῶν βλαστόντας, ἐκβαλοῦσ' ἔχεις.
Πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
Ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
Αἰσχρῶς δ', ἐάνπερ καὶ λέγῃς· οὐ γὰρ καλὸν
Ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.

Ἀλλ'

579. Εἰ δ' οὖν (ἐρῶ γὰρ καὶ τὸ σόν)] πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς. 583. Μετάγνοιαν] ἀντὶ τοῦ μετάνοιαν, τουτέστι μεταμέλειαν. ἄνοια, ἡ παντελὴς ἀφροσύνη· ἄγνοια δὲ, ἑνός τινος πράγματος. μετάνοια δὲ καὶ μετάγνοια ταὐτὸν, πλὴν ὅτι τὸ μὲν ἐστὶν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ μετάνοια· τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς. 585. Πρώτη θάνοις ἂν] ἀντὶ τοῦ Ἀγαμέμνονος. 586. Ἀλλ' εἰσόρα] ὅρα (φησὶ) μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν. 589. Παλαμναίῳ] φονεῖ. παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος. 592. Ἐκβαλοῦσ' ἔχεις] ἐξέβαλες, ἀπέρριψας, ἐδίωξας.

¶ Σχόμαι

Quod si igitur (ut tibi verbis assentiar) illi volens
Prodesse hæc fecit; ideone mori
Eum oportuit ex te? qua lege?
Vide, si feras legem istam mortalibus,
Ne damnum tibi ipsi, & pœnitentiam *post* feras.
Si enim alium pro alio trucidabimus, te quidem
Primam oportebit mori, siquidem merita nacta fueris prœmia.
At vide ne defensionem, quæ nulla est, afferas.
Nam si vis, doce me, cujus jam gratia
Omnium turpissima facinora patrare perstas;
Quæ dormias cum sicario, cujus ope
Patrem meum olim enecasti,
Et liberos procrees; & priores pios
Et ex piis natos, penitus extermines?
Quonam modo laudare possem talia? an & hoc dices,
Quod pro filia pœnas reposcas?
Turpe sane id, etiamsi dixeris; non enim est honestum
Inimicis nubere ob filiam.

Verum

¶ Σχήμ. Τρικλ. 579. Εἰ δ' οὖν] ἐνθύμημα. 587. Εἰ γὰρ θέλεις] ἔνστασις καὶ κατηγορία τῶν ἔργων ὧν ἀθέσμως πράττεις.

SCHOL. INED. 584. Ἄλλον ἀντ' ἄλλου] Ἤγουν, τὸν Ἀγαμέμνονα ἀντὶ τοῦ Μενελάου. *Bar.* 585. Εἰ δίκης] Τουτέστιν, εἰ ἀξία ὑπάρχεις δίκης καὶ τιμωρίας. *Bar.* 588. Τυγχάνεις] Τὸ τυγχάνω εὑρισκόμενον μετὰ μετοχῆς εἰς τὸ τῆς μετοχῆς ῥῆμα ἀναλύεται ὁ λόγος. οἷον δρῶσα τυγχάνεις, ἀντὶ τοῦ ἔδρασας. *Bar.* 591. Εὐσεβεῖς] ἀντὶ τοῦ ἐννόμους. τουτέστιν ἐξ ἐννόμου γάμου. L. B. 592. Εὐσεβῶν] Ἀντὶ τοῦ ἐννόμων, τουτέστιν ἐννόμῳ γάμῳ ἡρμοσμένων. L. B.

597. Ἀλλ'

Ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
Ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
Κακοστομοῦμεν· καί σ' ἔγωγε δεσπότιν
Ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
Ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
Πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
Ὁ δ' ἄλλος ἔξω χεῖρα σὴν μόλις φυγὼν
Τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον.
Ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
Ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
Ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι· τοῦδέ γ' οὕνεκα
Κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακήν,
Εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
Εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,

Σχεδὸν

597. Ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε] ἐπεὶ πάνυ αὐτὴν διήλεγξε ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη, φησὶν ὅτι οὐδὲ νουθετεῖν σε δεῖ. χαλεπαίνεις γὰρ ὡς λοιδορουμένη. τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν. 609. Εἴτε στόμαργον] εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς (ὡς φῄς) οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σοι φανήσομαι. ζηλῶ σε (φησὶν) ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτω κατὰ σοῦ Ὀρέστην ἐγώ.

¶ Σχήμ. Τρικλ. 597. Ἀλλ' οὐ γὰρ] ἀντιπαράστασις. 607. Ἔδρων] ὑπόθεσις.

SCHOL. INED. 598. Πᾶσαν ἵης γλῶσσαν] Ἀντὶ τοῦ, πάντα λόγον κινεῖς. ἀκρατῶς πάντα λέγεις. ἐπεὶ ὄργανα τοῦ λόγου εἰσὶν ἡ γλῶττα, τὰ χείλη, καὶ τὸ στόμα. οἰκείως ἐνίοτε ταῦτα, ἀντὶ τοῦ λόγου λαμβάνει, ὡς ἐνταῦθα κακοστομούμεθα, ἀντὶ τοῦ κακῶς λεγόμεθα. καὶ πᾶσαν γλῶσσαν, ἀντὶ τοῦ πάντα λόγον. 599. Δεσπότιν] Ἰστέον ὅτι τὰ εἰς ης λήγοντα ὀνόματα, εἰ μὲν διγενῆ ὄντα, ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ. καὶ τὸ οὐδέτερον ἔχει εἰς ες λῆγον. οἷον ὁ εὐτυχής, ἡ εὐτυχής, τὸ εὐτυχές. διγενῆ γὰρ λέ-

γονται,

Verum ne monere quidem licet te,
Quæ passim hoc in ore habes, quod tibi matri
Convitiamur: at te ego quidem dominam
Non minus quam matrem in nos esse judico,
Quæ vivo vitam ærumnosam, & à te malis
Quæ semper multis affligor, & à tuo contubernali.
Ille autem alter, qui tuam manum vix effugit,
Miser Orestes infelicem terit vitam.
Quem sæpe me tibi alere vindicem sceleris
Criminata es; & hoc sane, si valuissem,
Fecissem; id tu certo scias: atque adeo propter hoc
Prædica me apud omnes esse malam, si lubet,
Vel maledicam, vel *denique* plenam impudentiæ.
Si enim his vitiis sum obnoxia,
Propemodum

γεται, διότι ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ, ϗ ἔστι μία φωνὴ ὁμοία, τὰ δύο, ϗ τὸ οὐδέτερον πάλιν λήγει εἰς ις, ἑτέρα φωνή, ϗ διὰ τοῦτο λέγε(ται) διγενές. εἰ δὲ κλίνεται ἰσοσυλλάβως τὸ ἀρσενικὸν, ϗ οὐδέτερον οὐκ ἔχει, οὐχ ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ. ἀλλὰ τὸ μὲν ἀρσενικὸν εἰς ις λήγεται διὰ τοῦ η, οἷον ὁ δεσπότης. τὸ δὲ θηλυκὸν εἰς ις, διὰ τοῦ ι, οἷον ἡ δέσποτις. ϗ τὸ μὲν ἀρσενικὸν κλίνεται ὡς ὁ Χρύσης. τὸ δὲ θηλυκὸν ὡς ὁ Πάρις. *Bar.* 603. Ἔξω φυγὼν] Ἀντὶ τοῦ ἐκφυγών. B. L. Χεῖρα σὴν] Ἀντὶ τοῦ, τὴν σὴν κατάσχεσιν, κάκωσιν. L. B. 604. Δυστυχῆ τρίβει βίον] Ἤγουν, μετὰ κατατρίψεως ϗ κακώσεως ἀνύει. L. B. 605. Ὅν πολλὰ μιάστορα] Ἤγουν, ϗ πολλὰ ἐπητιάσω ἐμέ. λέγουσα, ὅτι δυνατόν ἐστι τρέφειν σοι ὂν, ἤγουν αὐτὸν τὸν Ὀρέστην μιάστορα, τιμωρὸν φονέα, ϗ κατὰ τὴν ἀλήθειαν δηλονότι, εἴπερ ἔσθενον τοῦτο, ἔδρων ἄν. εὖ τοῦτο ἴσθι. ἔπραττον ἂν τάδε εἴπερ ἔσθενον. ϗ γάρ σου εἰμὶ τέκνον, ϗ τῶν σῶν ἠθῶν μέτοχός εἰμι. οἷοι γὰρ οἱ γονεῖς, τοιοῦτοι ϗ οἱ παῖδες. *Bar.* 609. Στόμαργον] Ἀπὸ τοῦ μὴ ἔχειν τὸ στόμα ἀργόν. *Bar.* 610. Εἰ γὰρ πέφ.] Εἰ γὰρ γέγονα ἔμπειρος τοῖς ἔργοις τοῖς κακοῖς, ἤγουν στόμαργος, κακή, ϗ ἀναιδὴς, ὡς φὴς, οὐ καταισχύνω σου τὴν φύσιν. διότι οὐ φαίνομαι ἐλάττων σου, ἀλλ' ὁμοία. ϗ ζηλῶ σοι κατὰ πάντα· ϗ ὥσπερ σὺ ἔθρεψας Αἴγισθον κατὰ Ἀγαμέμνονος, οὕτω ϗ αὐτὴ θρέψω Ὀρέστην κατὰ σοῦ. *Bar.* Ἔργων] Ἤγουν τῆς ἀναιδείας, τῆς φλυαρίας, ϗ τῶν τοιούτων. L. B.

611. Σχεδὸν

Σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
Χο. Ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
Ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
Κλ. Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
Ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,
Καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὔ σοι δοκεῖ
Χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;
Ηλ. Εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
Κεἰ μὴ δοκῶ σοι. μανθάνω δ' ὅθ' οὕνεκα
Ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
Ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
Ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾷν βίᾳ.
" Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
Κλ. Ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
Καὶ τἄργα τα 'μὰ, πόλλ' ἄγαν λέγειν ποιεῖ;
Ηλ. Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
Τοὔργον. τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

Κλ.

611. Σχεδόν τι] ἴσως καὶ ἀντὶ τοῦ πλησίον. Καταισχύνω] ἐξευθετιζομένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὕτη οὐκ ἀμέτοχος τούτων ἐστίν. 612. Ὁρῶ μένος πνέουσαν] ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησὶν, Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου τοῦ μένους φροντίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν. ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου, φησὶ, ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος; 613. Οὐκ ἔτ' εἰσορῶ] ἀντὶ τοῦ οὐκ ἐννοῶ. 614. Ποίας δέ μοι] ποίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν εἰ δίκαια αὕτη λέγει, ἥτις τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν; 616. Καὶ ταῦτα τηλικοῦτος] ὑπὲρ ἐπιτάσεως, ὅτι εἰ καὶ ἄλλη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ. 617. Αἰσχύνης ἄτερ] ἀντὶ τοῦ ἀναισχύντως. τὸ χωρὶς, τὸ

ἄνευ,

Propemodum tuam haud dedecoro naturam.
Cho. Video *puellam* iram spirantem: si vero cum jure
Conjuncta sit, necne, hoc qui curet nondum video.
Cl. Qualem autem istius saltem agere me curam oportet,
Quæ talibus parentem conviciis oneravit,
Idque tantula ætate? an tibi non videtur
Ad omne facinus progressura dein sine pudore?
El. Et nunc hoc certo scias me horum pudere,
Etsi tibi secus videtur; intelligoque quam
Incongrua *mea* ætati facio, & quæ me neutiquam decent.
Sed tuus iste malevolus animus, tuaque
Facta cogunt vi quasi me hæc facere.
" A turpibus enim res turpes docentur.
Cl. O soboles impudens! an ego te, & mea dicta,
Et facta mea immodice loqui cogunt?
El. Tu dicis hoc, non ego: namque tu patras
Facta. facta autem facile verba inveniunt.

Cl.

ἄνευ, καὶ τὸ δίχα, κοινά· τὸ δὲ ἄτερ, ποιητικόν. 620. Ἔξωρα πράσσω] κἀγὼ (φησὶ) αἰσθάνομαι ἐπονείδιστα πράσσουσα, καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν. 621. Καὶ τὰ σὰ ἔργα ἐξαναγκάζει με] ἐμφατικώτερον τὸ ἐξαναγκάζει με, διὰ τῆς προθέσεως. 624. Ἥ σ᾽ ἐγὼ, καὶ τἄμ᾽ ἔπη] ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ Κλυταιμνήστρα.

SCHOL. INED. 612. Μένος] Ἀντὶ τοῦ, θράσος. ἤγουν ὁρῶ θρασυνομένην. L. B. 613. Φροντίδ᾽ οὐκ ἔτ᾽ εἰσορῶ] Τουτέστι, γνῶσιν οὐχ᾽ ὁρῶ· οὐκ ἔννοιαν. L. B. 615. Ἥτις τοιαῦτα] Ἥγουν τοιαύτας ὕβρεις ὕβρισεν· ἀντὶ τοῦ τοιαύτας ἀτιμίας ἠτίμασεν. L. B. 618. Εὖ νῦν] Καὶ εἰ μὴ δοκῶ καὶ φαίνομαι σοὶ τῇ Κλυταιμνήστρᾳ ἔχειν ἐμὲ αἰσχύνην ἕνεκα τῶνδε, ἀλλὰ νῦν ἐπίστασο καλῶς ὅτι αἰσχύνομαι. *Bar.* Ἐπίστω] Ἐπίστασο. καὶ κατὰ ἀποβολὴν τοῦ σ, ἐπίσταο. κατὰ δὲ κρᾶσιν τοῦ αο εἰς ω μέγα, ἐπίστω. *Bar.* Τῶνδε] Ἀντὶ τοῦ, ἕνεκα τούτων αἰσχύνεσθαι. L. B. 623. Ἐκδιδάσκεται] Διδάσκεται τίς ὑπό τινος. καὶ διδάσκεται ὑπό τινος τοιαύτῃ διδασκαλίᾳ· καθ᾽ ὃ λέγεται ἐνταῦθα. *Bar.*

Κλ. Ἀλλ' οὐ, μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
Τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
Ηλ. Ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
Λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν;
Κλ. Οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
Θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
Ηλ. Ἐῶ, κελεύω, θῦε, μηδ' ἐπαιτιῶ
Τοὐμὸν στόμ'· ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
Κλ. Ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
Πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
Εὐχὰς ἀνάσχω δειμάτων ἃ νῦν ἔχω.
Κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
Κεκρυμμένην μου βάξιν· οὐ γὰρ ἐν φίλοις
Ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει

Πρὸς

628. Θράσους τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ] πιθανῶς ἀπὸ τῶν ἀγρῶν ἔφη τὸν Αἴγισθον, ὑπὲρ τοῦ παῤῥησίαν δοθῆναι τῇ κόρῃ. 630. Ἐκφέρῃ] ἐκκαλύπτῃ. τὸ ἐκφέρεσθαι, κυρίως ἐπὶ νεκροῦ λέγεται, καὶ ὅταν φέρῃ τινὰ ἵππος ἔξω τῆς εὐθείας ὁδοῦ· ἀφ' οὗ κατὰ μεταφορὰν λέγει· ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ. 631. Χρῄζοιμι] θέλοιμι. χρῄζω, τὸ χρείαν ἔχω, καὶ τὸ θέλω· ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω, τὸ δὲ θέλω, αἰτιατικῇ. 632. Οὔκουν ἐάσεις] οὐκ ἐρμηνεύεις ὡς πρότερον εἶπας· ἔφη γὰρ, καὶ μεθίημι. πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμιᾶν [illegible]. 634. Ἐῶ, κελεύω θύε, μηδ' ἐπαιτιῶ] δεῖ γὰρ καὶ προκατάληψιν τῆς ὑποθέσεως, διὸ οὐ ποιεῖται πλείονας ἀντιῤῥήσεις. 636. Ἔπαιρε δὴ σὺ] πρὸς θεράπαιναν φησί. Θύμαθ'] θυμιάματα. 637. Πάγκαρπ'] ἐπίπαν ὄσπρια ἔθυον τοῖς θεοῖς. 638. Εὐχὰς ἀνέχω] ἀναπέμψω. ἀνέχω, ἐπὶ εὐχῆς, τὸ ἀναπέμπειν· ἀνέχω, ἐπὶ χειρῶν, ἀντὶ τοῦ ὑψῶ· ἀνέχω, ἐπὶ βάρους, ἀντὶ τοῦ βαστάζω. ἀνέχει δὲ ὁ ἥλιος, ἀντὶ τοῦ ἀνατέλλει· καὶ ἀνίσχει ἡ βοτάνη, ἀντὶ τοῦ βλαστάνει. ἀνέχομαι δὲ παθητικῶς, τὸ ὑπομένω. 639. Κλύοις ἂν] ἐπακούσαις. ἐπὶ γὰρ μεγάλων προσώπων,

ἐφ'

Cl. Non, per Dominam Dianam, hanc audaciam
Auferes impune, simul ac Ægysthus redierit.

El. Viden'? ad iram nunc moveris, licet mihi permiseris
Dicere quæcunque vellem; nec potes audire?

Cl. Non ergo me sines, ne fausto quidem omine,
Libare Diis, quoniam semel tibi permisi omnia loqui?

El. Sino, hortor, sacra fac: neque accusa
Meum os dehinc, non enim ultra quid loquar.

Cl. Tolle jam, tu quæ astas mihi, libamenta
Omnigenis referta frugibus, ut huic regi preces
Effundam, quæ terroribus me liberent, quos nunc fero.
Audi nunc, Apollo, qui nostras stas ante fores,
Secretum meum sermonem: non enim inter amicos
Sermo, neque omnia revelare convenit

Ad

ἐφ' ὧν ἐδόκει βαρὺ τὸ φανερῶς προσάττειν, ἐχρῶντο οἱ Ἀττικοί· εὐχὴ καὶ μετὰ τοῦ ἂν, ὡς ἐνταῦθα. Προστατήριε] ὅτι πρὸ τῶν θυρῶν ἵδρυται. 640. Βάξιν] λόγον. Οὐ γὰρ ἐν φίλοις] οὐκ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 637. Λυτηρίους] ἤγουν δυναμένους λυτρῶσαι καὶ ἐξελευθερῶσαι τῶν δειμάτων. ¶ Σχήμ. Τρικλ. 639. Κλύοις ἂν] εὐχή.

SCHOL. INED. 630. Ἐκφέρῃ] Ἤγουν, ἐκκλίνεις τοῦ προσήκοντος, ἐκτρέπῃ. ἔξω τοῦ πρέποντος φέρῃ ὥσπερ ὑπὸ ἵππου. L. B. Μεθεῖσα] Ἤγουν, ἐνδοῦσα, παραχωρήσασα. L. B. 631. Χρήζοιμ'] Χρήζω, τὸ χρείαν ἔχω, καὶ τὸ θέλω. ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω. τὸ δὲ θέλω, αἰτιατικῇ. L. B. 637. Πάγκαρπ'] Πάγκαρπα ὑπερβολικῶς λέγεται. ἀντὶ τοῦ, ἐκ διαφόρων καρπῶν. ἐκ παντοίων καρπῶν. L. B. 640. Κεκρυμμένην βάξιν] Εὐχὴν, δέησιν, τὸν λόγον ὃν ἔχω ἐν τῇ ψυχῇ μου. L. B. 641. Ἀναπτύξαι] Ἐπιπτύξαι, τὸ ἀσφαλίσαι. ὡς καὶ τὸ πτύχης. ἀναπτύξαι δὲ, τὸ ἀνακαλύψαι ψευδῆ καὶ ἀληθῆ. L. B.

644. Σπείρῃ

Πρὸς φῶς, παρούσης τῆσδε πλησίαν ἐμοί.
Μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
Σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
Ἀλλ' ὧδ' ἄκουε. τῇδε γὰρ κἀγὼ φράσω.
Ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
Δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
Εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα·
Εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
Καὶ μή, με πλούτου τοῦ παρόντος εἴ τινες
Δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς·
Ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
Δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
Φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν,
Εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ

Δύσνοια

644. Σπείρῃ ματαίαν] τὸ ματαίαν οὐκ ἔστι ψευδῆ, ἀλλ' ἀνωφελῆ. τί γὰρ πράξει τοὺς κρατοῦντας διαβάλλουσα; ματαίαν οὖν, κενὴν λέγει, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι. 645. Ἀλλ' ὧδ' ἄκουε] οὕτως ἐμοῦ λεγούσης. Τῇδε γὰρ] ἀντὶ τοῦ τούτῳ τρόπῳ. 647. Δισσῶν ὀνείρων] ἢ, διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος, Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων. δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν, ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης· καὶ τὸ μὲν ἕν, φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν. τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι. ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν Ἀπόλλωνα. ἢ δισσῶν ὀνείρων, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν. ἔλυσε δὲ αὐτὸ, εἰποῦσα, Εἰ μὲν πέφυκεν ἐσθλὰ, δὸς τελεσφόρα· εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες. 652. Ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν] τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὔχεται. διὰ δὲ τοῦ πληθυντικοῦ τοῦ φίλους τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν. 653. Ἀμφέπειν] τὸ γὰρ διέπειν, εὐθετεῖν· περιέπειν δὲ, τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν. 654. Φίλοισί τε ξυνοῦσαν] ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν, ἀπὸ κοινοῦ λαμβανόμενον, φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς

ξύνειμι

Ad lucem, hæc præsertim cum prope adsit mihi.
Ne per invidiamque & clamorem linguæ petulantem
Dispergat rumores inanes per universam urbem.
Sed sic accipe *silenter*; ita enim & ego loquar.
Quæ enim hac ipsa nocte vidi spectra
Geminorum somniorum, hæc mihi, Apollo Lycee Rex,
Si visa sunt prospera, fac rata;
Si vero adversa, inimicis ea transmitte retro.
Et ne (si qui me opibus præsentibus
Dolis student ejicere) sinas ejici;
Sed sic me semper viventem vita incolumi,
Domum Atridarum, & sceptra hæc gubernare,
Cumque charis versantem, quibus nunc versor,
Quotidie felicem, & cum liberis, quibus in me

Nulla

ξύνειμι νῦν. τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ. ἢ ἀπ' ἐμοῦ εἰς αὐτούς. 655. Εὐημερούσαν] ἑκάστην ἡμέραν εὖ διάγουσαν. τὰ δ' ἄλλα πάντα τὰ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι. ζητοῦσι δὲ διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη. ῥητέον οὖν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, τότε δ' ὡς κατὰ ἀποθανόντος παῤῥησιάζεται, ἄφοβος γενομένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 647. Διστῶν ὀνείρων] ἤγουν διπλῆν φύσιν ἐχόντων. ἀληθῆ γάρ ἐσθ' ὅτε καὶ ψευδῆ ἀποβαίνουσιν. ἔστι δὲ ὅμοιον τῷ παρ' Ὁμήρῳ, Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων. 655. Ὅσων ἐμοὶ] μὴ λάβῃς εἰς τὸ ὅσων ἔξωθεν τὴν ἀπὸ, ἀλλὰ πρὸς τὸ δύσνοια τὴν τοιαύτην γενικὴν νόει.

SCHOL. INED. 647. Λύκει' ἄναξ] Διότι ἐν τῇ Λυκίᾳ ἐτιμᾶτο, ἤγουν ἐν τῇ Λυκίᾳ σέβουσιν αὐτὸν ἄγαν. L. B. *Bar.* 650. Καὶ μή, με] Καὶ μὴ ἐφῇς, ἤγουν ἐάσῃς ἐκβαλεῖν ἐμὲ τοῦ πλούτου τοῦ παρόντος, εἴ τινες σὺν δόλῳ βουλεύουσιν ἐκβαλεῖν με δηλονότι. ἀλλ', ἔασον ἀπὸ κοινοῦ, διέπειν με τοὺς δόμους τῶν Ἀτρειδῶν, καὶ τὰ σκῆπτρα τάδε, ζῶσαν οὕτως ὡς ζῶ ἀεὶ ἐν ἀβλαβεῖ βίῳ· καὶ συνοῦσαν φίλοις οἷς σύνειμι νῦν μετ' εὐημερίας, καὶ ἐκείνοις δηλονότι συνοῦσαν ἀπὸ τῶν τέκνων, ὅσων ἐμοὶ μὴ πρόσεστι δύσνοια ἢ λύπη πικρά.

Δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
Ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
Δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα·
Τά δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
Ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι·
Τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾷν.
Παι. Ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
Εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
Χο. Τά δ' ἐστὶν, ὦ ξέν'· αὐτὸς εἴκασας καλῶς.
Παι. Ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
Κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾷν.
Χο. Μάλιστα πάντων ἥδε σοι κείνη πάρα.
Παι. Ὦ χαῖρ' ἄνασσα. σοὶ φέρων ἥκω λόγους
Ἡδεῖς φίλου παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμοῦ.
Κλ. Ἐδεξάμην τὸ ῥηθέν. εἰδέναι δέ σου
Πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλε βροτῶν.
Παι. Φανοτεὺς ὁ Φωκεὺς, πρᾶγμα πορσύνων μέγα.

Κλ.

660. Ἐπαξιῶ] ἀξιῶ. παρακαλῶ. ἀξιῶ ποιεῖν τόδε, καὶ ἀξιῶ σε τοῦδε, καὶ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. ἀξιῶ δὲ, τὸ παρακαλῶ· καὶ συντάσσεται αἰτιατικῇ μόνῃ. 662. Ξέναι γυναῖκες] ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου Ὀρέστου, τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστὶν, οὔτε ἀποικτιζομένου παντάπασιν, οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. εὐκαίρως δὲ ἥκει, τῶν οὐσῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ δισσολογοίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν. 666. Πρέπει γὰρ ὡς τύραννος] στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων. 670. Ἐδεξάμην] λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπεδεξάμην.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 664. Αὐτὸς εἴκασας] ἤγουν ἀπὸ σαυτοῦ καὶ ἀπὸ οἰκείου στοχασμοῦ ἔγνως, πρὸς ὅπερ ἐκεῖνος, ἐφ' οὗ ἐπεικάζω καὶ

τήν

Nulla est malevolentia, nec molesta animi acerbitas.
Hæc, O Lycee Apollo, propitius audiens
Da nobis omnibus, ita ut exposcimus.
Cætera vero omnia, etiam me tacente,
Existimo te, cum Deus sis, pulchre nosse:
Jove enim natos consentaneum est omnia videre.

P. Mulieres hospites, quonam modo certo sciam
An hæc sit regis Ægysthi domus?

Ch. Hæc est, O hospes; ipse conjecisti probe.

P. An & uxorem hanc illius conjectura nactus sum?
Decoro enim, ut regina, videtur vultu.

Ch. Maxime, hæc ipsa tibi adest.

P. Salve, regina; ferens adsum nuncium
Jucundum, à viro amico tibi, Ægysthoque simul.

Cl. Accipio dictum. discere autem ex te
Primum volo, quis te misit mortalium.

P. Phanoteus ille Phocensis, rem magni momenti parans,

Cl.

τήνδε τὴν γυναῖκα ἐκείνου; ἤγουν ἀπὸ στοχασμοῦ καταλαμβάνω; 670. Εἰδέναι δὲ] οὐ μόνον οὐ λάβοις εἰς τὸ σοῦ ἔξωθεν τὸ ἀπὸ, ὥς τινες, ἀλλὰ καὶ πρὸς τὸ χρῄζω συντάσσων, εὖ ἂν ποιήσῃς. ¶ Σχῆμα. Τρικλ. 662. Ξέναι γυναῖκες] ἄφιξις τοῦ παιδαγωγοῦ πρὸς τὸν οἶκον Αἰγίσθου.

SCHOL. INED. 656. Δύσνοια] ἡ λύπη, μὴ ἔστιν ἐμοί. ἀντὶ τοῦ, μὴ εἴη ἐμοὶ πρὸς τέκνων. ἀντὶ τοῦ ἀπὸ τῶν τέκνων, ὅσων ὄντων. ἤγουν, ὅσα εἰσίν, *Bar.* 664. Ὦ ξέν'] Ξένος ὃν ἀπὸ ξένης τὶς φιλοφρονήσεται. λέγεται τὸ ξένος καὶ ἐπὶ τῶν μὴ γνωρίμων προσφιλῶς. καὶ ξένος ἁπλῶς ὁ ἀπὸ ἄλλου τόπου, ξένος ὃν ἐν τῇ οἰκείᾳ πατρίδι φιλοφρονήσεταί τις ἀπὸ ξένης ἐλθόντα, καὶ ἁπλῶς ὁ ἀπὸ ἀλλοτρίου τόπου· τὸ δὲ ὦ ξένε φιλοφρόνως λέγεται ἐπὶ τῶν μὴ γνωρίμων. L. B. 665. Ἀπεικάζων] Τὸ ἀπεικάζων μετὰ τοῦ κυροῦ ἐνταῦθα εὑρισκόμενον, εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀναλύεται ὁ λόγος, ἤγουν ἀπεικάζω. *Bar.*

677. Τί

Κλ. Τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ἂν
'Ανδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
Παι. Τέθνηκ' 'Ορέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
Ηλ. Οἴ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
Κλ. Τί φὴς, τί φὴς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
Παι. Θανόντ' 'Ορέστην νῦν τε καὶ τότ' ἐννέπω.
Ηλ. 'Απωλόμην δύστηνος. οὐδέν εἰμ' ἔτι.
Κλ. Σὺ μὲν τὰ σαυτῆς πρᾶσσ'· ἐμοὶ δὲ σὺ, ξένε,
Τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται.
Παι. Κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
Κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν 'Ελλάδος
Πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
Οτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
Δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
Εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
Δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα,
Νίκης

677. Τί φὴς, τί φὴς] οἱ ἡδέως ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται. Μὴ ταύτης κλύε] οἷον, μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς. 681. Τῷ τρόπῳ διόλλυται] ἤθελον καὶ τοῦτο τῶν ἡδομένων. μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος, ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμοῦν περὶ ἀγῶνος λέγειν 'Ελληνικοῦ. 684. Δελφικῶν ἄθλων χάριν] οὔπω ἦν ἐπὶ 'Ορέστου ὁ Πυθικὸς ἀγών. 688. Δρόμου δ' ἰσώσας] τοῦ ἐν ποσὶ δρόμου. τινὲς δόλιχόν φασιν ἀγωνίσασθαι 'Ορέστην (ὅς ἐστιν εἰκοσι στάδια) εἴκοσι ἐτῶν ὄντα. ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. 'Αλλως. Δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα, οἷον, οὐκ ἐλλιπὼν κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι, κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν. ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ. ἀντὶ τοῦ, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ, ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.

ΣΧΟΛ.

Cl. Quidnam, hospes? dic: nam ab amico missus
Huc viro, amica (sat scio) dicturus es verba.
P. Obiit Orestes. dico summatim omnia.
El. O ego misera, perii hac ipsa die.
Cl. Quid ais, quid ais, hospes? ne hanc audi.
P. Periisse Oresten dico nunc, ut & prius.
El. Occidi misera penitus! amplius jam nulla sum.
Cl. Tu tuas res age sane; mihi vero tu, hospes,
Verum dic, quo modo periit.
P. Et ad hæc missus sum, & rem omnem enarrabo.
Ille enim profectus ad celebrem Græciæ
Apparatum certaminis, Delphicos propter ludos,
Simul audivit clarum præconis vocem
Cursum indicentis, quo primum contenditur,
Ingressus campum est splendidus, omnibusque qui ibi aderant venerabilis.
Cum vero cursus metas præstanti sua indole attigisset,

Exivit

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 684. Πρόσχημ' ἀγῶνος] εἶδος, καλλώπισμα. λέγει δὲ τοὺς Δελφούς. ὅτι δὲ τοῦτο δηλοῖ τὸ πρόσχημα, μαρτυρεῖ καὶ Ἀριστείδης λέγων, τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνῄρηται. Δελφικῶν ἄθλων] τῶν εἰς τοὺς Δελφοὺς ἐν τῇ τῶν Πυθίων πανηγύρει τοῖς νενικηκόσι διδομένων βραβείων. τὰ δὲ Πύθια ἦν ἑορτὴ τοῦ Ἀπόλλωνος. 686. Οὗ πρώτη κρίσις] εἰσήγετο γὰρ ὁ δρόμος πρῶτος τῶν ἄλλων ἄθλων, πυγμῆς, πάλης, δίσκου, ἁλάλματος. τοῦτο δὲ ἐγίνετο διὰ τὸ πάντας τοὺς ἀγῶνας πορείας δεῖσθαι. ἔστι δὲ ὁ δρόμος οὐκ ἄλλό τι ἢ μόνον πορεία καὶ τάχος ποδῶν. ὡς οὖν τὸ φύσει προσὸν μόνος ἰδιοποιησάμενος προετάττετο. 688. Δρόμου δ' ἰσώσας] δολιχὸν γὰρ ἠγωνίσατο, ὅς ἐστιν εἶδος δρόμου εἴκοσι στάδια ἔχων, τὸ πᾶν τῆς πορείας. ἦν δὲ καὶ ὁ Ὀρέστης ἐτῶν εἴκοσι. ¶ Σχήμ. Τρικλ. 682. Κἀπεμπόμην] προκατάστασις καὶ διήγησις, ὅπως δῆθεν Ὀρέστης τέθνηκεν.

SCHOL. INED. 677. Τί φῄς] Ἤγουν, μὴ διὰ τῶν θρήνων αὐτῆς φοβηθῇς εἰπεῖν τὰ ἑξῆς. *Bar.* 683. Τὸ κλεινὸν πρόσχημα] Ἤγουν τὸν ἔνδοξον καλλωπισμὸν τοῦ ἀγῶνος τῆς Ἑλλάδος. ἀγῶνα δὲ λέγει νῦν, τὸν τόπον, ἔνθα ἐγίνετο ὁ ἀγών. πρόσχημα τῆς Ἀσίας, ἀντὶ τοῦ καλλωπισμός. καὶ

πρόσχημα

Νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
Χ' ὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
Οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
Ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
Δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται,
Τούτων ἐνεγκὼν πάντα τἀπινίκια
Ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
Ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
Καὶ ταῦτα μὲν τοιαῦθ'. "ὅταν δέ τις θεῶν
"Βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
Κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
Ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγὼν,
Εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα·
Εἷς ἦν Ἀχαιὸς, εἷς ἀπὸ Σπάρτης, δύο

Λίβυες

πρόσχημα ἢ πρόφασις. L. B. 685. Ὀρθίων] Ὄρθιος, ὁ ἰσάριθμος ὀρθὸς καὶ μὴ συγκεκυφώς. καὶ ὄρθιον ἐπὶ φωνῆς, τὸ ὑψηλόν. L. B. 687. Τοῖς ἐκεῖ σέβας] τιμώμενος ἐκεῖ παρὰ πάντων. L. B. 688. Δρόμου] Τὰ τέρματα τοῦ δρόμου ἰσώσας τῇ φύσει, ἤγουν ἁρμοδίως τῇ ἑαυτοῦ φύσει δραμών. L. B.

693. Πεντάεθλ', ἃ νομίζεται] ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην. ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ. 698. Ὅταν δέ τις θεῶν] ὅμοιον τούτῳ τὸ Πινδαρικὸν, Θεὸς ὁ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα. 702. Εἰσῆλθε πολλῶν] φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 693. Δρόμων διαύλων] ἰστέον ὅτι ἀντὶ τοῦ ἀγώνων, διαύλων εἶπε. δέονται γὰρ πάντες οἱ ἀγῶνες (ὡς ἄνωθεν ἔφημεν) πορείας πρὸς τὸ τελεσθῆναι. ἀσαφήνιστε δὲ διὰ τοῦ εἰπεῖν, ἃ νομίζεται πένταθλα. δέον γὰρ εἰπεῖν, οἳ νομίζονται, πρὸς τὸ πένταθλα ἐπήνεγκε· καὶ ἔστιν ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὁ δ' εἴληχεν τύχην, Θανόντες ἂν πρὸς κείμεθ' ἐχθίστῳ μόρῳ. εἰσὶ δὲ αἱ τοιαῦται γενικαὶ τὸ ὅσων δρόμων, πρὸς τὸ

τούτων

Exivit gerens præmium victoris magnificum.
Utque ex multis, *quæ habeo dicenda*, pauca tibi dicam,
Non novi similem virum factis & robore.
Unum autem scito: quorumcunque enim pronunciarant arbitri
Cursuum spatiosorum quinquertia, quæ lege statuta sunt,
Horum omnium auferens præmia
Beatus prædicabatur, Argivus cognomine vocatus,
Nomine Orestes, filius Agamemnonis, qui inclytum Græciæ
Exercitum adgregasset olim.
Et hæc quidem ita sunt acta: "cum vero quis deorum
"Nocere vult, ne fortis quidem valet effugere.
Ille enim altero die, cum equestre
Erat, solis ad ortum, velox certamen,
Ingressus est cum multis curruum rectoribus.
Unus erat Argivus, unus à Sparta, duo

Afri

τούτων ἐνεστικῶν· εἰ καί τινες ἀγνοοῦντες τὴν σύνταξιν, τὸ ὅσον δρόμων μυπρογραφοῦσι. 700. Κεῖνος γὰρ ἄλλης] μὴ λάβῃς εἰς τὸ ἡμέρας ἔξωθεν τὸ ἐπὶ, ἀλλ' οὕτω λέγε, ἐκεῖνος γὰρ ὅτε ἄλλης ἡμέρας, πρὸς τὸ ὅτε τὴν τοιαύτην γενικὴν συντάσσων. ὥσπερ γὰρ φαμὲν, ὅτε τῆς ἡμέρας ἔκλειψις ἡλίου γέγονεν, οὕτω καὶ τοῦτο. τὸ δὲ ἱππικῶν, ἀντὶ τοῦ ἡνιόχων, οὐχ ὥς τινές φασιν, ἀντὶ τοῦ ἵππων, τὸ κλητικὸν ἀντὶ τοῦ ἁπλοῦ, ληροῦντες. ἐπεὶ δὲ ἱππικῶν εἶπεν, ἤτοι ἡνιόχων, τοιούτων δὲ οὐχ ἕτερός ἐστιν ἀγὼν ἢ δι' ἵππων, διὰ τοῦτο ὠκύπους εἰς τὸ ἀγὼν προσέθηκε. περὶ γὰρ τάχους ἵππων ἠγωνίζοντο.

SCHOL. INED. 692. Βραβεῖς] Βραβεῖς, καὶ οἱ βραβευταὶ, καὶ διοικηταὶ τοῦ ἀγῶνος, οἱ τὰ ἆθλα διδόντες. ἀφ' οὗ βραβεῖον, τὸ ἆθλον. L. B. 694. Τἀπινίκια] Ἐπινίκια, τὰ ἐπὶ τῇ νίκῃ γέρα διδόμενα. καὶ νικητήρια ταῦτα. L. B.

Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
Κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
Ἵππους ὁ πέμπτος· ἕκτος, ἐξ Αἰτωλίας
Ξανθαῖσι πώλοις· ἕβδομος, Μάγνης ἀνήρ·
Ὁ δ' ὄγδοος, Λεύκιππος Αἰνιὰν γένος·
Ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος δέκατον ἐκπληρῶν ὄχον.
Στάντες δ' ὅτ' αὐτοὺς οἱ τεταγμένοι βραβεῖς
Κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
Χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν. οἱ δ' ἅμα
Ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
Ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
Κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
Φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,

Φείδοντο

705. Κἀκεῖνος ἐν τούτοισιν] ὁ Ὀρέστης. 708. Λεύκιππος Αἰνιὰν] ἐμοὶ δοκεῖ ὄνομα εἶναι. οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι. ὄνομα γὰρ κύριον οὐ προτέθεικε, πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον. ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται· οἱ δὲ, Αἰνιᾶνες, τῶν Θεσπρωτῶν, ἢ Θρᾳκῶν. Ὅμηρος, Τῷ δ' Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε Περαιβοί. 709. Ἔνατος] ἐννέα, δύο νν· ἔνατος, ἕν. Ἀθηνῶν τῶν θεοδμήτων ἄπο] προσχαρίζεται τοῖς Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 709. Τῶν θεοδμήτων ἄπο] τοῦτο σεμνύνων τοὺς Ἀθηναίους ὡς Ἀθηναῖος ὁ Σοφοκλῆς λέγει, τῷ ὄντι γὰρ θεόδμητος ἦν ἡ Τροία, ἐκ Ποσειδῶνος καὶ Ἀπόλλωνος κατὰ τὸν μῦθον κτισθεῖσα. 712. Κλήροις ἔπηλαν] ἀντὶ τοῦ μετὰ κλήρων ἔστησαν. ἔστι δὲ τὸ κλήροις ὥσπερ ἀργόν. τὸ γὰρ ἔπηλαν καὶ χωρὶς τούτου σώζει τὴν φύσιν. τὸν αὐτὸν δὲ λόγον φαμὲν καὶ εἰς τὸ, περιηγεῖ κύκλῳ. ὃ γὰρ συναμφότερον δύναται, τοῦτο μόνον τὸ, περιηγεῖ.

SCHOL. INED. 707. Μάγνης] Αὕτη ἡ Μαγνησία ἐν δύσει ἐστίν. L. B. 708. Αἰνιὰν] Κλίνεται τοῦ Αἰνιᾶνος. καὶ πληθυντικῶς Αἰνιᾶνες. ἤγουν, ἀπὸ τῆς ὑπηκόου τῷ Αἰνιᾳ. *Bar.* Οἱ ἀπὸ τοῦ Αἰνίου καταγόμενοι.

Afri jugatorum curruum præſides,
Et ipſe inter eos, Theſſalicas habens
Equas quintus: Sextus ex Ætolia
Cum equis flavis, deinde ſeptimus Magneſius vir:
At octavus albis equis, Ænian genere erat:
Nonus ab Athenis, deorum manibus conditis,
Bœotius quidem decimum explens currum.
Stantes igitur (cum delecti ludorum præſides ipſos
Ex ſorte ſtare juſſerant cum curribus)
Ad æreæ clangorem tubæ eruperunt. illi vero ſimul
Equos increpitantes, habenas manibus
Quaſſere; totum autem completum erat ſtadium
Strepitu crepitantium curruum; pulvis autem in altum
Ferebatur, ſimulque omnes commiſti

Parcebant

καταγόμενοι. L. B. 710. Ὄχοι] Ἥγουν, ἅρμα. *Bar.* Ὄχος ποιητικόν· ὄχημα δὲ κοινόν. ὄχημα, ἐφ' ᾧ ὀχεῖταί τις. ἔχος, ἀρσενικῶς, τὸ ἅρμα. ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ, οὐδετέρως. ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό. ὡς παρὰ Λουκιανῷ· Καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ. L. B. 712. Ἔπηλαν] Πάλλω, παλῶ, ἔπηλα, ὡς ἔψηλα. ἐν τῇ περικεφαλαίᾳ γὰρ ἔβαλον κλήρους ἕκαστος τούτων τῶν βουλομένων δραμεῖν. εἶτα ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν. οὗ τινος δὲ ὁ κλῆρος ἐπήδα πρῶτος ἀπὸ τῆς περικεφαλαίας, αὐτὸν ἐτίθουν πρῶτον ἐν τῇ τάξει, καὶ πάλιν βάλλοντες τοὺς κλήρους αὐτῶν οἱ λοιποί, ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν. καὶ πάλιν οὗ τινος ἐπήδα πρῶτος ὁ κλῆρος, τοῦτον ἐτίθουν ἐν τῇ δευτέρᾳ τάξει. καὶ πάλιν οἱ λοιποὶ ἔβαλον τοὺς κλήρους ἐν τῇ περικεφαλαίᾳ, μέχρι τέλους. *Bar.* 717. Ἀναμεμιγμένοι] Μίγω, ὃ καὶ μίσγω γράφεται ἐνίοτε. ὁ μέλλων μίξω, μέμιχα, ὁ παθητικὸς παρακείμενος μέμιγμαι. καὶ ἡ μετοχὴ, μεμιγμένος. καὶ μετὰ τῆς ἀνὰ ἐν συνθέσει καὶ συγκοπῆς, ἀναμεμιγμένος. πληθυντικῶς ἀναμεμιγμένοι. *Bar.*

Φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
Χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
Ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
Ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,
Ἔχριμπτ' ἀεὶ σύριγγα· δεξιόν τ' ἀνεὶς
Σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
Καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
Ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
Πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
Τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
Μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·

Κἀντεῦθεν

718. Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν] οἷον πρῶτος τοῦ δρόμου γένοιτο. χνόας δέ, τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ ἱππικὰ φρυάγματα. ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. λείπει δὲ τὸ ἐλαύνων. τὸ δὲ χνόας, βαρέως. τὰ γὰρ εἰς η δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται, χνόη, φθόη, χλόη. τὸ δὲ πνοή, οὐκ ἔχει δασύ. Ὑπερβάλοι] ὑπεκδράμοι. 719. Φρυάγματα] φυσήματα, πνεύματα. 722. Στήλην] τὸν λίθον τὸν καμπτῆρα. στῆλαι, κυβοειδεῖς λίθοι, ἐπιγράμματα τινῶν ἔχοντες. ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου. 723. Ἔχριμπτ' αἰὲν] ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ. Σύριγγα] τὴν ὀπὴν τοῦ τροχοῦ. 724. Σειραῖον ἵππον] τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν. 726. Ἄστομοι] σκληρόστομοι. 727. Ἐκ δ' ὑποστροφῆς] ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων. 729. Βαρκαίοις ὄχοις] τοῖς Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 719. Χνόας τις αὐτῶν] ἤγουν τὸ ἅρμα τοῦ ἑτέρου· ἀπὸ μέρους τὸ πᾶν. χνόαι γὰρ τὰ ἀκροξόνια. ἔστι δὲ τὸ χνόας καὶ τὸ φρυάγματα ἱππικὰ ταυτόν. 723. Ἔχριμπτ' ἀεὶ σύριγγα] ἐπλησίαζε τῷ καμπτῆρι, δηλονότι τὴν ὀπὴν τοῦ τροχοῦ.

SCHOL.

Parcebant stimulis nequaquam, ut posset superare
Alter alterius rotas, & fremitus equestres.
Nam circa terga simul, & rotarum orbitas
Spumabant, ruebant fervidi equorum flatus.
Ille vero ultimam metam jam nactus
Admovit propius axem, eoque fine dextrum remittens
Equum, cohibuit proximum *metæ*.
Et primo quidem erecti omnes steterunt currus,
Deinde vero Ænianis viri duro equi ore
Vi auferunt currum, & ex reversione
Cum absolverent sextum septimumque jam cursum,
Frontes impingunt Libycis vehiculis:

Hinc

SCHOL. INED. 719. Χνόας] Ἀπὸ μέρους, τὸ πᾶν. χνόη γὰρ λέγεται ἡ ὀπὴ τοῦ τροχοῦ, εἰς ἣν ἐμβάλληται ὁ ἄξων. ἐνταῦθα δὲ λαμβάνεται τὸ ἅρμα. *Bar.* 720. Τροχῶν βάσεις] Τῶν περὶ τὰ στηρίγματα. βάσεις δὲ τροχῶν εἰσιν οἱ ζυγοί, οἵτινες κεῖνται ἐν ταῖς αὐχέσι, εἴτουν νώτοις, τῶν ἵππων. ὑπὸ τούτων γὰρ τῶν ζυγῶν τὰ ἅρματα εἷλκον συνδεδεμένα τούτοις τοῖς ζυγοῖς δηλονότι. *Bar.* 722. Κεῖνος] Ἤγουν, ἐκεῖνος δὲ ὁ Ὀρέστης δηλονότι, ἐλαύνων ὑπ' αὐτὴν τὴν ἐσχάτην στήλην, ἐπλησίαζεν ἀεὶ τῷ καμπτῆρι τὴν σύριγγα. ἤγουν, τοῦ τροχοῦ τὴν ὀπήν. ὅθεν τὸν σειραῖον ἵππον τὸν ὄντα ἔξω τοῦ καμπτῆρος, ἤγουν, τὸν δεξιὸν ἀπολύων καὶ ἀχαλινῶν, ἐπεῖχεν ἀεὶ τὸν προσκείμενον ἵππον καὶ πλησιάζοντα τῷ καμπτῆρι, ἤγουν τὸν ἀριστερὸν, ἵνα μὴ πλησιάζῃ ἡ σύριγξ τῷ καμπτῆρι δηλονότι. *Bar.* Στήλην] Ἤγουν, καμπτῆρα. καμπτῆρες μὲν λέγονται τὰ πλαίθρα τοῦ τόπου ἐκείνου, ἐν ᾧ οἱ δρομεῖς τρέχουσιν. ἤγουν οἱ τοῖχοι οἱ ἀφ' ἑνὸς μέρους καὶ τοῦ ἑτέρου, διὰ πετρῶν καὶ ἀσβέστου κατεσκευασμένοι. *Bar.* 727. Πῶλοι βίᾳ] Ἤγουν, σὺν βίᾳ εἵλκουσιν ἔξω τοῦ πρέποντος, ἀπειθεῖς γενόμενοι ταῖς ἡνίαις. ἤγουν, ἀπειθεῖς ἐγένοντο ταῖς ἡνίαις, καὶ ἐξήνεγκε τοῦ προσήκοντος. L. B. 728. Τελοῦντες ἕκτον ἕβδομον] Ἰστέον, ὅτι οἱ ἀγωνισταὶ τῶν δρομέων, οὐχ ἅπαξ ἔτρεχον τὸν ἀγῶνα ἐκεῖνον ὅν τινα οὖν ἤθελον, ἀλλ' ἐνίοτε μὲν ἐτίθουν αὐτὸν ἐν ἓξ δρόμοις. ἐνίοτε δὲ ἐν ἑπτά. καὶ ὅστις οὖν αὐτῶν

ἐπλήρου

Κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ,
Ἔθραυε, κἀνέπιπτε· πᾶν δ' ἐπίμπλατο
Ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
Γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
Ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς
Κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
Ἤλαυνε δ' ἔσχατος μὲν, ὑστέρας δ' ἔχων
Πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων.
Ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
Ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
Πώλοις, διώκει· κἀξισώσαντες ζυγὰ
Ἠλαυνέτην, ποτ' ἄλλος, ἄλλοθ' ἅτερος
Κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
Καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
Ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
Ἔπειτα, λύων ἡνίαν ἀριστερὰν
Κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
Παίσας.

ἐπλήρου πρότερος τοὺς δρόμους τῶν ἄλλων, αὐτὸς ἐκεῖνος ἐνίκα τὸν ἀγῶνα, τούτων δὲ Ὀρέστου δηλονότι καὶ τῶν ἄλλων, οἱ μὲν ἐτέλουν ἕκτον ἤδη δρόμον, οἱ δὲ ἕβδομον. *Bar.*

732. Ναυαγίων] τῶν πτωμάτων. 733. Γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος] ἀντὶ τοῦ ἔμπειρος. πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον. 734. Ἔξω παρασπᾷ] φυλαξάμενος (φησὶ) τοῖς συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ. Κἀνακωχεύει] ἀναστρέφει, κατέχει. ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει, στείλαντες τὰ ἄρμενα, σαλεύουσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν, οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕστερος ἠρέμα ἤλαυνε. 737. Πώλους] πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς. Τῷ τέλει πίστιν φέρων]

Hinc uno ex malo alius alium
Fregit, & superincidit; totus vero replebatur
Naufragiis Crisæus equestribus campus.
Quod cum cerneret Atticus acer auriga
Extra deflectit, & fræna inhibet, præterlapsus
Equestrem procellam, in medio æstuantem.
Agebatque postremus quidem, secundas tamen habens
Equas Orestes, ad metam *simul* certam *victoriæ* spem ducens.
Qui simul vidit ipsum solum relictum
Acuto aures strepitu personans velocium
Equarum insequitur; & æquatis jugis ambo
Ferebantur simul, modo hic, modo ille
Caput prætendens equestribus vehiculis.
Et reliquos cursus quidem omnes incolumes
Exegit infelix Orestes, erectis curribus:
Deinde laxans lorum sinistrum
Flectentis equi, inscius in metam extimam
Impegit;

φέρων] οἷον πιστεύων ἔτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεσθαι. ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν. 740. Καὶ ἰσώσαντες ζυγά] ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος. 745. Λύων ἡνίαν] χαυνῶν· διὰ τὸ συμπεπλέχθαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 732. Κρισαῖον] ἤτοι Φωκικόν. ἔστι γὰρ πόλις Φωκίδος, ἐν ᾗ Φωκίδι καὶ τὸ ἐν Δελφοῖς μαντεῖόν ἐστιν. ἔστι δὲ τὸ ναυαγίων ἱππικῶν ὅμοιον τῷ, Νίκλας ἡνιοχεῖ.

SCHOL. INED. 732. Ναυαγίων] Ναυάγια κυρίως, τὰ συντρίμματα τῶν νηῶν. ἀπὸ τοῦ ναῦς, καὶ τοῦ ἄγω τὸ συντρίβω. *Bar.* 734. Κανακωχεύει] Ἀνακωχεύω κυρίως, ὅτε οἱ ναῦται συστέλλουσι τὸ ἄρμενα τῶν νηῶν ἐν τῷ πελάγει, καὶ ἠρεμοῦσιν ὀλίγον. ὁμοίως καὶ ἐπὶ πολέμου, ὅτε οἱ στρατιῶται ἄνω ἔχουσι τὰς ἀκωκὰς τῶν δοράτων. ὅθεν καὶ ἀνακωχή. *Bar.* 745. Ἔπειτα] Ἔπειτα ὁ Ὀρέστης λύων καὶ ἀχαλινῶν τὴν ἀριστερὰν ἡνίαν, κλίνοντος τοῦ ἵππου εἰς αὐτὸ τὸ μέρος τὸ ἀριστερὸν, ἔλαθε παίσας, ἤγουν κρούσας, εἰς τὴν καμπτῆρα αὐτὸν τὸν τελευταῖον ὁ Ὀρέστης δηλονότι, καὶ ἔθραυσε τοῦ ἄξονος τὰς τρύπας μεσαικάς. *Bar.*

747. Ἔθραυσε

Παίσας. ἔθραυσε δ' ἄξονος μέσας χνόας,
Κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἑλίσσεται
Τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ,
Πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον.
Στρατὸς δ', ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
Δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
Οἷ' ἔργα δράσας, οἷα λαγχάνει κακὰ,
Φυρόμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
Σκέλη προφαίνων· ἔς τέ νιν διφρηλάται,
Μόλις κατασχέθοντες ἱππικὸν δρόμον,
Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
Γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
Καί νιν πυρᾷ κείαντες εὐθὺς, ἐν βραχεῖ
Χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
Φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
Ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
Τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις,
Ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν οἵπερ εἴδομεν,
Μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.

Χο.

747. Ἔθραυσε δ' ἄξονος μέσας χνόας] τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος. εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ, Ἀζόμενος πλήμνῃσι παρακλιδὸν αἰνυμένοιο. 753. Λαγχάνει] γράφεται καὶ τυγχάνει. 757. Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα] καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ ἐμπαθὲς εἴη τῇ Ἠλέκτρᾳ. Αἱματηρὸν] ᾑμαγμένον. αἱματηραὶ γὰρ σταγόνες, αἱ ἀπὸ αἵματος στάζουσαι· ᾑμαγμέναι δὲ, τῷ αἵματι μεμιγμέναι. 759. Ἐν βραχεῖ χαλκῷ] ἀγγείῳ. ἡ εὐθεῖα ὁ βραχὺς χαλκὸς, ὃ δηλοῖ τὴν οὐσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην. ἀπὸ

Impegit; fregit autem medios rotarum modiolos,
Et e curru lapsus est; implicaturque
Sectilibus loris. illo autem humi cadente,
Equæ sunt dissipatæ medium per stadium.
Cœtus autem, ut vidit illum excussum
Curru, ululavit ob juvenem, dicens,
Quibus rebus gestis, quæ sortitur mala
Raptatus modo per solum, modo in cœlum
Crura protendens? donec ipsum aurigæ,
Vix cohibito equorum cursu,
Solverunt cruentatum, ita ut nemo
Agnosceret amicorum videns afflictum corpus.
Et ipsum rogo *impositum* cremarunt statim, & in parvo
Vase æreo maximo de corpore misellum cinerem
Afferunt viri Phocensium delecti,
Ut paterno tumulum *tandem* sortiatur in solo.
Hæc quidem hoc modo gesta sunt, etiam verbis
Luctifica, spectantibus autem *nobis*, qui spectavimus,
Gravissima omnium, quæ ego vidi, malorum.

Ch.

δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης. 760. Μέγιστον σῶμα δειλαίας σποδοῦ] ἀντίπτωσις, ἀντὶ τοῦ, σποδὸν δειλαίαν μεγίστου σώματος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 747. Μέσας χνόας] ἀντὶ τοῦ κατὰ τὸ μέσον ἔθραυσε τὰς χνόας τοῦ ἄξονος· ἀντὶ τοῦ ἑνικοῦ, ἤγουν τὸ μέρος τοῦ ἄξονος τὸ ἐν τῇ ὀπῇ τοῦ τροχοῦ. 760. Δειλαίας σποδοῦ] δέον οὕτως εἰπεῖν, δειλαίαν σποδὸν μεγίστου σώματος, ἀντιστρόφως εἴρηται, ὥσπερ καὶ ἄλλα μυρία τοιαῦτα εὑρίσκεται.

SCHOL. INED. 759. Κήαντες] Ἀπὸ τοῦ κάω, καύσω. ὁ ἀόριστος, κοινῶς μὲν, ἔκαυσα· ποιητικῶς δὲ, ἔκηα. καὶ ἡ μετοχὴ, ὁ κήας, κήαντος. *Bar.*

Χο. Φεῦ φεῦ, τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
Πρόῤῥιζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
Κλ. Ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
Ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
Εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.
Παι. Τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
Κλ. Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
Πάσχοντι μῖσος ὧν τέκῃ προσγίνεται.
Παι. Μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
Κλ. Οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
Εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
Προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
Μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
Ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
Ἐξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι

Φόνους

768. Ὦ ζεῦ] ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει, πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα, ἥδεται· διὰ δὲ τὸν χορὸν, ἀλγεῖν ὑποκρίνεται. 778. Φυγὰς] ἀντὶ τοῦ φυγών. φυγάδες γὰρ κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκείας πατρίδος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 770. Ἐν τοῖς ἐμαυτῆς] τὸ πᾶν οὕτως, ἐὰν ἐν τοῖς κακοῖς τοῖς ἐμαυτοῦ σώζω τὴν ζωήν. καλὸν (κακόν. L. B.) γὰρ αὐτῆς ἦν τὸ τεθνηκέναι τὸν Ὀρέστην, εἰ ἔσωζε τὸν βίον αὐτῆς. 776. Πίστ' ἔχων τεκμήρια] ἤγουν σημεῖα. λέγων δὴ τὸ διηγήσασθαι τὴν ἐκείνῳ συμβᾶσαν τύχην, καὶ εἰπεῖν ὡς μετ' ὀλίγον οἱ τὴν σποδὴν αὐτοῦ φέροντες ἄνδρες ἀφίξονται. ¶ Σχημ. Τρικλ. 768. Ὦ Ζεῦ] διηνεκάθεια ἤθους Κλυταιμνήστρας ἐπὶ τῷ ἀκούσματι τούτῳ.

SCHOL. INED. 766. Τὸ πᾶν] Τὸ ὅλον γένος τῶν παλαιῶν δεσποτῶν, ὡς φαίνεται, σύῤῥιζον ἐφθάρη. Bar. 768. Πότερον εὐτυχῆ] Ἀντὶ τοῦ, ἄρα δίκαια ταῦτα εἴπω, ἢ δεινὰ μὲν, ἐπικερδῆ δὲ, ἐπειδὴ τοῖς

κακοῖς

Ch. Heu heu! totum ergo veterum dominorum
Radicitus, ut videtur, interiit genus.

Cl. O Jupiter, quid hæc? utrum felicia dicam,
An atrocia quidem, lucrosa tamen? male tamen mordet,
Quod meis ipsius vitam conservo malis.

P. Quid ita animo concidis, mulier, ob ea quæ modo dixi?

Cl. Acerbum est liberos parere: neque enim injuriam licet
Passæ matri odium eorum, quos peperit, accrescit.

P. Frustra igitur, ut videtur, huc venimus.

Cl. Minime quidem frustra: quomodo enim frustra dixeris?
Quando mihi de illius morte certa afferens indicia
Ades, qui ex mea anima prognatus,
Ab uberibus meis, & alimento meo desciscens, exul
Inter exteros egit vitam: neque me, postquam ex hac terra
Exiit, unquam vidit: accusans autem me
Necem

κακοῖς τούτοις τοῖς τοῦ υἱοῦ μου, σώζω ἐγὼ τὸν βίον ἐμαυτῆς. ἤγουν, διὰ τῶν κακῶν καὶ θανάτων τοῦ υἱοῦ μου, ἐγὼ σώζω τὴν ἐμὴν ζωήν. ἀλλὰ λυπηρῶς ταῦτα διάκειται. *Bar.* 771. Τῷ νῦν λόγῳ] Ἀντὶ τοῦ, κατὰ τὸν νῦν λόγον, ἐπὶ τῇ νῦν ἀγγελίᾳ. L. B. 773. Πάσχοντι] Ἤγουν, τῷ γονεῖ. οὐδαμῶς γίνεται) λύπη τῷ παιδὶ, εἰ συμβῇ ὁ παῖς πταῖσαι ἁμάρτημα μεγιστον εἰς τὸν γονέα. L. B. 774. Μάτην] Ἤγουν, ματαίως, ἀκαίρως. τοῦτο λέγει ὁ παιδαγωγὸς ὑποκρινόμενος, ὅτι ὁρᾷ τὴν Κλυταιμνήστραν λυπουμένην. καὶ γὰρ ἐδόκει ὁ παιδαγωγὸς κομίσαι ταύτῃ ἡδέα μηνύματα. *Bar.* 776. Εἴ μοι] Ἤγουν, εἰ προσῆλθες ἐμοὶ, ἔχων ἀσφαλῆ τεκμήρια ἐκείνου θανόντος. L. B.

Φόνους πατρῴους, δεινʼ ἐπηπείλει τελεῖν.
Ὥστʼ οὔτε νυκτὸς ὕπνον, οὔτʼ ἐξ ἡμέρας
Ἐμὲ στεγάζειν ἡδύν· ἀλλʼ ὁ προστατῶν
Χρόνος διῆγέ μʼ αἰὲν ὡς θανουμένην.
Νῦν δʼ ἡμέρᾳ γὰρ τῇδʼ ἀπήλλαγμαι φόβου
Πρὸς τῆσδʼ ἐκείνου τε. ἥδε γὰρ μείζων βλάβη
Ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσʼ ἀεὶ
Ψυχῆς ἄκρατον αἷμα· νῦν δʼ ἕκηλά που
Τῶν τῆσδʼ ἀπειλῶν οὕνεχʼ ἡμερεύσομεν.
Ηλ. Οἴμοι τάλαινα. νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅτʼ ὧδʼ ἔχων
Πρὸς τῆσδʼ ὑβρίζῃ μητρός. ἆρʼ ἔχει καλῶς;
Κλ. Οὔτοι σύ· κεῖνος δʼ ὡς ἔχει, καλῶς ἔχει.
Ηλ. Ἄκουε, Νέμεσι, τοῦ θανόντος ἀρτίως.
Κλ. Ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
Ηλ. Ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
Κλ. Οὐκοῦν Ὀρέστης καὶ σὺ παύσετον τάδε;

Ηλ.

783. Ὁ προστατῶν χρόνος] ὁ ἐπιγινόμενος. 787. Ξύνοικος ἦν μοι] τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις, ἀπέκλαιεν ἑαυτήν, διελύετο ἂν ἡ ὑπόθεσις. 789. Ἡμερεύσομεν] διημερεύσομεν. διημερεύω, τὸ τὴν ἡμέραν διαβιβάζω· οὕτω καὶ διανυκτερεύω· ἐνταῦθα δὲ τὸ διημερεύσομεν ἀντὶ τοῦ βιώσομεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 788. Νῦν δʼ] τοῦτο τὸ νῦν ἐπανάληψίς ἐστι τοῦ προτέρου νῦν. 794. Ἄκουε, Νέμεσι] Νέμεσις, θεὰ μεμφομένη τοὺς τοῖς θανοῦσιν ἐφυβρίζοντας, καὶ τούτους τιμωρουμένη. σύνταξις δὲ τὸ θανόντα πρὸς τὸ Νέμεσις, καὶ μὴ πρὸς τὸ ἄκουε, ὥσπερ τινὲς ποιοῦσιν· ἄλλοι δὲ καὶ λαμβάνουσιν ἔξωθεν τὸ οὕνεκα. 797. Οὐκοῦν Ὀρέστης] εἰ μὲν γράψεις οὔκουν, κατʼ ἐρώτησιν μὲν οὔ· καθʼ ὁμαλισμὸν δὲ εἰρωνικῶς. εἰ δὲ καὶ

παύσατε

Necem ob paternam, atrocia minatus est *mibi* facere.
Ut neque noctu somnus, neque interdiu
Me cooperiat dulcis: sed procedens
Tempus ita compulit me agere vitam, ut semper morituram.
Jam vero hac ipsa die liberor, nihil ut metuam *posthac*
Ab ista illoque. Ista enim majus domesticumque
Erat mihi incommodum, meum exsorbens semper
Animæ meracum sanguinem: jam vero tranquille forsitan,
Quod ad istius attinet minas, vivemus.

El. Hei mihi miseræ: nunc enim lugere licet,
Oresta, tuam calamitatem; quando ita te habens
Ab ista contumelia afficeris matre. num bene se habet?

Cl. Non sane tu: sed ille, ut se habet, recte habet.

El. Audi, Nemesis, eum qui nuper interiit.

Cl. Audiit quos oportet, & decrevit recte.

El. Insulta. nunc enim felix es.

Cl. Tune ergo & Orestes extinguere hæc cogitatis?

El.

παύσατον γράψῃς (εὕρηται γὰρ καὶ τοῦτο) προςακτικῶς ἐρεῖς οὕτως, οὐκοῦν παύσατε τάδε σύ τε καὶ Ὀρέστης, εἰ δύνασθε.

SCHOL. INED. 782. Ὥς᾽ οὔτε] Ὥστε οὔτε κατὰ τὸν καιρὸν τῆς νυκτὸς, οὔτε κατὰ τὸν καιρὸν τῆς ἡμέρας, ἦν δυνατὸν ἐμὲ λαβεῖν γλυκὺν ὕπνον ὑπὸ τὴν στέγην. ἀλλ᾽ ὁ ἐνιστάμενος χρόνος διεβίβαζεν ἐμὲ ἀεὶ ὡς θανουμένην. *Bar.* 789. Τῶν τῆσδ᾽ ἀπ.] Ἕνεκα τῆς ταύτης ἀπειλῶν. ἤγουν, ἵνα μὴ κακολογῇ ἡμᾶς, καὶ ἵνα μὴ κατακρίνῃ ἡ Ἠλέκτρα, ὅτι οὐκ ἐλυπήθημεν ἐπὶ θανάτῳ τοῦ Ὀρέστου, οὐδὲ ἐθρηνήσαμεν αὐτὸν, ἄγε ἵνα μεθ᾽ ἡσυχίας ποῦ καὶ ἡμεῖς τὸ τῆς παρούσης ἡμέρας διαβιβάσωμεν διάστημα. *Bar.* 794. Ἄκουε, Νέμεσις] Ἤγουν, ἄκουε, ὦ Νέμεσις, τίνας εἰρωνείας λέγει, κατὰ τοῦ θανόντος ἀρτίως. *Bar.*

799. Πολλῶν

Ηλ. Πεπαύμεθ' ἡμεῖς, οὐχ' ὅπως σε παύσομεν.

Κλ. Πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
Εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.

Παι. Οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.

Κλ. Ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
Πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου.
Ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοσθεν βοᾶν
Ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.

Ηλ. Ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη,
Δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
Τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
Ἀλλ' ἐγγελῶσα, φροῦδος. ὦ τάλαιν' ἐγώ,
Ὀρέστα φίλταθ' ὥς μ' ἀπώλεσας θανών.
Ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς
Αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
Σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
Κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
Μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
Καὶ πατρὸς ἤδη. δεῖ με δουλεύειν πάλιν
Ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ

Φονεῦσι

799. Πολλῶν ἂν ἄξιος] ἄξιος ἂν εἴης, ὦ ξένε, διὰ τὴν ὁδὸν, ἣν ἦλθες, τυχεῖν πολλῶν ἀγαθῶν. 803. Πορεύσαντας] ἀποστείλαντας. πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τοῦ ἄγω. ὡς παρὰ Πλάτωνι, ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. ἀντὶ τοῦ ἀγαγεῖν. ἐνταῦθα δὲ πορεύσαντος ἀντὶ τοῦ πέμψαντος, λέγεται. 804. Ἀλλ' εἴσιθ' εἴσω] περισσὸν τὸ εἴσω. τὸ γὰρ εἴσιθι τὸ εἴσω ἐλθὲ δηλοῖ. εἰσῆλθε δὲ εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον. τὸ γὰρ εἰσῆλθε δηλοῖ μὲν τὸ εἴσω ἦλθε, οὐ μήν

El. Nos quidem ipsi sumus extincti, adeoque non
te extinguere valemus.

Cl. Multa venisti, O hospes, dignus consequi *præmia*,
Si hujus extinxisti petulantes clamores.

P. Discedere ergo licet, si recte hæc se habent.

Cl. Minime *abibis*: quoniam neque me dignum
Sic faceres, neque, qui misit, hospite.
At ingredere intro: istam vero foris clamare
Sine suasque ipsius, & amicorum miserias.

El. Num vobis (ut mæsta curisque mater afflicta *solet*)
Graviter lacrymare, & plorare videtur
Ob filium impia sic *miserrime* perditum?
Non, sed irridens intus se abripuit. O me miseram!
Oresta charissime, ut me tua perdidisti morte!
Avulsa enim prius ex animo meo abis,
Quæ mihi sola aderat jam reliqua, spe.
Te *nempe* patris fore aliquando vivum ultorem
Meique miseræ. nunc vero quo me ire oportet?
Sola enim sum, teque jam privata
Et patre: serviendum est mihi denuo
Inter inimicissimos hominum mihi,

Patris

μὴν καὶ ὅποι εἰσῆλθεν ὡρισμένως. διὸ ἐπάγεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν, καὶ οὐ δοκεῖ φορτικόν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 798. Πεπαύμεθ' ἡμεῖς] οὕτως ἦν τὸ σαφὲς, οὐ μόνον οὐ παυσόμεθά σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς· νῦν δὲ προθεὶς τὸ πεπαύμεθα, εἶτ' ἐπενεγκὼν τὸ, οὐχ ὅπως σε παυσόμεθα, ἀσάφειάν τινα ἐποίησε. σὺ δὲ, ὡς ἔφαμεν, λέγε συντάσσων. 816. Καὶ πατρὸς ἤδη] τὸ ἤδη εἰ μὲν ἀντὶ τοῦ πάλαι νοήσῃς, πρὸς τὸ πατρὸς συνάψῃς· εἰ δὲ ἀντὶ τοῦ νῦν, πρὸς μὲν τὸ πατρὸς στίξῃς, αὐτὸ δὲ πρὸς τὸ ἐπαγόμενον συνάψεις.

SCHOL. INED. 799. Ὦ ξένε] Ἄξιος ὑπάρχεις τυχεῖν πολλῶν χαρίτων, ἕνεκα ὧν ἥκεις καὶ ἦλθες. ἐπειδὴ ταύτην τὴν Ἠλέκτραν ἔπαυσας τῆς πολυλόγου βοῆς. *Bar.* 817. Ἐχθίστοισιν ἀνθ.] Ἐχθρός μοι ἐστὶν ὁ δεῖνα. καθὸ ἁπλοῦν, δοτικῇ. ἔχθιστος δὲ τῶν ἀνθρώπων. καθὸ ὑπερθετικὸν, γενικῇ. L. B.

825. Ποῦ

Φονεῦσι πατρός· ἆρά μοι καλῶς ἔχει;
Ἀλλ' οὔτι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
Ξύνοικος ἔσομ'· ἀλλὰ τῇδε πρὸς πύλῃ
Παρεῖσ' ἐμαυτήν, ἄφιλος αὐανῶ βίον·
Πρὸς ταῦτα, καινέτω τις εἰ βαρύνεται
Τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ·
Λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ. α'

Χο. Ποῦ ποτε κεραυνοὶ Διός, ἢ
Ποῦ φαέθων Ἅλιος,
Εἰ ταῦτ' ἐφορῶντες
Κρύπτουσιν ἕκηλοι;
Ηλ. Ἒ ἔ, αἰ αἰ.
Χο. Ὦ παῖ, τί δακρύεις;
Ηλ. Φεῦ.
Χο. Μηδὲν μέγ' ἀΰσῃς.

Ηλ.

825. Ποῦ ποτε κεραυνοὶ Διός] ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν, ἔλεγε, θάρσει μοι τέκνον, θάρσει. ἔστι μέγας ἐν οὐρανῷ Ζεύς, καὶ τὰ ἑξῆς. νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας, καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴγε περιορῶσι τοιαῦτα γιγνόμενα· καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν· τὸν δὲ Δία, ὡς πάντων δεσπότην ὄντα. δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς οὐρανόν, καὶ τὰς χεῖρας ἀνατεῖναι. ὃ δὴ κωλύει ὁ χορός, Μηδὲν μέγ' ἀΰσῃς. 826. Φαέθων] ἐπίθετον ὄνομα ἐνταῦθα, ἀντὶ τοῦ λάμπων. λέγεται δὲ Φαέθων καὶ ὁ υἱὸς τοῦ Ἡλίου καὶ ὁ ἕτερος τῶν ἵππων αὐτοῦ. 827. Εἰ ταῦτ' ἐφορῶντες κρύπτουσι]

Patris *mei* ſicarios. num res mea bene ſe habet?
At nequaquam ego quidem in poſterum
Cum illis habitare ſuſtinebo, ſed has ipſas ad fores
Meipſam abjiciens, orba amicis reliquam conficiam vitam.
Propter quæ ſi cui ægre eſt eorum, qui intus ſunt,
Occidat licet. nam beneficium erit, ſi occiderit,
Dolor vero, ſi vivam; vitæ quia nulla jam cupido.

ANTISTROPHICA. STROPHE 1.

Ch. Ubi tandem ſunt Jovis fulmina, vel
Ubi ſplendidus Phœbus,
Si hæc intuentes
Supprimunt taciti, nec vindicant?
El. He, He, Heu, Heu.
Ch. Filia, quid lachrymas?
El. Heu!
Ch. Ne altum nimis clamaveris.

El.

σιν] οἷοι, οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν. 829. Ἒ ἒ, αἲ αἲ] θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν. ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτον μέρος. ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 828. Κρύπτουσιν] τοῦτ' ἔστιν ἡσύχως φέρουσιν, οὐ δεικνύουσιν ἀγανακτοῦσι. 832. Μέγ' ἀΰσῃς] ἤγουν βοήσῃς, εἴπῃς. ἤγουν μὴ πρὸς θρήνους ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀργὴν Κλυταιμνήστραν κινήσῃς.

SCHOL. INED. 821. Αὐανῶ βίον] Ἀντὶ τοῦ, τὰ σκληρότητος διαβιβάσω. διαβιβάσω τὸν βίον, ἄφιλος. ἤγουν ἐστερημένη φιλίας. μὴ ποιήσασα σπονδὰς μετὰ τοῦ Αἰγίσθου, καὶ τῆς Κλυταιμνήστρας. L. B. 823. Χάρις] Ἤγουν, εὐεργεσία, εὐχαριστία ἐμοὶ δηλονότι. χαρίζομαι τὸ δωροῦμαι. καὶ τὸ χάριν ποιῶ. L. B. 825. Ποῦ ποτε] Ἀγανακτῶν ὁ χορὸς τοῦτο λέγει. καὶ ἀμφιβάλλων εἰ εἰσὶν οἱ κεραυνοὶ τοῦ Διός, καὶ ὁ Ἥλιος, οὔτε ἡσυχίαν ἄγουσι τοιούτων γινομένων. L. B.

Ηλ. Ἀπολεῖς με.

Χο. Πῶς;

Ηλ. Εἰ τῶν φανερῶς οἰ-
χομένων εἰς ἀΐδαν
Ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ
Τακομένας
Μᾶλλον ἐπεμβάσῃ.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Χο. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων
Χρυσοδέτοις ἕρκεσι

Κρυφθέντ'

833. Ἀπολεῖς με] ἀποκναίσεις με (φησὶν) ἐν ταῖς ἀθεραπεύτοις παρηγοροῦσα. δαιμονίως δὲ τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ χοροῦ ἐπιτιμήσεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς (ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημεῖν. καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τοῦτό φησιν. οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν. 840. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις] ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ δοθέντος ὅρμου Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. Ἄλλως. Χρυσοδέτοις ἕρκεσιν, οὐκ ἐπὶ τῶν ἁρμάτων φησὶν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις. ἅπερ ἕρκη εἶπεν, οἷον περιφράγματα καὶ τείχη ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' συνεσχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις, τῷ ὅρμῳ ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος. τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ ὅρμου γενομένῃ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 837. Ἐλπίδ' ὑποίσεις] ὑπενέγκῃς, ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τις μοι γενήσεται. 839. Ἐπεμβάσῃ] ἤγουν ἐπιπέσῃς νενικημένῃ, καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν. 841. Ἕρκεσιν] ἤγουν τοῖς περιδεραίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ, τῇ σφετέρᾳ μὲν ἀδελφῇ, ἐκείνου δὲ τοῦ Ἀμφιάρεω γυναικὶ, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. ἅτε γὰρ μάντις ὢν, ᾔδει ἀπολουμένην τὴν στρατιάν· καὶ διὰ τοῦτο οὐκ ἤθελε στρατεῦσαι. εἰκότως δὲ τὰ περιδέραια ἕρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. φασὶ δὲ ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτοῦ τὸ λοιπόν.

ἰστέον

El. Enecabis me.
Ch. Quomodo?
El. Si de iis, qui manifeste
Ad Orcum abierunt
Spem *importuna* suggeres, in me
Dolore jam tabidam
Magis insultabis.

ANTISTROPHE 1.

Ch. Quidni spem suggeram? Novi enim regem Amphiaraum
Aurea propter monilia
Demersum

ἰστέον δὲ ὅτι οὐ χρὴ γράφειν, γυναικῶν ἀπάταις (οὐ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. περισσὸν γάρ ἐστι τὸ γυναικῶν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ) ἀλλὰ κρυφθέντα ἀπάταισι γράφε. τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

SCHOL. INED. 835. Εἰ τῶν φανερῶς] Εἰ τῶν φανερῶς ἀπεληλυθότων εἰς ᾅδην ἐλπίδα λαθοῦσα προτενεῖς, μᾶλλον ἐπιτεθήσῃ κατ' ἐμοῦ διαῤῥεομένης. L. B. 840. Ἀμφιάρεων] Ἀμφιάρεως ἦν ἄριστος μάντις καὶ ἀψευδής. ὅστις ᾔδει τὸν ἐσόμενον θάνατον τοῖς ἀπερχομένοις ἐς τὸν Θηβαϊκὸν πόλεμον, ὑπὸ τῷ στρατηγῷ Ἀδράστῳ. ὑφ' οὗ Ἀδράστου πολλὰ βιασθεὶς καὶ μηδόλως ὑπείξας ἐς Θήβας συναπελθεῖν, πείθεται ὕστερον ὑπὸ τῆς ἰδίας αὐτοῦ γυναικὸς Ἐριφύλης ἀπελθεῖν, ἥτις αὖ ὑπὸ Ἀδράστου ἀπατηθεῖσα δώροις, ἅ τινα δῶρα ἦσαν χρυσόδετα ἕρκεα, ἤγουν κόσμος τις γυναικεῖος, ἠνάγκασε τὸν Ἀμφιάρεων ἀπελθεῖν· διὸ καὶ ἐτιμωρήθη πρὸς τοῦ υἱοῦ Ἀλκμαίωνος. ἀπελθὼν γὰρ ὁ Ἀμφιάρεως εἰς τὸν πόλεμον ἀναιρεῖται. ὁ δὲ υἱὸς αὐτοῦ Ἀλκμαίων, μαθὼν ὅτι ὑπὸ τῆς Ἐριφύλης κατεπείσθη, ἀπέκτεινε ταύτην. *Bar.* 841. Χρυσοδέτοις ἕρκεσι] Ἤγουν τοῖς δώροις τοῖς χρυσείοις, ἃ αἴτια γεγόνασι τῆς ἀναιρέσεως τοῦ Ἀμφιάρεω. οἱ μὲν ἑρμηνεύουσι τοῦτο κατὰ μεταφορὰν, ἤγουν ὥσπερ π...α πόλις διὰ τοῦ ἕρκους, εἴτουν τείχους ἀποκλείεται κύκλῳ, καὶ εἴργεται τῆς ἐλευθερίας ἕκαστος τῶν οἰκούντων ἐν αὐτῇ, τῆς ἐλευθερίας λέγω τὴν ἔξοδον, καὶ μὴ βουλομένου τοῦ θυρωροῦ, οὐδεὶς ἐξέρχεται ἢ εἰσέρχεται, κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ Ἐριφύλη εἶρξε τὸν ἄνδρα αὐτῆς Ἀμφιάρεων τῆς θελήσεως αὐτοῦ, διὰ τῶν χρυσοδέτων ἕρκεων, ἃ, καθὰ δὴ περιφράγματα καὶ τείχη, οὐκ ἠδυνήθη ὁ Ἀμφιάρεως φυγεῖν. ἤγουν ἕνεκα τῶν δώρων τῶν χρυσῶν, ἃ ἐδωρήσατο αὐτῇ,

Κρυφθέντ' ἀπάταισι·
Καὶ νῦν ὑπὸ γαίας
Ηλ. (Ἒ ἔ. ἰώ:)
Χο. Πάμψυχος ἀνάσσει.
Ηλ. Φεῦ.
Χο. Φεῦ δῆτ'· ὀλοὰ γάρ.
Ηλ. Ἐδάμη γάρ.
Χο. Ναί·
Ηλ. Οἶδ', οἶδ'· ἐφάνη γὰρ
Μελέτωρ ἀμφὶ τὸν ἐν
Πένθει. ἐμοὶ δ' οὔτις ἔτ' ἔ-
σθ'· ὃς γὰρ ἔτ' ἦν,

Φροῦδος.

ὁ Ἄδρασος. ἐκεῖνος γὰρ ὁ Ἀμφιάρεως προϊδὼν τὴν ἀναίρεσιν αὐτοῦ, καὶ μὴ θέλων ἀπελθεῖν εἰς τὸν πόλεμον, ὅμως ὑπὸ Ἐριφύλης ἠναγκάσθη τοῦτον, ὅτι καὶ ἀπελθὼν ἀνῃρέθη. ἄλλοι δὲ, ἑρμηνεύουσι τοῦτο ἄλλως λέγουσι γὰρ, ὅτι χρυσόδετα ἕρκη, εἶναί τινα κόσμον γυναικεῖον, ὅν τινα ἐπιτίθουν τῷ τραχήλῳ, ὥσπερ ἕρκος. ἦν δὲ χρυσόπλεκτος, καθὰ ἅλυσις. ἵνα δὲ τοιοῦτον δωρησάμενος τῇ Ἐριφύλῃ ὁ Ἄδρασος, ἠπάτησεν, ἵνα τὸν ἄνδρα αὐτῆς Ἀμφιάρεων καταπείσῃ ἀπελθεῖν εἰς τὸν Θηβαϊκὸν πόλεμον. ὅθεν φησὶν ἡ Ἠλέκτρα, οἶδα τὸν ἄνακτα Ἀμφιάρεων κρυφθέντα, ἤγουν καταταφέντα, Χρυσοδέτοις ἕρκεσι. τουτέστι, τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ χρυσοῦ δώρου τούτου γινομένῃ, καὶ τοῖς δόλοις τῆς γυναικὸς αὐτοῦ. *Bar.*

842. Γυναικῶν ἀπάταις] ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἰκάσειν, ὅτι καὶ ἕτος διὰ γυναικῶν ἀπώλετο. Ἄλλως. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων, ὁ χορὸς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία. τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν. 844. Ἒ ἔ] οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα. 845. Πάμψυχος ἀνάσσει] ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει. ἃ δὴ ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς. ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος. 846. Φεῦ] μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ, ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. 847. Φεῦ δῆτ'· ὀλοὰ γὰρ] ὁ χορὸς συγκατατιθέμενος, φησὶν ὅτι δικαίως ἀνεβόησας·

ὀλοὴ

Demersum *uxoris* fraude.
Qui tamen nunc sub terra
El. (He, He, Heu, Heu.)
Ch. Immortalis imperat.
El. Heu!
Ch. Heu inquis, *apage.* perniciosa enim *mulier.*
El. Domita nempe fuit.
Ch. Imo illud volo.
El. Novi, novi: quippe repertus est
Curator & *vindex* viri
Lugubris: mihi vero nemo amplius superest;
Qui enim superfuit,

Evanuit

ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη. ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός. ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα. 848. Ἐδάμη] ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός. ὁ χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ναί. 850. Οἶδ', οἶδ'· ἐφάνη] οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ τουτέστι τιμωρὸς τοῦ πατρός. ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος. ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ἐμοὶ δ' οὔτις. 851. Μελέτωρ] φροντιστής. ὁ ἐπιμελὴς γέγονε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον τοῦ Ἀμφιαράου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 845. Πάμψυχος ἀνάσσει] ἤγουν πασῶν τῶν ψυχῶν ἀνάσσει· ἢ ὅλος ζῶν ἀνάσσει. ἢ ζῶν ἀνάσσει. 847. Φεῦ δῆτ'· ὀλοὰ] ἐπὶ θηλυκοῦ ληπτέον τὸ ὀλοὰ, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ἤγουν ὀλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. ἐδάμη γὰρ ὑπὸ τοῦ υἱοῦ αὐτῆς Ἀλκμαίωνος. εἰ δ' ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

SCHOL. INED. 843. Ὑπὸ γαίας] Ὁ ὑπὸ κάτω τῆς γῆς πάμψυχος Πλούτων ἀνάσσει αὐτοῦ. πάμψυχος, ἐπίθετον. λέγεται δὲ οὕτω, διὰ τὸ κυριεύειν ἁπασῶν ψυχῶν. εἰ μὲν τὸ πάμψυχος ἀποδιδῷς τῷ Πλούτωνι, ἑρμήνευε οὕτω. καὶ νῦν ὁ ὑπὸ γαίας πάμψυχος Πλούτων δηλονότι, ἤγουν ὁ κυριεύων ἁπασῶν ψυχῶν, ἀνάσσει αὐτοῦ τοῦ Ἀμφιάρεως, εἰ δὲ τῷ Ἀμφιάρεῳ ἀποδιδῷς, ἑρμήνευε οὕτω. καὶ νῦν ὑπὸ γαίας πάμψυχος ἀνάσσει. ἤγουν ἁπασῶν τῶν ψυχῶν τῶν ὑπὸ κάτω τῆς γῆς, ὑπερέχει, ὡς δίκαιος καὶ μάντις ἀληθινός. *Bar.* 850. Οἶδ'] Τέσσαρα ὅμοια, εἴδω, εἴσω, καὶ ὁ μέσος παρακείμενος, οἶδα. εἴκω, εἴξω, οἶκα, καὶ ἔοικα. πείθω, πείσω, πέποιθα. λείπω, λείψω, λέλοιπα. *Bar.*

855. Δειλαία

Φροῦδος ἀναρπασθείς.

ΣΤΡΟΦΗ β'.

Χο. Δειλαία δειλαίων κυρεῖς.
Ηλ. Κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
Πανσύρτῳ παμμήνῳ πολλῶν
Δεινῶν στυγνῶν τ' Ἀχαιῶν.
Χο. Εἴδομεν ἃ θρηνεῖς.
Ηλ. Μή με νῦν μηκέτι
Παραγάγῃς, ἵν' οὐ
Χο. Τί φῄς;

Ηλ.

855. Δειλαία δειλαίων] καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἶτι παραχωρεῖν τοῖς λυπουμένοις, καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς. Ἄλλως. εἴρηται ὑπερβολικῶς ὡς τὸ ἑορτὴ ἑορτῶν, οὕτως ἀθλιωτάτη ἀθλιωτάτων. Κυρεῖς] ἤγουν ὑπάρχεις. 856. Κἀγὼ τοῦδ' ἴστωρ] οἶδα (φησὶν) ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων. Ἄλλως. κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι. 857. Πανσύρτῳ] τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. Παμμήνῳ] τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμὶ, οἷον κατ' αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν. 860. Μή με νῦν μηκέτι] μηκέτι οὖν με (φησὶ) παρηγορήσητε (παρηγορήσῃς, Bar.) ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τοῦ ἀδελφοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 856. Κἀγὼ τοῦδ' ἴστωρ] καὶ ἐγὼ ἴστωρ καὶ ἐπιστήμων καὶ ὑπερίστωρ εἰμὶ τοῦδε· ὅτι δηλονότι δειλαία κυρῶ καὶ ὑπάρχω, ἤγουν ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλίων, ἕνεκα τῶν πολλῶν δεινῶν, τῶν πανσύρτων καὶ πάντα συρόντων, καὶ ἀπολλύντων, καὶ στυγνῶν, ἤτοι τῶν στυγνάζειν ποιούντων, ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ. ἤγουν, ἐπίσταμαι ὅτι ἀθλιωτέρα εἰμὶ τῶν Ἀχαιῶν, τῶν διὰ τοῦτο ἀθλίων ὅτι πολλῶν δεινῶν πανσύρτων καὶ στυγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ὃν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψῃς (ἐν τισὶ γὰρ τῶν πάνυ παλαιῶν οὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον. εἴγε μὴν πανσύρτῳ (ἐν πολλοῖς γὰρ καὶ οὕτως εὕρηται) πρὸς τὸ παμμήνῳ συνάψῃς· ἤγουν τῷ διηνεκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι τῷ πολυκινήτῳ. ἐπεὶ δ' ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν

στυγνῶν

Evanuit vi abreptus.

STROPHE 2.

Ch. Misera, miserias sustines.
El. Et ego hoc satis superque scio,
Denso ex impetu, perpetuaque serie multorum
Atrocium tristiumque malorum.
Ch. Novimus quæ ploras.
El. Ne igitur, ne nunc me amplius
Soleris, ubi nulla
Ch. Quid dicis?

El.

συγγνῶν τ' Ἀχαιῶν (ἐκεῖνο γὰρ ἐκ παραδόσεων δι' ὅλου σύγκειται) ἀρχαίων φημὶ δεῖν γράφειν (ἀπὸ τούτου γὰρ καὶ τὸ Ἀχαιῶν ἐν πολλοῖς τῶν βιβλίων εὕρηται), τοῦ ρ κατὰ λήθην τοῦ γραφέως ἐκλελοιπότος) καὶ οὕτω συνάπτειν, καὶ ἐγὼ ἴσως ὑπερίστωρ εἰμὶ τοῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ συγγνῶν. ἀρχαῖα δέ φησι τὰ δεινὰ, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος ἱππείας, καὶ τοῦ φόνου Μυρτίλου, οὐκ ἔλιπε τοὺς οἴκους αὐτῶν πολύπονος αἰκία. 861. Παραγάγῃς ἵν' οὐ] τὸ ἵν' οὐ, πρὸς τὸ πάρεισι συναπτέον· εἰ καὶ τὸ τί φῄς, διὰ μέσου τίθεται. συντάσσεται δὲ οὕτω, μή με νῦν μηκέτι παραγάγῃς, ἵνα καὶ ὅπου οὐ πάρεισιν ἐλπίδες ἐλπίδων, τῶν εὐπατριδῶν κοινοτόκων, ἤγουν τοῦ εὐγενοῦς Ὀρέστου τοῦ ἐμοῦ ἀδελφοῦ ἀρωγοὶ ἐμοί. ἤγουν, μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέστου, ὡς ἥξει ἐμοὶ βοηθός. ἰστέον δὲ ὅτι τὸ τί φῄς, πάρεισιν ἐλπίδων, ἓν κῶλόν ἐστι. τὰ γὰρ δύο πρόσωπα ἓν ἀποτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ πρώτῃ ἀντιστροφῇ δείκνυται. διὸ τὸ αὐδᾷς δὲ ποῖον, ἀμελοστὸν ἂν ἐξεβλήθη παρ' ἐμοῦ. ταὐτὸν γάρ ἐστι τῷ τί φῄς.

SCHOL. INED. 854. Ἀναρπασθεὶς] Ἀναρπάζω· ὁ μέλλων, ἀναρπάξω ποιητικῶς, ἀναρπάσω κοινῶς· ὁ παρακείμενος ἀνήρπακα. ὁ παθητικὸς, ἀνήρπασμαι. ὁ ἀόριστος ἀνηρπάσθην, ἡ μετοχὴ ἀναρπασθείς. *Bar.* 855. Δειλαία δειλ.] Ἤγουν, ἀθλία ἀθλίων ὑπάρχεις, ὑπερβολικῶς. ὡς ματαιότης ματαιοτήτων, καὶ ἑορτὴ ἑορτῶν. τουτέστιν ἀθλιωτάτη καὶ ἀποκρύψασα τὴν ἀθλιότητα τῶν ἄλλων, ὡς μόνην αὐτὴν ἐν ταῖς ἀθλίαις δοκεῖν ἀθλίαν. L. B. 857. Πασσύρτῳ] Πάσσυρτος χρόνος, ὁ κατὰ πάντα σύρων καὶ ἕλκων· κατὰ συγκοπὴν, καὶ τροπῆς τοῦ ν εἰς σ, διὰ τὸ ἐπαγόμενον. Παμμήνῳ] Πάμμηνος δὲ χρόνος, ὁ ἐν αὐτῷ ἔχων πάντας τοὺς μῆνας. κατὰ τροπὴν τοῦ ν εἰς μ, διὰ τὸ ἐπαγόμενον μ. πάμμηνος δὲ καταχρηστικῶς, ὁ πολυχρόνιος. *Bar.*

864. Κοινοτόκων]

Ηλ. Πάρεισιν ἐλπίδων
Ἔτι κοινοτόκων
Εὐπατριδᾶν τ' ἀρωγοί.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. " Πᾶσι θνατοῖς ἔφυ μόρος.
Ηλ. Ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
Οὕτως ὡς κείνῳ δυστάνῳ
Τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
Χο. Ἄσκοπος ἁ λώβα.
Ηλ. Πῶς γὰρ οὔκ; εἰ ξένος
Ἄτερ ἐμᾶν χερῶν;
Χο. Παπαῖ.
Ηλ. Κέκευθεν οὔτε του
Τάφου ἀντιάσας,
Οὔτε γόων παρ' ἡμῶν.

864. Κοινοτόκων] τῶν ἀπὸ ἀμφοῖν τῶν γονέων. τινὲς, τῶν πᾶσι κοινῶν. διὰ δὲ τοῦ εὐπατριδῶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον. οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος. ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων. 867. Ἦ καὶ χαλαργοῖς] ταῖς λευκόποσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν. εἰπόντος δὲ τοῦ χοροῦ, πᾶσι θνητοῖς ἔφυ μόρος, ἀντιτίθησιν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς; 869. Τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη. 870. Ἄσκοπος] ἀπροόρατος ὁ θάνατος. 871. Πῶς γὰρ οὔκ, εἰ ξένος] τοῦ χοροῦ εἰπόντος, ἀπροϊδὴς ἡ κατὰ τὸν ἀγῶνα, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν, καὶ ἐμοῦ χωρίς. 874. Κέκευθεν] ἀντὶ τοῦ κρύπτεται.

El. Sunt ſpei
Ex germano fratre amplius
Et nobili, ſubſidia.

ANTISTROPHE 2.

Ch. Omnibus mortalibus natura mors eſt deſtinata.
El. An & equeſtribus in certaminibus
Cuique, ut huic miſero, deſtinatum eſt,
Loris ſectilibus implicari?
Ch. Improviſa ſane calamitas.
El. Quidni improviſa? ſi terra in peregrina
Sine meis manibus
Ch. Papæ.
El. Conditus eſt, neque
Sepulchrum nactus,
Neque luctus à nobis *debitos*.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 867. Ἐν ἁμίλλαις] διὰ τοῦ εἰπεῖν ἁμίλλαις, ἐδήλωσε τὸ ἵπποις· τούτων γὰρ ἡ ἅμιλλα. τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς (ϗ τοὺς πόδας, ἀπὸ μέρους τὸ πᾶν) ἀργὰς ἔχουσι κατ' ἀντίφρασιν, ὥσπερ ἐστὶ ϗ τὸ σόμαργος ϗ τὸ πύγαργος· ἢ χαλαργοῖς ϗ λευκόποσιν.

SCHOL. INED. 865. Ἀρωγοὶ] Αἱ ἀπὸ τῶν κοινοτόκων ἀδελφῶν. 867. Ἦ ϗ χαλαργοῖς] Ἡ σύνταξις οὕτως. εἰπόντος τοῦ χοροῦ, ὅτι πᾶσι θνητοῖς ἔφυ μόρος, φησὶν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω θνητοῖς τελευτᾷν ἐν ταῖς ἱππικαῖς ἁμίλλαις, (ὥσπερ πέπρωται) τοῖς (ὥσπερ πέπρωται) ἐκείνῳ τῷ δυστήνῳ Ὀρέστῃ ἐγκύρσαι ϗ ἐντυχεῖν τοῖς τμητοῖς ἐχιστομένοις ὁλκοῖς, ἤγουν λωροῖς; *Bar.* 871. Πῶς γὰρ οὐκ] Ναὶ, καλῶς ἔφης. πῶς γὰρ οὐκ ἔστιν ἀνέλπιστος ἡ βλάβη, ἐπειδὴ ϗ ὁ Ὀρέστης ξένος ἀπώλετο δηλονότι ϗ κέκευθεν; *Bar.* 874. Κέκευθεν] Τὸ κέκευθεν, ἀλλοίωσις ἐστὶ κατὰ διάθεσιν. ἐνεργητικὸν ὂν λαμβάνεται ἀντὶ παθητικοῦ, ἤγουν, ἐσκεπάσθη, ἐκρύβη. ἢ ὂν τὸ κέκευθεν μέσος παρακείμενος ἀπὸ τοῦ κεύθω, κεύσω, κέκευκα. ὁ μέσος παρακείμ. κέκευθα, δύναται εἶναι ϗ ἐνεργητικὸς, ϗ παθητικός. *Bar.*

ΧΡΥΣΟΘΕΜΙΣ, ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Χρ. Ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
Τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
Φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν ὧν
Πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
Ηλ. Πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
Ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
Χρ. Πάρεστ' Ὀρέστης ἡμῖν· ἴσθι τοῦτ' ἐμοῦ
Κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
Ηλ. Ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
Σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
Χρ. Μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει

Λέγω

877. Ὑφ' ἡδονῆς τοι] ἡ Χρυσόθεμις παραγίγνεται τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις ἡ Ἠλέκτρας γένηται. 878. Σὺν τάχει μολεῖν] λείπει ἡ ὑπέρ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν. 881. Τῶν ἐμῶν σὺ πημάτων] τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον. 884. Κλύουσ' ἐναργῶς] ἐπὶ τοῦ κλύουσα, πρὸς βραχὺ διαστικτέον· ἵνα ᾖ, πάρεστ' ἐναργῶς. ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 882. Οἷς ἴασιν] εἰ μὲν ἴασιν γράψεις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἐστίν. 884. Κλύουσ' ἐναργῶς] ἤγουν φανερῶς. τοῦτο δὲ ἢ πρὸς τὸ πάρεστι σύναπτε, ἢ πρὸς τὸ ἴσθι. ¶ Σχῆμ. Τρικλ. 877. Ὑφ' ἡδονῆς] ὑποστροφὴ Χρυσοθέμιδος μετά τινος εὐφροσύνης.

SCHOL.

CHRYSOTHEMIS, ELECTRA, CHORUS,

Iambi.

Chr. PRÆ gaudio quidem, O chariſſima, compel-
Decoro omiſſo, citius huc accurrere. (lor,
Affero enim voluptateſque & requiem illorum, quæ
Olim ferebas & ingemiſcebas malorum.
El. Unde autem invenias tu meorum malorum
Levamen, quibus nullam medelam conſpicor?
Chr. Adeſt Oreſtes nobis: hoc ſcito ex me
Audiens, *tam* certum eſſe, ut *jam* intueris me.
El. At tu profecto inſanis, O miſera, & tuis
Ipſius malis & meis irrides?
Chr. Non per patrios Deos *rideo*, nec *ulla* contumelia
Iſta

SCHOL. INED. 878. Τὸ κόσμιον] Ἤγουν τὴν κοσμιότητα, τὸ κόσμιον Ἀττικῶς, ἀντὶ τοῦ κόσμου, καὶ τὴν εὐταξίαν· ὡς τὸ ῥητόρικον τοῦ λόγου, ἀντὶ τοῦ, ὁ ῥητορικὸς λόγος. L. B. 879. Ἀνάπαυλαν] Ἀνάπαυσις καὶ κατάπαυσις λέγεται. ἀνάπαυλα δὲ μόνον οὐχὶ καὶ κατάπαυλα. ἀνάπαυσιν τῶν κακῶν, ὧν εἶχες πρότερον καὶ ἔστενες. L. B. 883. Πάρεστ'] Πάρεστιν ὁ Ὀρέστης ἡμῖν ἐναργῶς οὕτως ὥσπερ ὁρᾷς ἐμὲ παροῦσαν δηλονότι ἐναργῶς. ἴσθι τοῦτο, ἤγουν γίνωσκε, κλύουσα ἐμοῦ. L. B. 885. Ἀλλ'] Ὁ ἀλλὰ ἐνίοτε μέν ἐστι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς, καὶ συστάσει ἑτέρου· οἷον, οὐκ ἔστι τόδε· ἀλλὰ τόδε. καὶ ὅτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται νοουμένης ἑτέρας ἀναιρέσεως. οἷον, ἔστι τόδε· ἀλλὰ καὶ τόδε. ἀντὶ τοῦ, οὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων. ὡς ἔχει τὸ, ἀσπίδα, φρῦνον, ὄφιν, καὶ λαοδικέας περιέφυγε, καὶ κύνα λυσσητήν. καὶ πάλιν λαοδικέας, ἀλλὰ τὰς πινακίδας ἄθλιος. ὁ λαοδικεὺς ἔχει λαβών. ἐνίοτε δὲ, ὁ ἀλλὰ ἐστὶ συλλογιστικὸς, καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος, ὡς ἐνταῦθα. ἀλλ' ἢ μέμηνας· καὶ ἀλλὰ μὴν τόδε ἐστίν. L. B.

Ηλ. Ἀπολεῖς με.

Χο. Πῶς;

Ηλ. Εἰ τῶν φανερῶς οἰ-
χομένων εἰς Ἀΐδαν
Ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ
Τακομένας
Μᾶλλον ἐπεμβάσῃ.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Χο. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων
Χρυσοδέτοις ἕρκεσι

Κρυφθέντ'

833. Ἀπολεῖς με] ἀνέκλησε με (φησὶν) ἐν τοῖς ἀθεραπεύτοις παρηγοροῦσα. δαιμονίως δὲ τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ χοροῦ ἐπιτιμήσεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς (ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν. καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τοῦτό φησιν. οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν. 840. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις] ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ δοθέντος ὅρμου Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. Ἄλλως. Χρυσοδέτοις ἕρκεσιν, ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις. ὥσπερ ἂν εἴπῃ, οἷον περιφράγματα καὶ τείχη ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' συνεχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις, τῷ ὅρμῳ ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος. τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ ὅρμου γενομένῃ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 837. Ἐλπίδ' ὑποίσεις] ὑπενέγκῃς, ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τις μοὶ γενήσεται. 839. Ἐπεμβάσῃ] ἤγουν ἐπιπέσῃς νενικημένῃ, καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν. 841. Ἕρκεσιν] ἤγουν τοῖς περιδεῤῥαίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ, τῇ σφετέρᾳ μὲν ἀδελφῇ, ἐκείνου δὲ τοῦ Ἀμφιάρεω γυναικὶ, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. ἅτε γὰρ μάντις ὢν, ἤδει ἀπολούμενον τὴν στρατιάν· καὶ διὰ τοῦτο οὐκ ἤθελε στρατεῦσαι. εἰκότως δὲ τὰ περιδεῤῥαια ἕρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. φασὶ δὲ ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτοῦ τὸ λοιπόν.

ἱστέον

El. Enecabis me.
Ch. Quomodo?
El. Si de iis, qui manifeste
Ad Orcum abierunt
Spem *importuna* suggeres, in me
Dolore jam tabidam
Magis insultabis.

ANTISTROPHE I.

Ch. Quidni spem suggeram? Novi enim regem Amphiaraum
Aurea propter monilia
Demersum

ἰστέον δὲ ὅτι οὐ χρὴ γράφειν, γυναικῶν ἀπάταις (οὐ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. περισσὸν γάρ ἐστι τὸ γυναικῶν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ) ἀλλὰ κρυφθέντα ἀπάταισι γράφε. τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

SCHOL. INED. 835. Εἰ τῶν φανερῶς] Εἰ τῶν φανερῶς ἀπεληλυθότων εἰς ᾅδην ἐλπίδα λαθοῦσα προτενεῖς, μᾶλλον ἐπιτεθήσῃ κατ' ἐμοῦ διαῤῥεομένης. L. B. 840. Ἀμφιάρεων] Ἀμφιάρεως ἦν ἄριστος μάντις καὶ ἀψευδής. ὅστις ᾔδει τὸν ἐσόμενον θάνατον τοῖς ἀπερχομένοις ἐς τὸν Θηβαϊκὸν πόλεμον, ὑπὸ τοῦ στρατηγοῦ Ἀδράστου. ὑφ' οὗ Ἀδράστου πολλὰ βιασθεὶς καὶ μηδόλως ὑπείξας ἐς Θήβας συναπελθεῖν, πείθεται ὕστερον ὑπὸ τῆς ἰδίας αὐτοῦ γυναικὸς Ἐριφύλης ἀπελθεῖν, ἥτις αὖ ὑπὸ Ἀδράστου ἀπατηθεῖσα δώροις, ἅ τινα δῶρα ἦσαν χρυσόδετα ἕρκεα, ἤγουν κόσμος τις γυναικεῖος, ἠνάγκασε τὸν Ἀμφιάρεων ἀπελθεῖν· διὸ καὶ ἐτιμωρήθη πρὸς τοῦ υἱοῦ Ἀλκμαίωνος. ἀπελθὼν γὰρ ὁ Ἀμφιάρεως εἰς τὸν πόλεμον ἀναιρεῖται. ὁ δὲ υἱὸς αὐτοῦ Ἀλκμαίων, μαθὼν ὅτι ὑπὸ τῆς Ἐριφύλης κατεπείσθη, ἀπέκτεινε ταύτην. *Bar.* 841. Χρυσοδέτοις ἕρκεσι] Ἤγουν τοῖς δώροις τοῖς χρυσείοις, ἃ αἴτια γεγόνασι τῆς ἀναιρέσεως τοῦ Ἀμφιάρεω. οἱ μὲν ἑρμηνεύουσι τοῦτο κατὰ μεταφορὰν, ἤγουν ὥσπερ π...α πόλις διὰ τοῦ ἕρκους, εἴτουν τείχους ἀποκλείεται κύκλῳ, καὶ εἴργεται τῆς ἐλευθερίας ἕκαστος τῶν οἰκούντων ἐν αὐτῇ, τῆς ἐλευθερίας λέγω τῆς ἐξόδου, καὶ μὴ βουλομένου τοῦ θυρωροῦ, οὐδεὶς ἐξέρχεται ἢ εἰσέρχεται, κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ Ἐριφύλη εἶρξε τὸν ἄνδρα αὐτῆς Ἀμφιάρεων τῆς θελήσεως αὐτοῦ, διὰ τῶν χρυσοδέτων ἕρκεων, ἃ, καθὰ δὴ περιφράγματα καὶ τείχη, οὐκ ἠδυνήθη ὁ Ἀμφιάρεως φυγεῖν. ἤγουν ἕνεκα τῶν δώρων τῶν χρυσῶν, ἃ ἐδωρήσατο αὐτῇ,

Κρυφθέντ' ἀπάταισι·
Καὶ νῦν ὑπὸ γαίας
Ηλ. (Ἒ ἒ. ἰώ:)
Χο. Πάμψυχος ἀνάσσει.
Ηλ. Φεῦ.
Χο. Φεῦ δῆτ'· ὀλοὰ γάρ.
Ηλ. Ἐδάμη γάρ.
Χο. Ναί·
Ηλ. Οἶδ', οἶδ'· ἐφάνη γὰρ
Μελέτωρ ἀμφὶ τὸν ἐν
Πένθει. ἐμοὶ δ' οὔτις ἔτ' ἔ-
σθ'· ὃς γὰρ ἔτ' ἦν,

Φροῦδος.

ὁ Ἄδραστος. ἐκεῖνος γὰρ ὁ Ἀμφιάρεως προϊδὼν τὴν ἀναίρεσιν αὐτοῦ, καὶ μὴ θέλων ἀπελθεῖν εἰς τὸν πόλεμον, ὅμως ὑπὸ Ἐριφύλης ἠναγκάσθη τοῦτο, ὅτι καὶ ἀπελθὼν ἀνῃρέθη. ἄλλοι δὲ, ἑρμηνεύουσι τοῦτο ἄλλως λέγουσι γὰρ, ὅτι χρυσόδετα ἕρκη, εἶναι τινὰ κόσμον γυναικεῖον. ὅν τινα ἐπιτίθεντο τῷ τραχήλῳ, ὥσπερ ἕρκος. ἦν δὲ χρυσόπλεκτος, καθὰ ἐλικτὰ. ἵνα δὲ τοιοῦτον δωρησάμενος τῇ Ἐριφύλῃ ὁ Ἄδραστος, ἠπάτησεν, ἵνα τὸν ἄνδρα αὐτῆς Ἀμφιάρεων καταπείσῃ ἀπελθεῖν εἰς τὸν Θηβαϊκὸν πόλεμον. ἄν φησὶν ἡ Ἠλέκτρα, οἶδα τὸν ἄνακτα Ἀμφιάρεων κρυφθέντα, ἤγουν καταταφέντα, Χρυσοδέτοις ἕρκεσι. τουτέστι, τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ χρυσοῦ δώρου τούτου γινομένῃ, καὶ τοῖς δόλοις τῆς γυναικὸς αὐτοῦ. *Bar.*

842. Γυναικῶν ἀπάταις] ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου διὰ τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. Ἄλλως. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων, ὁ χορὸς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία. τιμῶν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύσασθαι αὐτόν. 844. Ἒ ἒ] οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα. 845. Πάμψυχος ἀνάσσει] ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει. ἃ δὴ ἐν χρείᾳ καθιστᾶσι τῆς ἐκείνου μαντικῆς. ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος. 846. Φεῦ] μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ, ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. 847. Φεῦ δῆτ'· ὀλοὰ γὰρ] ὁ χορὸς συγκατατιθέμενος, φησὶν ὅτι δικαίως ἀπολοῦσα·

ὀλεῖ

Demersum *uxoris* fraude.
Qui tamen nunc sub terra

El. (He, He, Heu, Heu.)

Ch. Immortalis imperat.

El. Heu!

Ch. Heu inquis, *apage*. perniciosa enim *mulier*.

El. Domita nempe fuit.

Ch. Imo illud volo.

El. Novi, novi: quippe repertus est
Curator & *vindex* viri
Lugubris: mihi vero nemo amplius superest;
Qui enim superfuit,

Evanuit

ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη. ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός. ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα. 848. Ἐδάμη] ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός. ὁ χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ναί. 850. Οἶδ', οἶδ'· ἐφάνη] οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ τουτέστι τιμωρὸς τοῦ πατρός. ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος. ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. πάνυ δὲ συμπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ἐμοὶ δ' οὔτις. 851. Μελέτωρ] φροντιστής. ὃς ἐπιμελὴς γέγονε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον τοῦ Ἀμφιαράου.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 845. Πάμψυχος ἀνάσσει] ἤγουν πασῶν τῶν ψυχῶν ἀνάσσει· ἢ ὅλος ζῶν ἀνάσσει. ἢ ζῶν ἀνάσσει. 847. Φεῦ δῆτ'· ὀλοά] ἐπὶ θηλυκοῦ ληπτέον τὸ ὀλοά, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ἤγουν ὀλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. ἐδάμη γὰρ ὑπὸ τοῦ υἱοῦ αὐτῆς Ἀλκμαίωνος. εἰ δ' ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

SCHOL. INED. 843. Ὑπὸ γαίας] Ὁ ὑπὸ κάτω τῆς γῆς πάμψυχος Πλούτων ἀνάσσει αὐτοῦ. πάμψυχος, ἐπίθετον. λέγεται δὲ οὕτω, διὰ τὸ κυριεύειν ἁπασῶν ψυχῶν. εἰ μὲν τὸ πάμψυχος ἀποδιδῷς τῷ Πλούτωνι, ἑρμήνευε οὕτω. καὶ νῦν ὁ ὑπὸ γαίας πάμψυχος Πλούτων δηλονότι, ἤγουν ὁ κυριεύων ἁπασῶν ψυχῶν, ἀνάσσει αὐτοῦ τοῦ Ἀμφιάρεως, εἰ δὲ τῷ Ἀμφιάρεῳ ἀποδιδῷς, ἑρμήνευε οὕτω. καὶ νῦν ὑπὸ γαίας πάμψυχος ἀνάσσει. ἤγουν ἁπασῶν τῶν ψυχῶν τῶν ὑπὸ κάτω τῆς γῆς, ὑπερέχει, ὡς δίκαιος καὶ μάντις ἀληθινός. *Bar.* 850. Οἶδ'] Τέσσαρα ὁμοιοῦ, εἴδω, εἴσω, καὶ ὁ μέσος παρακείμενος, οἶδα. εἴκω, εἴξω, οἶκα, καὶ ἔοικα. πείθω, πείσω, πέποιθα. λείπω, λείψω, λέλοιπα. *Bar.*

855. Δειλαία

Φροῦδος ἀναρπασθείς.

ΣΤΡΟΦΗ β′.

Χο. Δειλαία δειλαίων κυρεῖς.
Ηλ. Κἀγὼ τοῦδ᾽ ἴστωρ, ὑπερίστωρ,
Πανσύρτῳ παμμηνῷ πολλῶν
Δεινῶν στυγνῶν τ᾽ Ἀχαιῶν.
Χο. Εἴδομεν ἃ θροεῖς.
Ηλ. Μή με νῦν μηκέτι
Παραγάγῃς, ἵν᾽ οὐ
Χο. Τί φῄς;

Ηλ.

855. Δειλαία δειλαίων] καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἶτε παραχωρεῖν τοῖς λυπουμένοις, καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς. Ἄλλως. εἴρηται ὑπερβολικῶς ὡς τὸ ἑορτὴ ἑορτῶν, οὕτως ἀθλιωτάτη ἀθλιωτάτων. Κυρεῖς] ἤγουν ὑπάρχεις. 856. Κἀγὼ τοῦδ᾽ ἴστωρ] οἶδα (φησὶν) ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων. Ἄλλως. κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι. 857. Πανσύρτῳ] τῷ πάντα σύροντι τὰ κακά. ἢ πανσύρτῳ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. Παμμηνῷ] τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμὶ, οἷον κατ᾽ αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν. 860. Μή με νῦν μηκέτι] μηκέτι οὖν με (φησὶ) παρηγορήσητε (παρηγορήσῃς, *Bar.*) ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τῶν ἀδελφῶν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 856. Κἀγὼ τοῦδ᾽ ἴστωρ] καὶ ἐγὼ ἴστωρ καὶ ἐπιστήμων καὶ ὑπερίστωρ εἰμὶ τοῦδε· ὅτι δηλονότι δειλαία κυρῶ καὶ ὑπάρχω, ἤγουν ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλίων, ἕνεκα τῶν πολλῶν δεινῶν, τῶν πανσύρτων καὶ πάντα συρόντων, καὶ ἀπολλύντων, καὶ στυγνῶν, ἤτοι τῶν στυγνάζειν ποιούντων, ἐν τῷ παμμηνῷ καὶ διηνεκεῖ χρόνῳ. ἤγουν, ἐπίσταμαι ὅτι ἀθλιωτέρα εἰμὶ τῶν Ἀχαιῶν, τῶν διὰ τοῦτο ἀθλίων ὅτι πολλῶν δεινῶν πανσύρτων καὶ στυγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμηνῷ καὶ διηνεκεῖ χρόνῳ, ὃν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψεις (ἐν τισὶ γὰρ τῶν πάνυ παλαιῶν οὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον. εἴγε μὴν πανσύρτῳ (ἐν πολλοῖς γὰρ καὶ οὕτως εὕρηται) πρὸς τὸ παμμηνῷ συνάψεις· ἤγουν τῷ διηνεκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι τῷ πολυκινήτῳ. ἐπεὶ δ᾽ ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν

στυγνῶν

Evanuit vi abreptus.

STROPHE 2.

Ch. Misera, miserias sustines.
El. Et ego hoc satis superque scio,
Denso ex impetu, perpetuaque serie multorum
Atrocium tristiumque malorum.
Ch. Novimus quæ ploras.
El. Ne igitur, ne nunc me amplius
Soleris, ubi nulla
Ch. Quid dicis?

El.

συγγνῶν τ' Ἀχαιῶν (ἐκεῖνο γὰρ ἐκ παιδείαν δι' ὅλου σύγκειται) ἀρχαίων φημὶ δεῖν γράφειν (ἀπὸ τούτου γὰρ καὶ τὸ Ἀχαιῶν ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, τοῦ ρ κατὰ λήθην τοῦ γραφέως ἐκλελοιπότος) καὶ οὕτω συνάπτειν, καὶ ἐγὼ ἴσως ὑπερίσωρ εἰμὶ τοῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ συγνῶν. ἀρχαῖα δέ φησι τὰ δεινά, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος ἱππείας, καὶ τοῦ φόνου Μυρτίλου, οὐκ ἔλιπε τοὺς οἴκους αὐτῶν πολύπονος αἰκία. 861. Παραγάγῃς ἵν' οὐ] τὸ ἵν' οὐ, πρὸς τὸ πάρεισι συναπτέον· εἰ καὶ τὸ τί φῂς, διὰ μέσου τίθεται. συντάσσεται δὲ οὕτω, μή με νῦν μηκέτι παραγάγῃς, ἵνα καὶ ὅπου οὐ πάρεισιν ἐλπίδες ἐλπίδων, τῶν εὐπατριδῶν κοινοτόκων, ἤγουν τοῦ εὐγενοῦς Ὀρέστου τοῦ ἐμοῦ ἀδελφοῦ ἀρωγοὶ ἐμοί. ἤγουν, μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέστου, ὡς ἥξει ἐμοὶ βοηθός. ἰστέον δὲ ὅτι τὸ τί φῂς, πάρεισιν ἐλπίδων, ἓν κῶλόν ἐστι. τὰ γὰρ δύο πρόσωπα ἓν ἀπoτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ πρώτῃ ἀντιστροφῇ δείκνυται. διὸ τὸ αὐδᾷς δὲ ποῖον, περισσὸν ὂν ἐξεβλήθη παρ' ἐμοῦ. ταὐτὸν γάρ ἐστι τῷ τί φῂς.

SCHOL. INED. 854. Ἀναρπασθεὶς] Ἀναρπάζω· ὁ μέλλων, ἀναρπάξω ποιητικῶς, ἀναρπάσω κοινῶς· ὁ παρακείμενος ἀνήρπακα. ὁ παθητικὸς, ἀνήρπασμαι. ὁ ἀόριστος ἀνηρπάσθην, ἡ μετοχὴ ἀναρπασθείς. *Bar.* 855. Δειλαία δειλ.] Ἤγουν, ἀθλία ἀθλίων ὑπάρχεις, ὑπερβολικῶς. ὡς ματαιότης ματαιοτήτων, καὶ ἑορτὴ ἑορτῶν. τουτέστιν ἀθλιωτάτη καὶ ἀποκρύπτουσα τὴν ἀθλιότητα τῶν ἄλλων, ὡς μόνην αὐτὴν ἐν ταῖς ἀθλίαις δοκεῖν ἀθλίαν. L. B. 857. Πασσύρτῳ] Πάσσυρτος χρόνος, ὁ κατὰ πάντα σύρων καὶ ἕλκων· κατὰ συγκοπὴν, καὶ τροπῆς τοῦ ν εἰς σ, διὰ τὸ ἐπαγόμενον. Παμμήνῳ] Πάμμηνος δὲ χρόνος, ὁ ἐν αὐτῷ ἔχων πάντας τοὺς μῆνας. κατὰ τροπὴν τοῦ ν εἰς μ, διὰ τὸ ἐπαγόμενον μ. πάμμηνος δὲ καταχρηστικῶς, ὁ πολυχρόνιος. *Bar.*

864. Κοινοτόκων]

Ηλ. Πάρεισιν ἐλπίδων
Ἔτι κοινοτόκων
Εὐπατριδᾶν τ' ἀρωγαί.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. "Πᾶσι θνατοῖς ἔφυ μόρος.
Ηλ. Ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
Οὕτως ὡς κείνῳ δυστάνῳ
Τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
Χο. Ἄσκοπος ἁ λώβα.
Ηλ. Πῶς γὰρ οὔκ; εἰ ξένος,
Ἄτερ ἐμᾶν χεροῖν;
Χο. Παπαῖ.
Ηλ. Κέκευθεν οὔτε του
Τάφου ἀντιάσας,
Οὔτε γόων παρ' ἡμῶν.

ΧΡΥΣΟ-

864. Κοινοτόκων] τῶν ἀπὸ ἀμφοῖν τῶν γονέων. τινὲς, τῶν πᾶσι κοινῶν. διὰ δὲ τοῦ εὐπατριδᾶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον. οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος. ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων. 867. Ἦ καὶ χαλαργοῖς] ταῖς λευκόποσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν. εἰπόντος δὲ τοῦ χοροῦ, πᾶσι θνητοῖς ἔφυ μόρος, ἀντιτίθησιν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾷν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς; 869. Τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη. 870. Ἄσκοπος] ἀπροόρατος ὁ θάνατος. 871. Πῶς γὰρ οὔκ, εἰ ξένος] τοῦ χοροῦ εἰπόντος, ἀπροΐδης ἡ κατὰ τὸν ἀγῶνα, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν, καὶ ἐμοῦ χωρίς. 874. Κέκευθεν] ἀντὶ τοῦ κρύπτεται.

ΣΧΟΛ.

El. Sunt ſpei
Ex germano fratre amplius
Et nobili, ſubſidia.

ANTISTROPHE 2.

Ch. Omnibus mortalibus natura mors eſt deſtinata.
El. An & equeſtribus in certaminibus
Cuique, ut huic miſero, deſtinatum eſt,
Loris ſectilibus implicari?
Ch. Improviſa ſane calamitas.
El. Quidni improviſa? ſi terra in peregrina
Sine meis manibus
Ch. Papæ.
El. Conditus eſt, neque
Sepulchrum nactus,
Neque luctus à nobis *debitos*.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 867. Ἐν ἁμίλλαις] διὰ τοῦ εἰπεῖν ἁμίλλαις, ἐδήλωσε τὸ ἱππικαῖς· ταύταις γὰρ αἱ ἅμιλλαι. τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς (καὶ τοὺς πόδας, ἀπὸ μέρους τὸ πᾶν) ἀργὰς ἔχουσι κατ' ἀντίφρασιν, ὥσπερ ἐστὶ καὶ τὸ σόμαργος καὶ τὸ πύγαργος· ἢ χαλαργοῖς καὶ λευκόποσιν.

SCHOL. INED. 865. Ἀρωγοί] Αἱ ἀπὸ τῶν κοινοτόκων ἀδελφῶν. 867. Ἦ καὶ χαλαργοῖς] Ἡ σύνταξις οὕτως. εἰπόντος τοῦ χοροῦ, ὅτι πᾶσι θνητοῖς ἔφυ μόρος, φησὶν ἡ Ἠλέκτρα, ἆρα οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾷν ἐν ταῖς ἱππικαῖς ἁμίλλαις, ὥσπερ πέπρωται ἐκείνῳ τῷ δυστήνῳ Ὀρέστῃ ἐγκύρσαι καὶ ἐντυχεῖν τοῖς τμητοῖς ἐσχισμένοις ὁλκοῖς, ἤγουν λωροῖς; *Bar.* 871. Πῶς γὰρ οὔκ] Ναί, καλῶς ἔφης. πῶς γὰρ οὐκ ἔστιν ἀνέλπιστος ἡ βλάβη, ἐπειδὴ καὶ ὁ Ὀρέστης ξένος ἀπώλετο δηλονότι καὶ κέκευθεν; *Bar.* 874. Κέκευθεν] Τὸ κέκευθεν, ἀλλοίωσίς ἐστι κατὰ διάθεσιν. ἐνεργητικὸν ὂν λαμβάνεται ἀντὶ παθητικοῦ, ἤγουν, ἐσκεπάσθη, ἐκρύβη. ἢ οὖν τὸ κέκευθεν μέσος παρακείμενος ἀπὸ τοῦ κεύθω, κεύσω, κέκευκα. ὁ μέσος παρακείμ. κέκευθα, δύναται εἶναι καὶ ἐνεργητικός, καὶ παθητικός. *Bar.*

ΧΡΥΣΟΘΕΜΙΣ, ΗΛΕΚΤΡΑ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Χρ. Ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι,
Τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
Φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν ὧν
Πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
Ηλ. Πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
Ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
Χρ. Πάρεστ' Ὀρέστης ἡμῖν· ἴσθι τοῦτ' ἐμοῦ
Κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
Ηλ. Ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
Σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
Χρ. Μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει

Λέγω

877. Ὑφ' ἡδονῆς τοι] ἡ Χρυσόθεμις παραγίνεται τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις ἡ Ἠλέκτρας γένηται. 878. Σὺν τάχει μολεῖν] λείπει ἡ ὑπέρ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν. 881. Τῶν ἐμῶν σὺ πημάτων] τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον. 884. Κλύουσ' ἐναργῶς] ἐπὶ τοῦ κλύουσα, πρὸς βραχὺ διασταλτέον· ἵνα ᾖ, πάρεστ' ἐναργῶς. ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 882. Οἷς ἴασιν] εἰ μὲν ἴασιν γράψαις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἐστίν. 884. Κλύουσ' ἐναργῶς] ἤγουν φανερῶς. τοῦτο δὲ ἢ πρὸς τὸ πάρεστι σύναπτε, ἢ πρὸς τὸ ἴσθι. ¶ Σχήμ. Τρικλ. 877. Ὑφ' ἡδονῆς] ὑποστροφὴ Χρυσοθέμιδος μετά τινος εὐφροσύνης.

CHRYSOTHEMIS, ELECTRA, CHORUS.

Iambi.

Chr. PRÆ gaudio quidem, O chariſſima, compellor,
Decoro omiſſo, citius huc accurrere.
Affero enim voluptateſque & requiem illorum, quæ
Olim ferebas & ingemiſcebas malorum.
El. Unde autem invenias tu meorum malorum
Levamen, quibus nullam medelam conſpicor?
Chr. Adeſt Oreſtes nobis: hoc ſcito ex me
Audiens, *tam* certum eſſe, ut *jam* intueris me.
El. At tu profecto inſanis, O miſera, & tuis
Ipſius malis & meis irrides?
Chr. Non per patrios Deos *rideo*, nec *ulla* contumelia
Iſta

SCHOL. INED. 878. Τὸ κόσμιον] Ἤγουν τὴν κοσμιότητα, τὸ κόσμιον Ἀττικῶς, ἀντὶ τοῦ κόσμιον, καὶ τὴν εὐταξίαν· ὡς τὸ ῥητορικὸν τοῦ λόγου, ἀντὶ τοῦ, ὁ ῥητορικὸς λόγος. L. B. 879. Ἀνάπαυλαν] Ἀνάπαυσις καὶ κατάπαυσις λέγεται. ἀνάπαυλα δὲ μόνον οὐχὶ καὶ κατάπαυλα. ἀνάπαυσιν τῶν κακῶν, ὧν εἶχες πρότερον καὶ ἔστενες. L. B. 883. Πάρεστ'] Πάρεστιν ὁ Ὀρέστης ἡμῖν ἐναργῶς οὕτως ὥσπερ ὁρᾷς ἐμὲ παροῦσαν δηλονότι ἐναργῶς. ἴσθι τοῦτο, ἤγουν γίνωσκε, κλύουσα ἐμοῦ. L. B. 885. Ἀλλ'] Ὁ ἀλλὰ ἐνίοτε μέν ἐστι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς, καὶ συστάσει ἑτέρου· οἷον, οὐκ ἔστι τόδε· ἀλλὰ τόδε. καὶ ὅτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται τοῦ μὴ ἑτέρας ἀναιρέσεως. οἷον, ἔστι τόδε· ἀλλὰ καὶ τόδε. ἀντὶ τοῦ, οὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων. ὡς ἔχει τὸ, ἀσπίδα, φρῦνον, ὄφιν, καὶ λαοδικέας περιέφυγε, καὶ κύνα λυσσητήν. καὶ πάλιν λαοδικέας, ἀλλὰ τὰς πυκνίδας ἄθλιος. ὁ λαοδικεὺς ἔχει λαβών. ἐνίοτε δὲ, ὁ ἀλλὰ ἐστὶ συλλογιστικὸς, καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος, ὡς ἐνταῦθα. ἀλλ' ἦ μέμηνας· καὶ ἀλλὰ μὴν τόδε ἐστίν. L. B.

Λέγω τάδ᾽, ἀλλ᾽ ἐκεῖνον ὡς παρόντα νῷν.
Ηλ. Οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
Τόνδ᾽ εἰσακούσασ᾽, ὧδε πιστεύεις ἄγαν;
Χρ. Ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου, σαφῆ
Σημεῖ᾽ ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
Ηλ. Τίν᾽, ὦ τάλαιν᾽, ἰδοῦσα πίστιν; ἐς τί μοι
Βλέψασα, θάλπῃ τῷδ᾽ ἀνηκέστῳ πυρί;
Χρ. Πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
Τολοιπὸν, ἢ φρονοῦσαν, ἢ μωρὰν λέγῃς.
Ηλ. Σὺ δ᾽ οὖν λέγ᾽, εἴ σοι τῷ λόγῳ τις ἡδονή.
Χρ. Καὶ δὴ λέγω σοὶ πᾶν ὅσον κατειδόμην.
Ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
Ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
Πηγὰς γάλακτος, καὶ περιστεφῆ κύκλῳ
Πάντων ὅσ᾽ ἔστιν ἀνθέων θήκην πατρός.
Ἰδοῦσα δ᾽ ἔσχον θαῦμα, καὶ περισκοπῶ
Μήπου τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
Ὡς δ᾽ ἐν γαλήνῃ πάντ᾽ ἐδερκόμην τόπον,
Τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ᾽ ὁρῶ

Πυρᾶς

894. Βλέψασα, θάλπῃ] ἀντὶ τοῦ παρακόπτεις τὰς φρένας, ὡς ἐν πυρετῷ. ἀνηκέστῳ δὲ πυρί, ὥστε ἔλεγεν ἀνιάτῳ ἐλπίδι· ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην, ἤδη ἀπολωλότα. 899. Ἀρχαῖον τάφον] τὸν ἐκ πολλοῦ ᾠκοδομημένον. 901. Πηγὰς γάλακτος] πολὺ γάλα. ὡς τὸ δακρύων πηγάς, ἀντὶ τοῦ πολλὰ δάκρυα. 902. Θήκην πατρὸς] τὴν σορὸν, λέγει, ἔνθα τὸ λείψανον ἐτέθη.

¶ Σχῆμα, Τρικλ. 898. Καὶ δὴ λέγω] διήγησις ὧν εἶδεν ἐν τάφῳ.

SCHOL.

Ista dico, illum sed esse præsto nobis *inquam*

El. Hei mihi misere! & ex quo mortalium rumorem
Hunc cum audieris, tam credis nimium?

Chr. Ego quidem ex me *ipsa*, non ex alio, cum certa
Signa viderem, hisce dictis credo.

El. Quid, misera, conspicata indicii? quidnam quæso
Intuita incaluisti tam fervida & insanabili spe?

Chr. Audi ergo, per Deos, ut cum me audiveris,
Deinde vel sapientem *me*, vel stultam dicas.

El. Tu vero dic, siqua tibi in dicendo voluptas.

Chr. Dicam hercle tibi omnia quæ vidi.
Nam simulac veni patris ad vetus bustum,
Video tumulo ex summo nuper fusos
Fontes lactis, & cinctum undique
Omnibus quotquot sunt floribus conditorium patris.
Conspicata autem mirabar, & circumspicio
Ne forte quis nobis prope accedat mortalium:
Ubi vero in tranquillo omnem vidi locum,
Tumulum accessi propius; in summa autem video

Pyra

SCHOL. INED. 894. Θάλπῃ ἀνηκέστῳ πυρὶ] Ἤγουν, θάλπῃ καὶ θερμαίνῃ οὕτως, ὥσπερ ὑπὸ ἀθεραπεύτου πυρός. ὁ γὰρ πῦρ βλέπει μακρόθεν, τοῦτο τοῖς ὁρῶσιν ἐστὶν ἀθεράπευτον. ἤγουν οὐδεμίαν θεραπείαν δύναται δοῦναι τούτοις: *Bar.* 900. Κολώνης] Ἤγουν ὑψηλοῦ καὶ ἐπανεστηκότος τόπου. L. B. Νεοῤῥύτους πηγὰς γάλακτος] Ἤγουν χύσεις γάλακτος, καινὰς ῥυείσας. ἤγουν, γάλα ἀπὸ πηγῆς ἀναδοθὲν νεόῤῥυον. L. B. 905. Ἐν γαλήνῃ] Μεταφορικῶς, ἀπὸ τῆς εὐδίας καὶ νηνεμίας. τοῦτο γὰρ γαλήνη κυρίως. ἐνταῦθα δὲ λαμβάνεται γαλήνη, ἡ μοναξία, καὶ ἐρημία ἐξ ἀνθρώπων. *Bar.*

907. Νεωρῆ]

Πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
Κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
Ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
Πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
Καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
Χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων·
Καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι,
Μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
Κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
Οὐδ' αὖ σύ. πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς
Ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης;
Ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
Τοιαῦτα πράσσειν, οὔτε δρῶσ' ἐλάνθανεν·
Ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια·

Ἀλλ'

907. Νεωρῆ] τὸν νεωστὶ ἀποτετμημένον. ἢ ἐπεὶ νέου τινὸς καὶ ἀκμαίου ἔχοντος ἦν. 909. Σύνηθες ὄμμα] ὅραμα ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν. 915. Τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;] τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. τὸ μὲν γὰρ ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνῳκειωμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει. 920. Τοιαῦτα πράσσειν] τὰ ἐπὶ τῇ τιμῇ γιγνόμενα τοῦ πατρός. 921. Ταῦτα τἀπιτίμια] γράφεται τἀγλαΐσματα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 914. Μή του τόδ' ἀγλάϊσμα] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦ, ἀπό, ἀλλὰ πρὸς τὸ ἀγλάϊσμα νόει τὴν γενικήν. μηδὲ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς εἴπῃς, ἀλλ' ἀντὶ τοῦ εἰ μή. ἔστι δὲ ἡ γενικὴ τὸ ἐκείνου πρὸς τὸ του. 919. Οὔθ' ὁ νοῦς φιλεῖ] οἱ πολλάκις τὸ φιλεῖ ἀντὶ τοῦ εἴωθε λέγεσθαι, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν. τὸ γὰρ φιλεῖ οὐκ ἔχει τοιοῦτόν τι σημαινόμενον· ἀλλ' ἀντὶ τοῦ ἀγαπᾷ. ἐπεὶ δὲ ὁ φιλῶν τις, μάλιστα ἐκεῖνο, διὰ τοῦτο ἠπάτηνται οἱ πολλοί, καὶ ἀπὸ τοῦ φυσικοῦ σημαινομένου ἐξαγαγόντες, οὕτω φασίν.

SCHOL.

Pyra recentes comas desectas:
Et continuo misera ubi vidi, incutit mihi aliquid
Familiaris animo facies, carissimi mortalium
Omnium Orestæ me hasce certum videre indicium:
Et manibus tollens, mali quidem ominis nihil dico,
Lætitia vero repleo statim oculos lachrymis.
Nuncque similiter, ut tunc quoque certo scio
A nemine hoc ornamentum, quam ab illo, profectum.
Cui enim convenit hoc præterquam mihi vel tibi?
Et ego quidem non feci (hoc novi)
Neque adeo tu: qui enim; cui quidem neque ad deos
Licet impune ab hoc tecto discedere?
Sed nec matris sane ne mens quidem amat
Talia facere; neque, si fecisset, latuisset.
Verum sunt Orestæ hi proculdubio honores.

At,

SCHOL. INED. 908. Κεὐθὺς τάλαιν'] Ἤγουν, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα ἐπεὶ εἶδον τὸν νεωρῆ βόστρυχον ἐκεῖνον τετμημένον, ἐπέρχεται τῇ ψυχῇ μου σύνηθές τι ὄμμα τοῦ Ὀρέστου τοῦ φιλτάτου ἀπὸ τῶν βροτῶν, ὥστε νομίζειν ὁρᾷν τοῦτο, ἔν τι τεκμήριον ἐκείνου. ἢ, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα ἐπειδὴ εἶδον βόστρυχον τετμημένον νεωρῆ, παίει ἐν τῇ ψυχῇ μοι ὁρᾷν τοῦτο σύνηθές τι θέαμα καὶ τεκμήριον, Ὀρέστου τοῦ φιλτάτου ἀπὸ πάντων τῶν βροτῶν. *Bar.* Ὡς] Τὸ ὡς διέλυσε τὴν σύνταξιν. ἐρχομένης γὰρ ἐμοῦ ἤθελεν. ὡς δὲ εἶπε τὸ ἐτράπη εἰς ἄλλην σύνταξιν. L. B. 912. Χαρᾷ] Εἰσὶ γὰρ χαρᾶς δάκρυα, ὅταν ἐξ ὑπερβαλλούσης ἡδονῆς ἡ ψυχὴ κινηθεῖσα, ἐκθλίβῃ διὰ τῶν ὀμμάτων ἐκ τῆς καρδιακῆς περιδινήσεως νάματα δακρύων. *Bar.* 917. Ἡ γε] Ἤγουν, ἢ τινι σοὶ τῇ ἀκλαύστῳ ἤγουν πολυθρηνήτῳ, ἔξεστιν ἀποστῆναι τῆσδε τῆς στέγης, καὶ ἐλθεῖν πρὸς τοὺς θεοὺς, ἤγουν

εἰς

Ἀλλ', ὦ φίλη, θάρσυνε. "τοῖς αὐτοῖσί τοι
"Οὐχ αὑτὸς αἰεὶ δαιμόνων παραστατεῖ·
Νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
Πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
Ηλ. Φεῦ τῆς ἀνοίας· ὥς σ' ἐποικτείρω πάλαι.
Χρ. Τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
Ηλ. Οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρῃ.
Χρ. Πῶς δ' οὐκ ἐγὼ κάτοιδ', ἅ γ' εἶδον ἐμφανῶς;
Ηλ. Τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι
Σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
Χρ. Οἴ μοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
Ηλ. Τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
Χρ. Καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοι μ' ὑπέρχεται.
Ηλ. Κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
Χρ. Οἴμοι τάλαινα. τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
Τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
Ηλ. Οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
Μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.

Χρ.

εἰς τοὺς ναοὺς τῶν θεῶν. *Bar.* 921. Τἀπιτίμια] Ἐπιτίμιον λέγεται τὸ πρᾶγμα τὸ ἐπὶ τῇ τιμωρίᾳ γινόμενον. καὶ τὸ ἐπὶ τῇ τιμῇ τοῦ πατρὸς γινόμενον. L. B.

925. Ὑπάρξει κῦρος] ἐπιτυχίαν ἄρξει. 935. Οὐδὲ μητρὶ δυσχερής] ὅ ἐστιν, οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθείς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. γράφεται, καὶ μητρὶ δυσμενής. 939. Μνημεῖ' Ὀρέστου] τοῦ Ὀρέστου μνημόσυνα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 939. Μνημεῖ' Ὀρέστου] ἤγουν ἐνθυμήσεις. θανόντος γὰρ ἐκείνου, τμηθεὶς ὁ βόστρυχος τῆς κεφαλῆς ὑπό τινος τῶν αὐτοῦ φίλων,

At, O cara, confide; " iisdem nempe
" Non idem semper Deorum adest.
Nobis quidem erat ante inimicus: praesens autem forte
Multorum erit auspicium dies bonorum
El. O dementia! ut te miseror jampridem?
Chr. Quidnam est? non jucunda sunt quae dico?
El. Nescis ubi terrarum, neque ubi sensuum sis.
Chr. Quî ergo nesciam, quae saltem vidi clare?
El. Mortuus est, misera; & ab illo tibi
Sperata salus periit: nihil ad illum ultra respice.
Chr. Hei mihi miserae! ex quo haec audisti mortalium?
El. Ab eo, qui aderat, cum periret.
Chr. Ubinam ille est? admiratio sane me subit.
El. Domi suavis, neque matri molestus.
Chr. Hei mihi miserae! cujusnam ergo hominum erant
Multae illae ad patris tumulum inferiae?
El. Credo equidem potissimum mortui Orestae
Monumenta haec apposuisse quempiam *alterum*.

Chr.

φίλαν, ἐπετίθει τῷ τάφῳ τοῦ Ἀγαμέμνονος, ἵνα τὶς ὁρῶν αὐτὸν κείμενον, εἰς μνήμην ἀφικνῆται Ὀρέστου. ¶ Σχήμ. Τρικλ. 926. Φεῦ τῆς ἀνοίας] μέμψις Ἠλέκτρας ἐφ' οἷς διηγήσατο Χρυσόθεμις.

SCHOL. INED. 923. Δαιμόνων] Τῷ αὐτῷ καὶ ἑνὶ ἀνθρώπῳ οὐκ ἔστιν ἀεί ποτε ὁ αὐτὸς Θεός. ἤγουν ἡ αὐτὴ τύχη· Θεὸς, ἤγουν τύχη. L. B. 927. Πρὸς ἡδονὴν] Πρὸς βίαν, ἀντὶ τοῦ μετὰ βίας, ὥσπερ πρὸς λύραν ᾄδει, ἀντὶ τοῦ, μετὰ λύρας· πρὸς ἀργύριον δὲ διαλέγεται, ἀντὶ τοῦ, διὰ τὸ λαβεῖν ἀργύριον· οὐ πρὸς ἡδονὴν δὲ λέγω τάδε, ἀντὶ τοῦ, οὐ λέγω τούτους λόγους πρὸς τέρψιν ἀποβλέποντας. L. B. 928. Οὐκ οἶσθ'] Ἤγουν, οὐ γινώσκεις εἰς ποῖον μέρος τῆς γῆς φέρῃ. οὐδὲ εἰς ποῖον μέρος τοῦ νοῦ. L. B. 934. Θαῦμα τοί μ' ὑπέρχεται] Ἀντὶ τοῦ, θαυμάζω κατ' ἐμαυτήν. *Bar.* 937. Τὰ πολλὰ κτερίσματα] Ἤγουν, ἐντάφια πρὸς τὸν τάφον τοῦ πατρός. L. B.

Χρ. Ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
Τοιούσδ᾽ ἔχουσ᾽ ἔσπευδον, οὐκ εἰδυῖ᾽ ἄρα
Ἵν᾽ ἦμεν ἄτης· ἀλλὰ νῦν ὅθ᾽ ἱκόμην,
Τά τ᾽ ὄντα πρόσθεν ἄλλα θ᾽ εὑρίσκω κακά.
Ηλ. Οὕτως ἔχει σοὶ ταῦτ᾽. ἐὰν δέ μοι πίθῃ,
Τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
Χρ. Ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
Ηλ. Οὐκ ἔσθ᾽ ὅγ᾽ εἶπον· οὐ γὰρ ὧδ᾽ ἄφρων ἔφυν.
Χρ. Τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
Ηλ. Τλῆναί σε δρῶσαν ἅ ᾽ν σ᾽ ἐγὼ παραινέσω.
Χρ. Ἀλλ᾽ εἴ τις ὠφέλειά γ᾽, οὐκ ἀπώσομαι.
Ηλ. Ὅρα. πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
Χρ. Ὁρῶ. ξυνοίσω πᾶν ὅσον περ ἂν σθένω.
Ηλ. Ἄκουε δὴ νῦν, ᾗ βεβούλευμαι τελεῖν.
Παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
Ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ᾽ ᾅδης λαβὼν
Ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.

Ἐγὼ

948. Ὧν ἐγὼ φερέγγυος] ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι· οἷον ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι. 950. Ἀλλ᾽ εἴτις ὠφέλειά γ᾽] τοῦτο τῷ προτέρῳ ὅμοιον, ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ; 951. Εὐτυχεῖ] ἀντὶ τοῦ ἐπιτυγχάνεται. 952. Συνοίσω] συμπονήσω τοῦτο συνῳδὸν τῷ, τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος; 953. Ποιεῖν] γράφεται τελεῖν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 952. Συνοίσω] διοίσω, συμπονήσω. ὃ καὶ συνδιαφέρω λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν τι. ¶ Σχῆμ. Τρικλ. 944. Οὕτως ἔχει] προκατάστασις. 953. Ἄκουε δὴ νῦν] Ἠλέκτρας συμβουλή, ὅπως ἀνέλωσιν Αἴγισθον.

SCHOL. INED. 943. Τά τ᾽ ὄντα] Καὶ τὰ ὄντα πρότερον κακὰ εὑρίσκω, καὶ ἄλλα κακὰ εὑρίσκω, καὶ τὰς πρόσθεν θλίψεις ἔχω. ἔρχονται

Chr. O infelix! ego quidem cum gaudio sermones
Hosce ferens properabam, ignara scilicet
Quibus essem in malis. nunc vero ubi veni,
Prioraque, aliaque *insuper* reperio infortunia.
El. Ita hæc se tibi habent. si vero mihi parueris,
Præsentis mali nos liberabis onere.
Chr. *Vis* igitur mortuos exsuscitem?
El. Non istud est quod dixi: non enim adeo demens sum.
Chr. Quid igitur jubes, quod ego præstare valeam?
El. Ut *nempe* sustineas, quæ ego jussero.
Chr. Age, siquid ex usu erit, non detrectabo.
El. Vide. "sine labore nihil prospere cedit.
Chr. Video. conferamque omnia quæcunque valeo.
El. Audi igitur jam, quæ decreverim facere.
Copiam quidem nosti & tu quoque amicorum,
Quam nulla nobis sit: at Orcus, sublatis omnibus,
Nos privavit, & solæ sumus relictæ.

Ego

χονται δέ μοι καὶ ἕτεραι θλίψεις. L. B. 947. Οὐκ ἔσθ' ὅ γ' εἶπον] Ἤγουν, οὐκ ἔστι τοῦτο ὃ εἶπον, ὅπερ λέγεις σύ. L. B. 948. Ὧν ἐγὼ φερέγγυος] Ὧν πραγμάτων ἐγώ εἰμι ἀσφαλὴς εἰς τὸ πράττειν. ἤγουν, ἃ εἰμὶ δυνατὴ ἐκπληρῶσαι. φερέγγυος κυρίως λέγεται, ὁ λαβών τι, καὶ δυνάμενος ἀποτίσαι, ἤγουν ἀξιόχρεως καὶ ἀξιόπιστος. *Bar.* 950. Ἀλλ' εἴ τις] Ἤγουν, ἀλλ' εἴ τις ὠφέλεια ἐστὶν ἐν ταῖς παραινέσεσιν, οὐκ ἀπώσομαι. *Bar.* 951. Οὐδὲν εὐτυχεῖ] Ἀντὶ τοῦ, οὐδὲν πρᾶγμα ἐπιτυγχάνει. ὁποῖον καὶ τὸ τοῦ μεγάλου Βασιλείου. καὶ χωρὶς πόνων οὐδὲν κατορθοῦται χρηστόν. *Bar.* 954. Οἶσθα] Ἤγουν γινώσκεις καὶ σὺ πρό μου ὅτι οὐδεμία παρουσία φίλων ἐστὶν ἐν ἡμῖν. ἀλλ' ἅδης λαβὼν, ἀπεστέρηκε, τουτέστιν, ἀπεστερημένας ἡμᾶς ἐποίησε τῶν φίλων. *Bar.* 956. Λελείμμεθον] Λείπω, λείψω, λέλοιπα. ὁ παθητικὸς παρακ. λέλειμμαι, λέλειψαι, λέλειπται. τῶν δυϊκῶν τὸ πρῶτον, λελείμμεθον. *Bar.*

959. Πράκτορ']

Ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
Θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας
Φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
Νῦν δ' ἡνίκ' οὐκέτ' ἔστιν, εἰς σὲ δὴ βλέπω,
Ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
Ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν
Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
Ποῖ γὰρ μενεῖς ῥᾴθυμος; εἰς τίν' ἐλπίδων
Βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
Πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
Πάρεστι δ' ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
Ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
Καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
Τεύξῃ ποτ'. οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος, ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
Βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.

Ἀλλ'

959. Πράκτορ'] ἔκδικον. 964. Ποῖ γὰρ μενεῖς] ἀντὶ τοῦ ἕως τίνος χρόνου; 970. Οὐ γὰρ ὧδ' ἄβουλος] προϊστῦσα τὰ δεινά, τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἐστί.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 958. Θάλλοντά τ' εἰσήκουον] μὴ οἰηθῇ τις αὐτὸ τό τε ἀργὸν (ὥς τινές φασιν) ἀλλ' οὕτω σύνταξε, ἕως μὲν ἤκουον τὸν κασίγνητον ἐν τῷ βίῳ καὶ ζωῇ, καὶ θάλλοντα, ἤγουν ζῶντα πάλιν. ἔστι δὲ τὸ βίῳ καὶ τὸ θάλλοντα ἐκ παραλλήλου. εἴρηται δὲ τὸ θάλλοντα ἐκ μεταφορᾶς τῶν φυτῶν. ζωὴ γὰρ φυτοῦ τὸ θάλλειν, ὥσπερ αὖ τοὐναντίον ἡ μάρανσις. 963. Οὐδὲν γάρ σε δεῖ] οἱ ἀγνοοῦντες τὸ τοῦ Εὐριπίδου, τό, Κρύπτειν θ' ἃ κρύπτειν ἄμμες ἀρέσκει χρή, ἢ ἐναλλαγὰς καὶ προθέσεις ἔξωθεν καινοτομοῦντες, ἵνα συντάξωσιν, ἐντεῦθεν διδαχθήτωσαν μὴ τοιαῦτα ποιεῖν, ἀλλ' ὀρθῶς συντάσσειν, ὡς ἔχει τοῦτο. 972. Πημονὴν αὐτῷ] τοῦτο κομματικὸν ὄν, πρὸς τὸ ἔξωθεν συνάπ-

ται

Ego vero quamdiu quidem fratrem vivis *interesse*,
Florentemque inaudibam, fovi spes
Cædis aliquando eum vindicem fore patris.
At nunc, quando non est amplius, ad te respicio,
Ut auctorem ipsum paternæ cædis,
Cum hac tua sorore, ne cuncteris occidere
Ægysthum. nihil enim te oportet me cēlare amplius.
Quo usque enim manebis segnis? quam spem
Respicis amplius firmam? cui adest quidem copia gemendi,
Opum paternarum usu orbatæ,
Adest & lugendi copia, quæ in tantum temporis spatium
Thalamique & Hymenæi expers senescis.
Et hæc sane nequaquam speraveris
Te post adepturam: neque enim adeo inconsultus est homo
Ægysthus, ut tuum unquam vel meum genus
Crescere sinat, suum ipsius ad certum malum.
Quod

ϛαι τὸ βλαϛεῖν, τῇ εὐνοίᾳ. τὸ γὰρ ἀναβλαϛῆσαι τὸ γένος αὐτῶν, οὐχ ἕτερόν ἐστιν ἢ πημονὴ τοῦ Αἰγίσθου. μὴ λάβῃς δὲ εἰς τὸ πημονὴν ἔξωθεν τὸ λέγω, ἀλλ' οὕτω σύνταξον, ἐάσει ἀναφῦναι τὸ ἐμόν τε καὶ σὸν γένος πημονὴν αὐτῷ σαφῆ, τῆς τοιαύτης αἰτιατικῆς πρὸς τὸ βλαϛεῖν ἐχούσης τὴν φύσιν καὶ φερομένης. ἔϛι δὲ ὅμοιον ὡς πρόσθεν ἔφημεν, τῷ, μνήματα Τροίας.

SCHOL. INED. 958. Εἶχον ἐλπίδας] Εἶχον ἐλπίδας ἀφίξεσθαί ποτε αὐτὸν, πράκτορα. ἤγουν ἀπαιτητὴν τοῦ φόνου τοῦ πατρός. L. B. 963. Οὐδὲν] Ἤγουν, οὐδὲν γὰρ πρᾶγμα δεῖ καὶ πρέπει ἐμοὶ, κρύπτειν σέ. ἤγουν, δεῖ ἐμὲ, οὐδὲν καὶ οὐδαμῶς κρύπτειν πρός σε. σχῆμα ἀμφιβολίας, ἔχον δύο αἰτιατικάς. *Bar*. L. B. 967. Πάρεστι] Τὸ πάρεστιν ἐνταῦθα οὐκ ἀποδίδοται πρὸς τὸ σὲ γηράσκουσαν, ἀλλ' ἔστιν ἀπολελυμένον. *Bar*.
Ἀλγεῖν]

Ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
Πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
Θανόντος οἴσῃ, τοῦ κασιγνήτου θ' ἅμα·
Ἔπειτα δ' ὥσπερ ἐξέφυς, ἐλευθέρα
Καλῇ τολοιπὸν, καὶ γάμων ἐπαξίων
Τεύξῃ. "φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
Λόγων γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
Σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
Τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν,
Τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται;
Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
Ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην·

Ὣ

Ἀλγεῖν] Τὸ ἀλγεῖν πρὸς τὸ σὲ γηράσκουσαν ἀποδίδοται. *Bar.* 968. Ἄλεκτρα] Τὸ ἄλεκτρα καὶ τὸ ἀνυμέναια, ἐπιῤῥηματικῶς λαμβάνεται. *Bar.* 970. Ἄβουλος] Κακόβουλος, ἀνόητος ἦν ὁ Αἴγισθος, εἰ τὸ ἐμὸν καὶ σὸν παίδων βλαστεῖν εἴασεν. L. B. 972. Αὐτῷ σαφὲς] Τῷ Αἰγίσθῳ πρόδηλον, ὁμολογούμενον, ἀναμφίβολον, φανερὸν, ἀληθῆ. *Bar.*

981. Τίς γάρ ποτ' ἀστῶν] ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξήρηκεν, ὁποῖα πείσονται ἀλοῦσαι. καί τοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ· ὁποῖα καὶ πρόσθεν ἔλεγεν, ὡς χάρις μὲν, ἂν θάνω· λύπη δὲ, ἂν ζῶ. ἀλλ' ἤδη τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἐκούσα τοὺς δηλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι. 983. Ἴδεσθε τώδε] ἀντὶ τοῦ τάσδε. ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γάρ φασι. καὶ Ὅμηρος, Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 975. Θανόντος οἴσῃ] ἤγουν λάβῃς. σύναπτε δὲ πρὸς τὸ κάτω. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, εὐσεβὴς δόξεις τοῖς ἐν ᾅδου θεοῖς, ἐκ πατρὸς θανόντος καὶ κασιγνήτου. τοῦτ' ἔστιν δι' ὧν ὑπὲρ τεθνηκότος πατρὸς καὶ ἀδελφοῦ σπουδάσεις. 983. Ἴδεσθε τώδε τὼ κασιγνήτω] εἰώθασιν οἱ Ἀττικοὶ τὰ τοῦ θηλυκοῦ γένους δυϊκὰ ἀρσενικῶς ἐκφέρειν· ὅθεν καὶ

παρὰ

Quod si secuta fueris mea consulta,
Primum quidem laudem pietatis à parente infra
Defuncto reportabis, fratreque simul:
Deinde autem, ut nata es, libera
Vocabere in posterum, & nuptias *te* dignas
Consequeris. " amat enim quisque *sua* spectare commoda.
Ex ore quoque hominum famam nonne vides quantam
Tibique, & mihi, adjunges, si mihi pareas.
Quisnam civium *omnium*, aut hospitum nos conspicatus
Talibus nos laudibus non excipiet?
Videte has duas sorores, amici,
Quæ paternam domum conservarunt;

Quæ

ταρὰ λογοποιοῖς τὼ χεῖρε μόνον ἐπεκράτησεν. εὕρηται δὲ παρ' Ἰσοκράτει ἢ ἄλλοις τὼ πόλεε καὶ τοῖν πολέοιν. εὕρηται δὲ οὐ μόνον ἐν τοῖς δυϊκοῖς ἡ αὐτὴ καινοτομία, ἀλλὰ καὶ ἐν τῇ γενικῇ τῶν ἑνικῶν, ὥσπερ τὸ παρ' Εὐριπίδῃ, Οὔτ' ἐλπίδος του οὔτε δόξης ὁρῶ θάρσος. φησὶ δήπου καὶ οὗτος, Οὔτε του κλύων σάλπιγγος. καὶ Συνέσιος, Ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπτοηθέντας. ¶ Σχήμ. Τρικλ. 973. Ἀλλ' ἢν ἐπίσπῃ] γνωμολογία, τίνων τεύξονται εἰ τοῦτο πράξουσι. 978. Φιλεῖ] γνωμικόν.

SCHOL. INED. 973. Ἐπίσπῃ] Ἐφέπομαι, ἐφέψομαι, ὁ δεύτερος ἀόριστος ἐπεσπόμην. καὶ τὸ ὑποτακτικὸν παθητικὸν, ἐὰν ἐπίσπωμαι, ἐὰν ἐπίσπῃ. L. B. 974. Πρῶτον μὲν εὐσ.] Ἀντὶ τοῦ δόξαν εὐσεβείας ἀποίσῃ κάτω, ἤγουν ἐν τῷ ᾅδῃ, ἐκ πατρὸς ἀποθανόντος. τὸ εὐσεβὲς, λέγεται ἐπὶ τῶν θεῶν. τὸ ὅσιον, ἐπὶ τῶν θανόντων. τὸ δὲ δίκαιον, ἐπὶ τῶν ζώντων. L. B. 981. Ἀστῶν] Ἤγουν πολιτῶν. ἀστοὶ μὲν, οἱ ἀπὸ τῆς πόλεως. ξένοι, οἱ ἀπὸ ἀλλοτρίου τόπου. L. B. 982. Δεξιώσεται] Ἤγουν, φιλοφρονήσεται. ἀπὸ μεταφορᾶς τῶν τὰς δεξιὰς ἐμβαλλόντων ἀλλήλοις. μετὰ φιλοφροσύνης. L. B. 983. Τώδε τὼ κασ.] Ἤγουν, ταύτας τὰς ἀδελφάς. ὁ δὲ τρόπος τοῦ λόγου ἐστὶν ἠθοποιΐα. ἰστέον δὲ ὅτι διὰ τὸ ἀνδρεῖον τῆς ψυχῆς καὶ τῆς πράξεως, ἐτέθησαν τὰ ἀρσενικὰ ἄρθρα. ὁ δὲ τρόπος ἀλλοίωσις κατὰ γένος. *Bar.* 984. Ἐξεσωσάτην] Ἐξέσωσαν, ὄντα δηλονότι ὀλλύμενον. *Bar.* Ἔσωσαν, ἀπολλύμενον δηλονότι ἀπὸ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας. L. B.

985. Ὦ

Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτέ,
Ψυχῆς ἀφειδήσαντε, προὐστήτην φόνου.
Τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν·
Τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
Τιμᾶν ἅπαντας, οὕνεκ' ἀνδρείας, χρεών·
Τοιαῦτά τοι νῷ πᾶς τις ἐξερεῖ βροτῶν,
Ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
Ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί·
Σύγκαμν' ἀδελφῷ· παῦσον ἐκ κακῶν ἐμέ·
Παῦσον δὲ σαυτήν, τοῦτο γινώσκουσ', ὅτι
" Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
Χο. Ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
Καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.
Χρ. Καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
Ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν

Τὴν

985. Ὢ προὐστήτην] ἀντὶ τοῦ αἵτινες προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν. 987. Τούτω] ἀντὶ τοῦ ταύτας. 990. Τοιαῦτα πᾶς τις ἐρεῖ] ἤγουν, οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῶν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις. 996. Ἐν τοῖς τοιούτοις ἐστὶν] ὁ χορός, ὑπερτεθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας, φησὶν ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας δεῖ τὰ τοιαῦτα καὶ λέγειν καὶ ἀκούειν. 999. Ἐσώζετ' ἂν τὴν εὐλάβειαν] οὐ σώζει (φησὶ) τὴν εὐλάβειαν, ἀλλ' ἐστὶ θρασεῖα καὶ ῥιψοκίνδυνος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 990. Τοιαῦτά τοι νῷ] τὸ μὲν νῷ πρὸς τὸ ἐξερεῖ, ὥσπερ φαμέν, καλῶς λέγω σε, οὕτω καὶ ἐξερῶ σε τοιαῦτα, τὸ δὲ ζώσαιν, θανούσαιν, πρὸς τὸ ἐκλιπεῖν. τινὲς δὲ πλανῶνται ἐκ τοῦ ζώσαιν, θανούσαιν, καὶ γράφουσι νῷν, ἤγουν νῶϊ καὶ ἡμῖν. 996. Ἐν τοῖς τοιούτοις] ἤγουν τοῖς παρακεκινδυνευμένοις τῶν ἔργων, ὁποῖα τὰ παρόντα. δεῖ γὰρ μεγίστης βουλῆς, ἵνα μὴ τῷ χρόνῳ τοῖς ἐχθροῖς αἴσθησις γένηται. 998. Καὶ πρίν γε φωνεῖν] ἐπειδὴ φορτικὸν ἦν τὴν Χρυσόθεμιν μέμφεσθαι τῇ Ἠλέκτρᾳ ὡς ἀφρόνως βουλευομένῃ (ἔδει γὰρ αἰδῶ καὶ ὑποστολὴν πρὸς αὐτὴν ἔχειν ὡς προγενεστέραν οὖσαν) διὰ τοῦτό φησιν, ὦ γυναῖκες, καὶ πρὶν φωνεῖν καὶ

λέγειν

Quæ hostium modo feliciter agentium,
Animæ *suæ* non parcentes, duces erant cædis.
Has amare decet, has decet omnes venerari:
Has etiam & in festis diebus, inque civium conventu
Honorare omnes decet, propter virilem virtutem.
Talia de nobis nemo non dicet mortalium,
Viventibus, mortuisque, adeo ut *nostra* nunquam deficiat gloria.
At, O cara, obtempera, patri fer auxilium:
Adjuva fratrem: libera ex malis me:
Liberaque teipsam: illud sciens quod
" Turpe est generosis vivere turpiter.

Cho. In hisce est prudentia
Et dicenti, & audienti utilis.

Chr. Et antequam locuta esset, O mulieres, si mens
Illi non læva fuisset, servasset

Eam

λέγειν ἐμὲ αὐτῇ, ὅτι κακῶς καὶ ἀσυνέτως βουλεύεται, εἰ ἐτύγχανεν αὐτὴ φρενῶν οὐ κακῶν, ἀλλὰ καλῶν, ἐσώζετο ἂν τὴν εὐλάβειαν, καὶ τὴν ὀφειλομένην ἐξ ἐμοῦ φρονῆσαι αἰδῶ καὶ ὑποσταλὴν καὶ ἦν ἂν αἰδέσιμος ὅπως· ὥσπερ οὐχὶ σώζεται νῦν ταύτην, ἀφρόνως τοιαῦτα βουλευομένη. τοῦτ' ἔστιν, οὐκ ἔδει ἐμὲ αὐτῇ νουθετεῖν τὰ προσήκοντα, ἀλλ' αὐτὴν οἴκοθεν εἰδέναι. ¶ Σχῆμα. Τρικωλ. 990. Τοιαῦτα] ἀπόδοσις. 995. Ζῆν αἰσχρὸν] γνωμικόν. 996. Ἐν τοῖς τοιούτοις] ἐπίκρισις τοῦ χοροῦ. 998. Καὶ πρίν γε] προκατάστασις.

SCHOL. INED. 985. Τοῖσιν] Κατὰ τῶν ἐχθρῶν εὐτυχούντων, ἀσφαλῶς ἱσταμένων. L.B. Εὖ βεβηκόσι] Ἀντὶ τοῦ βεβαίως ἱσταμένοις. Bar. 986. Ἀφειδήσαντε] Αἵτινες ἀμελήσασαι καὶ καταφρονήσασαι τῆς ζωῆς αὐτῶν, προέστησαν ἐπὶ τοῦ φόνου τῶν ἐχθρῶν τῶν εὖ βεβηκότων ποτέ, ἤγουν, τοῦ Αἰγίσθου καὶ Κλυταιμνήστρας. Bar. 995. Πεφυκόσιν] Γεγονόσιν, εὐγενέσιν. L.B. 996. Προμηθία] Ἀντὶ τοῦ προμηθεία. τῆς ποτέρας Ἰάδος ἐστὶ τὸ λέγειν τὴν προμήθειαν προμηθίαν, καὶ τὴν εὐήθειαν εὐηθίαν, καὶ τὰ τοιαῦτα, διὰ μακροῦ τοῦ α, καὶ συστολῇ τῆς παραληγούσης. ἤγουν, ἡ πρὸ τοῦ πράγματος σκέψις, καὶ προμηθεὺς ἐπὶ τούτου· ἐπιμηθεὺς δὲ, ὁ ἐπὶ τῷ μετὰ τὸ πρᾶγμα βουλευομένῳ. L. B.

1001. Τοιοῦτον

Τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται;
Ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
Αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς;
Οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐδ' ἀνὴρ ἔφυς·
Σθένεις δ' ἔλαττον τῶν ἐναντίων χερῖν.
Δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
Ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
Τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
Ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
Ὅρα, κακῶς πράσσοντε, μὴ μείζω κακὰ
Κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
Λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ,
Βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
" Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
" Χρῄζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
Ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
Ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,

Κατάσχες

1001. Τοιοῦτον θράσος αὐτή θ' ὁπλίζῃ] λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος. 1003. Γυνὴ μὲν] ταῦτα πάντα ὅμοια τοῖς ἐν Ἀντιγόνῃ· εἴτις παραβάλλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα. 1004. Σθένεις δ' ἔλαττον] τοῦτο δεύτερον κεφάλαιον. 1005. Δαίμων δὲ] τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης. 1006. Ἀπορρεῖ] ἐλαττοῦται. μαραίνεται. 1011. Λύει γὰρ ἡμᾶς οὐδὲν] οὐ λυσιτελεῖ γὰρ ἡμῖν (φησὶν) οὐκ ἀπαλλάσσει τῶν κακῶν. ἢ ἀντὶ τοῦ, οὐδὲν ἡμᾶς ἐκλύσεται. 1012. Δυσκλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ Ὅμηρος, Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην. 1013. Ἀλλ' ὅταν θανεῖν χρῄζων] ὅρα ὅτι τοῦτο δηλοῖ

τὸ

Eam cautionem, quam non jam servat.
Quo enim quæso respiciens, ad tam audax facinus
Et ipsa temet armas, & me subsidio advocas?
Nonne vides? mulier quidem, non vir, es:
Vales autem minus quam hostes manuum vi.
Fortuna vero illis quidem secunda *adest* indies;
Nobis autem retrolabitur, & ad nihil redit.
Quis igitur talem virum moliens perimere
Immunis à malo discesserit?
Vide ne *nos ante* mala passæ, majora mala
Nanciscamur, siquis ista audiverit dicta:
Nihil enim nos liberat, neque *adeo* adjuvat,
Si famam nactæ honestam, indigne pereamus.
" Haud enim mori tristissimum *est*, at cum mori
" Quis cupiat, deinde ne hoc quidem valeat assequi.
Quare te supplex oro, priusquam simul & nos omnes funditus
Perdamus, & *nostrum* vastemus genus,

Cohibe

τὸ δυσκλεῶς. 1014. Εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν] οὐ τὸ τοῦ θανάτου δεινόν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1011. Λύει γὰρ] οὐδὲν ἂν λέγεις ἀπαλλάττει καὶ ἐλευθεροῖ ἡμᾶς τοῦ πρότερον πολλαῖς καὶ ποικίλαις περιπεσούσας κολάσεσι καὶ ἀδοξίᾳ μεγίστῃ, εἶτα θανεῖν. 1013. Ἀλλ' ὅταν θανεῖν] λύσις τοῦ ἀντιπίπτοντος. εἴποι γὰρ ἂν Ἠλέκτρα, ὡς εἰ θανούμεθα, τί κακὸν πεισόμεθα; ¶ Σχῆμ. Τρικλ. 1001. Ποῖ γάρ ποτε] ἀνασκευὴ καὶ ἀποτροπή, ὡς οὐ καλῶς βουλεύεται. 1013. Οὐ γὰρ θανεῖν] λύσις τοῦ ἀντιπίπτοντος. εἴποι γὰρ ἂν Ἠλέκτρα, ὡς εἰ καὶ θανούμεθα. 1015. Ἀλλ' ἀντιάζω] ἱκεσία.

SCHOL. INED. 1005. Εὐτυχὴς] Εὐτυχής ἐστι δηλονότι, ἤγουν εὐτυχεῖ, αὔξει, προκόπτει. L. B. 1016. Ὀλέσαι] Διαφθαρῆναι. Κἀξερημῶσαι] Καὶ ἀφανίσαι, καὶ ἔρημον ποιῆσαι, ἤγουν, ἐρημωθῆναι. ἀλλοίωσις κατὰ διάθεσιν. *Bar.*

Κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
Ἄῤῥητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι·
Αὐτὴ δὲ νοῦν σχὲς, ἀλλὰ τῷ χρόνῳ ποτὲ,
Σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.

Χο. Πείθου· " προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
" Κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

Ηλ. Ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς
Δ' ᾔδειν σ' ἀποῤῥίψουσαν ἁ 'πηγγελλόμην.
Ἀλλ' αὐτοχειρί μοι μόνῃ τε δραστέον
Τοὔργον τόδ'. οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.

Χρ. Φεῦ, εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
Θνήσκοντος εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.

Ηλ. Ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.

Χρ. Ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.

Ηλ. Ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε;

Χρ. " Εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράττειν κακῶς.

Ηλ.

1024. Ἃ 'πηγγελλόμην] ἀντὶ τοῦ ἃ ἤκουον, τὸ δὲ παρακαλοῦν, ἀπαγγέλλειν φησίν. 1025. Ἀλλ' αὐτοχειρί μοι] ἐγκρατέστερον καὶ ἐθέλει τι εὐτολμώτερον, ὡς καὶ ἐν Ἀντιγόνῃ. 1032. Εἰκὸς γὰρ ἐγχειροῦντα] εἰκὸς τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα, καὶ πάσχειν κακῶς. τοῦτο δὲ Πινδαρικόν, Ἐπρέζοντά τι καὶ παθεῖν ἔοικεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1025. Ἀλλ' αὐτοχειρί] ἤγουν αὐτοχειρίας ποιήσω, καὶ μόνη, μὴ παραλαβοῦσα μηδένα σύμμαχον. ἀγνοοῦντες δὲ τινες οὕτω φάσκειν, ἀργὸν τό τι λέγουσι. 1032. Εἰκὸς γὰρ] κατὰ συνεκδοχὴν τὸ κακῶς πρὸς τὸ ἐγχειροῦντα ἀπὸ τοῦ πράσσειν νόει. ¶ Σχόλ. Τρικλ. 1021. Πείθου, προνοίας] γνωμικόν.

SCHOL. INED. 1019. Αὐτὴ δὲ νοῦν] Ἤγουν, οὐδ' αὐτὴ μηδὲν σθένουσα λάβε τινὰ γνῶσιν κἂν ἄλλῳ χρόνῳ, ὥστε ὑποτάσσεσθαι τοῖς κρατοῦσιν. *Bar.* 1021. Οὐδὲν ἀνθρώποις] Οὐδὲν ἄλλο δηλονότι ἔφυ

χρεῖα

Cohibe iram: & quæ jam dicta sunt,
Indicta ego tibi & irrita servabo.
Ipsa vero mentem habens *sanam disce* saltem aliquando,
Cum nihil valeas, potentioribus cedere.

Cho. Obtempera: "prudentia enim nihil mortalibus est
"Lucri, quod percipiant, præstantius, neque mente sana.

El. Inexpectatum nihil dixisti: pulchre enim
Novi te rejecturam mea consilia proposita.
Sed hisce manibus, mihique soli peragendum *restat*
Etiam hoc opus: neque enim jam irritum demittemus.

Chr. Heu! utinam tali fuisses animo, pater
Cum cæderetur: *sic* enim omnia *per te* confecisses.

El. Eram quidem natura *talis*, sed animo tunc imbecilliore.

Chr. Da operam, ut talis animo semper perstes.

El. Non adjuturæ sunt hæc monita, *scio*.

Chr. "Probabile *est* enim *mala* molientem cadere in infortunium.

El.

κρεῖττον τῆς προμηθείας ὑπῆρξε τοῖς ἀνθρώποις λαβεῖν. οὐδὲ τοῦ νοῦ τοῦ φρονίμου. L. B. *Bar.* 1023. Ἀπροσδόκητον] Ὁ λόγος οὗτος τῆς Ἠλέκτρας οὐ πρὸς τὸν χορὸν, ἀλλὰ πρὸς τὴν Χρυσόθεμιν. οὐδὲν ἀπροσδόκητον εἴρηκας, ἐγὼ δὲ ᾔδειν καὶ ἐγνώρισά σε ἀποῤῥίψασαν ἃ εἶπον σοὶ δηλονότι. *Bar.* 1024. Ἀπηγγελλόμην] Παρήγγελλον, ἤγουν παρῄνουν. ἐπαγγέλλομαι, τὸ ὑπισχνοῦμαι. ἐπαγγέλλω δὲ ἐνεργητικῶς, τὸ ζητῶ. ἐνταῦθα δὲ τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ κεῖται. ἤγουν ἀντὶ τοῦ ἐζήτουν. L. B. 1027. Εἴθ'] Εἴθε ὤφελες εἶναι τοιαύτη κατὰ τὴν γνώμην τότε, ὅτε ἐθνήσκετο τοῦ πατρὸς τοῦ Ἀγαμέμνονος, πάντα γὰρ ἂν κατειργάσω. *Bar.* 1029. Ἀλλ' ἦν] Οὐκ ἔστιν ὡς, οὐκ ἦν, ἀλλ' ἦν μὲν κατὰ τὴν φύσιν τοιαύτη τότε, κατὰ δὲ τὸν νοῦν, ἤγουν τὴν φρόνησιν, ἐλάττων. L. B. 1030. Ἄσκει] Ἄσκει καὶ ἐπιτήδευε μένειν καὶ ὑπάρχειν τοιαύτη κατὰ τὸν νοῦν, μέχρι τοῦ σοῦ αἰῶνος.

διότι

Ηλ. Ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
Χρ. Ἀνέξομαι κλύουσα, χ᾽ ὤταν εὖ λέγῃς.
Ηλ. Ἀλλ᾽ οὔποτ᾽ ἐξ ἐμοῦ γε μὴ μάθῃς τόδε.
Χρ. Μακρὸς τὸ κρῖναι ταῦτα χ᾽ ὁ λοιπὸς χρόνος.
Ηλ. Ἄπελθε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
Χρ. Ἔνεστιν, ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
Ηλ. Ἐλθοῦσα μητρὶ ταῦτα πάντ᾽ ἔξειπε σῇ.
Χρ. Οὐδ᾽ αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ᾽ ἐγώ.
Ηλ. Ἀλλ᾽ οὖν ἐπίστω γ᾽ οἷ μ᾽ ἀτιμίας ἄγεις.
Χρ. Ἀτιμίας μὲν οὔ, προμηθείας δὲ σοῦ.
Ηλ. Τῷ σῷ δικαίῳ δῆτ᾽ ἐπισπέσθαι με δεῖ;
Χρ. Ὅταν γὰρ εὖ φρονῇς, τόθ᾽ ἡγήσῃ σὺ νῷν.
Ηλ. Ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.

Χρ.

διότι μὴ θέλουσα ποιῆσαι ταῦτα, νουθετεῖς ἐμὲ δηλονότι. *Bar.* Αἰῶνος] Αἰὼν, σημαίνει τρία· χίλια ἔτη, τὸ ὅλον διάστημα τοῦ κόσμου, καὶ ἑκάστου τὴν ζωήν. *Bar.*

1034. Χ᾽ ὤταν εὖ λέγῃς] οἷον, ἔσται καιρὸς ὅτε μοι εὐφημήσεις. ἤτοι πείθουσομαι, καὶ ἐπαινέσω σε, ὅταν εὖ λέγῃς. 1042. Ἀτιμίας μὲν οὔ] οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου. 1045. Ἦ δεινὸν εὖ λέγουσαν] δεινὸν ἐμὲ καλῶς λέγουσαν, δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν, διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρὸς, πρὸς τοῦτο ἡ Ἠλέκτρα, δεινόν ἐστι. σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράσσειν καὶ ἁμαρτάνειν. ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ, Εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ, τῷ ἁμαρτάνειν. λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις· ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1034. Χ᾽ ὤταν εὖ λέγῃς] τὸ καὶ τοῦτο πρὸς ἕτερον καὶ τὸ, χ᾽ ὁ λοιπὸς χρόνος, ἔχει τὴν δύναμιν, εἰ καὶ διὰ μέσου Ἠλέκτρα εἴρηκεν τὸ, Ἀλλ᾽ οὔποτ᾽ ἐξ ἐμοῦ γε μὴ μάθῃς τόδε. 1037. Ὠφέλησις] ἤγουν οὐκ ἐκ σοῦ τις ὠφεληθήσεται. οὐ γὰρ δύνασαι ὠφελεῖν τινά. οὐ γάρ ἐστί σοι ὠφέλειά τις, ἣν ὠφελήσεις ἄλλον. πρὸς ὅπερ ἡ Χρυσόθεμις, ἐμοὶ, φησὶν, ἔνεστιν ὠφέλεια, ἀντὶ τοῦ γνῶσις ὠφελείας· σοὶ δὲ μάθησις οὐκ ἔστιν.

El. Laudo te ob tuam prudentiam, sed ob timiditatem odi.

Chr. Sustinebo audire, *veniet tempus* quando & me laudabis.

El. At ex me quidem id nunquam audies.

Chr. Sat longum restat tempus, quod hæc dijudicet.

El. Abi: in te enim nihil inest auxilii mihi.

Chr. Inest: tibi autem deest, qui discat, animus.

El. I, matri hæc omnia enarra tuæ.

Chr. At nondum tanto in te odio accendor ego.

El. Scis tu tamen, quo me infamiæ ducis.

Chr. Infamiæ quidem non, sed providentiæ tibi *profuturæ*.

El. Ergone, quod tibi justum videtur, sequi me oportet?

Chr. Cum tu recte sapueris, & tu nobis præiveris.

El. " Malum est profecto bene dicentem, *factis* peccare.

Chr.

ἐστιν. 1042. Προμηθείας δέ σου] τὸ γὰρ ἀποτρέπειν σε ταύτης τῆς γνώμης, προνοουμένη σου ποιῶ, ἵνα μὴ Κλυταιμνήστρας μαθούσης, κακόν τι πάθῃς. 1045. Ἦ δεινὸν] κρεῖττον ἂν ἦν, εἰ ἦν, εὖ λέγοντα. ἐδόκει γὰρ ἂν καθολικὸν γνωμικόν· νῦν δ' ἐπειδὴ καὶ ἡ λέγουσα γυνή ἐστι, διὰ τοῦτο, καὶ τοῦτο θηλυκῶς ἐξηνέχθη καὶ ἐστὶν ὅπως γνωμικὸν καὶ οὐ γνωμικόν. διότι μὲν γὰρ οὐκ ἔστι κατὰ παντὸς ἀνθρώπου, ἐκπίπτει τοῦ ὀνόματος· διότι δὲ κατὰ πασῶν ἐστι γυναικῶν, τοὔνομα δέχεται.

SCHOL. INED. 1034. Ἀνέξομαι] Ἀνέξομαι κλύουσα τὴν ὕβριν· ἥξει καιρὸς, ὅταν καὶ εὐφημήσῃς ἐμέ. *Bar.* 1036. Λοιπὸς χρόνος] μακρός ἐστιν ὁ ἐπίλοιπος χρόνος, ὅστις ἔνι, εἰς τὸ κρῖναι ταῦτα. ἤγουν, ἢ εὐφημήσεις τὴν βουλὴν, ἥν σοι λέγω, ἢ οὐχί. *Bar.* 1040. Οὐδ' αὖ] Ἤγουν, οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σε ἐγὼ, ἵνα ἐλθοῦσα ἐξείπω ταῦτα τῇ ἐμῇ μητρί. *Bar.* Εἰ μὴ ἐχθαίρεις μοι, ἀλλ' οὖν ἐπίστασο, ὅποι τῆς ἀτιμίας, ἤγουν τῆς καταφρονήσεως, τῆς ἀπαξιώσεως ἄγεις με. B. L. Ἐχθαίρω] Κυρίως ἔχθρα, τὸ μῖσος. ἐχθρὸς δὲ παράγεται ἀπὸ τοῦ ἔχειν θροῦν, ἤγουν θόρυβον. ἔστι γὰρ ὅταν ἡ ψυχὴ δι' ὄρεξιν ἀντιλυπήσεως ἔχῃ ταραχὴν καὶ θόρυβον ἔνδον ἐν καρδίᾳ καὶ δυσκινηρὰν κίνησιν, *Bar.* 1043. Τῷ σῷ] Εἰ-

ρωνικῶς

Χρ. Εἴρηκας ὀρθῶς, ᾧ σὺ προσθήσεαι κακῷ.

Ηλ. Τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;

Χρ. Ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.

Ηλ. Τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.

Χρ. Ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.

Ηλ. Καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.

Χρ. Καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσῃ πάλιν;

Ηλ. « Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

Χρ. Φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.

Ηλ. Πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.

Χρ. Ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη
Τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.

Ηλ. Ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
Οὐδ' εἰ σφόδρ' ἱμείρουσα τυγχάνεις· ἐπεὶ
« Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.

Χρ.

ρωνικῶς φησι τοῦτο ἡ Ἠλέκτρα πρὸς τὴν Χρυσόθεμιν, ἅτε τὰ ἄδικα συμβουλεύει· ἄλλοι δὲ μεταγινώσκουσι τοῦτο ἐρωτηματικῶς. Bar. 1044. Ὅτω γὰρ] Ἡ μὲν Ἠλέκτρα φησὶ τοῦτο περὶ αὐτῆς, ὅτι συμβουλεύει τὴν Χρυσόθεμιν τὰ κρείττονα, καὶ ἡ Χρυσόθεμις οὐ πείθεται, ἀλλὰ λέγει ὅτι σφάλλεται ἡ Ἠλέκτρα. ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ, καί φησι, ναὶ, ὀρθῶς εἴρηκας. διότι ἐγὼ συμβουλεύω σε τὰ κρείττονα, ἵνα ὑπείκῃς τοῖς βασιλεῦσι, καὶ σὺ λέγεις ὅτι σφάλλομαι συμβουλεύουσά σοι ταῦτα, ἐν τῷ ὁποίῳ τούτῳ κακῷ, σὺ πρόσκεισαι. Bar.

1050. Ἀλλ' εἰ ποιήσεις ταῦτα] οἷον, τοῖς δεινοῖς περιπεσοῦσα, ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν. 1052. Πάλιν] εἰς τοὐπίσω. ἢ τὸ ἐναντίον. 1058. Μεθέψομαι] ἀντὶ τοῦ κοινωνήσω.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1050. Ἀλλ' εἰ ποιήσεις ταῦτα] τὸ ταῦτα διπλῶς νοητέον, ἢ ταῦτα ἃ ἐγὼ λέγω, οὕτως, ἢν τὴν ἐμὴν συμβουλὴν δέξῃ, καὶ ἀπὸ τῆς ταύτης τῆς γνώμης, ἔξω κινδύνου ἔσῃ, καὶ ἐμὲ τὴν ταῦτά σοι συμβουλεύσασαν ἐπαινέσεις τῆς προμηθείας· ἢ ταῦτα ἃ αὐτὴ βούλει, οὕτω,

ἀλλ'

Chr. Recte tuum, quo laboras, tetigisti morbum.
El. Quid? annon jure tibi hæc videor dicere?
Chr. Est tamen ubi & jus dispendium affert.
El. Has ego secundum leges nolo vivere.
Chr. At hæc si feceris, laudabis me postea.
El. Atqui faciam equidem, neutiquam à te territa.
Chr. Etiamne hoc certum? neque *tuum* mutabis consilium *meo*.
El. "Consilio enim nihil est odiosius malo.
Chr. Intelligere videris nihil eorum, quæ loquor.
El. Olim decreta sunt hæc mihi, non nuper.
Chr. Abeo igitur: neque enim tu meos sermones
Sustines probare, neque ego tuos mores.
El. Quin abi, non tecum communicabo amplius,
Neque si impensius cupias: quoniam
"Ingentis est stultitiæ vel sequi inania.

Chr.

ἀλλ' εἰ τὸ σὸν θέλημα ποιήσεις, ἐπαινέσεις ἐμέ. τοῦτ' ἔστιν, ὅτι δυνήσῃ ἐργάσασθαί τι, καὶ ἀπελπίσασα κινδυνεύσεις, καὶ τότε μετ' εὐφημίας ἐμοῦ μνημονεύσεις, ὡς ὑποτιθεμένης σοι τὰ λυσιτελῆ. εἰ μὲν οὖν εἴπῃς τὸ δεύτερον, πρὸς τὸ ποιῆσαι στέξεις. 1051. Οὐδὲν ἐκπλ.] οὐδαμῶς ἐκπλαγεῖσα καὶ αἰδεσθεῖσά σε, καὶ φροντίσασα εἰ ἔστι τὸ ἃ πρὸς τὸ οὐδὲν, καὶ μὴν οὐδαμῶς ποιήσω ἃ λέγεις, ἐκπλαγεῖσα καὶ αἰδεσθεῖσά σε. 1052. Καὶ τοῦτ'] διπλῶς, ἢ ὅτι ποιήσεις ἃ ἐγὼ λέγω, ἢ ὅτι ποιήσεις ἃ αὐτὴ βούλει· ἀλλ' οὐδὲ εἰς συμβουλὴν μετὰ ταῦτα καλέσεις με πάλιν: ἢ οὐ μεταβουλεύσῃ πάλιν. 1058. Οὔ σοι μὴ] τὸ οὐ καὶ μὴ ἐκ παραλλήλου. τὸ δὲ μεθέψομαι ἀντὶ τοῦ μεταδιώξω, καὶ πρὸς συμβουλὴν παραλήψομαι. 1059. Ἱμείρουσα τυγχάνῃς] ἱμείρομαι τὸ ἐπιθυμῶ, καὶ ἱμείρω ποιητικῶς τὸ αὐτό. 1060. Θηρᾶσθαι κενὰ] μάταια καὶ ἀδύνατα γινέσθαι· εἰ γάρ τις πρὸς συμβουλήν σε παραλήψεται, οὐδὲν ἀνύει.

SCHOL. INED. 1053. Βουλῆς] Οὐδαμῶς· καὶ γὰρ βουλῆς κακῆς οὐδέν ἐστιν ἔχθιον, ἤγουν, μᾶλλον μεμισημένον. ὥστε δηλονότι καλῶς βουλευομένη, οὐ βουλεύσομαι ἑτέραν κακὴν βουλήν. L. B. 1054. Φρονῶ] Ἀντὶ τοῦ ἀποδέχεσθαι, στέργειν. φρονῶ τὸ νοῶ. καὶ φρονῶ τὰ τοῦ δεῖνος, ἀντὶ τοῦ στέργω, ἀποδέχομαι. L. B. 1055. Πάλαι] Ἀντὶ τοῦ πάλαι ποιῶ, ἤγουν ἐκ μακροῦ, ἐκ πολλοῦ. καὶ πάλαι ἐποίησα, ἤγουν πρὸ μακροῦ. L. B. *Bar.*

Χρ. Ἀλλ᾽ εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
Φρονεῖν, φρόνει τοιαῦθ᾽. ὅταν γὰρ ἐν κακοῖς
Ἤδη βεβήκῃς, τἄμ᾽ ἐπαινέσεις ἔπη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ α΄.

Χο. Τί τοὺς ἄνωθεν φρονιμωτάτους
Οἰωνοὺς ἐσορώμενοι
Τροφᾶς κηδομένους, ἀφ᾽ ὧν τε
Βλαστῶσιν, ἀφ᾽ ὧν τ᾽ ὄνησιν εὕρω-
σι, τὰ δ᾽ οὐκ ἐπίσης τελοῦμεν;
Ἀλλ᾽ οὐ τὰν Διὸς ἀστραπὰν,
Καὶ τὰν οὐρανίαν Θέμιν,
Δαρὸν γὰρ οὐκ ἀπόνητοι.
Ὦ χθονία βροτοῖσι φάμα,

Κατὰ

1062. Ὅταν γὰρ ἐν κακοῖς] παρὰ τὸ Ὁμηρικὸν, Ῥεχθὲν δέ τε νήπιος ἔγνω. 1064. Τί τοὺς ἄνωθεν φρονιμωτάτους] τὸ ἄνωθεν ἢ τόπου, ἢ χρόνου ἐστίν. ἄνωθεν ἐκ φύσεως· ἢ τοὺς ἐν τῷ ἀέρι. οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ τὸ περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία. ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. τὸ δὲ ἑξῆς, τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς ἀφ᾽ ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ᾽ ὧν ἂν ὄνησιν εὕρωσιν. ἐπὶ τῶν τέκνων τὰ δύο, ἀφ᾽ ὧν τ᾽ αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ᾽ ὧν τε καὶ ὄνησιν εὕρωσι. λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσι. 1068. Τὰ δ᾽ οὐκ ἐπίσης] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις καθ᾽ ὧν τὸν λόγον πεποίηται. 1071. Οὐκ ἀπόνητοι] ἀντὶ τοῦ, οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν. 1072. Ὦ χθονία βροτοῖσιν] οὐ τὴν ἐπίγειόν φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωροῦσαν διαφημίζουσαν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1062. Φρόνει τοιαῦθ᾽] φρονῶ, τὸ φρόνησιν ἔχω, ἀμεταβάτως· καὶ φρονῶ τόδε, ἀντὶ τοῦ νοῶ, μεταβατικῶς. 1065. Οἰωνοὺς] ἤγουν τοὺς πελαργούς. οὗτοι γὰρ γηράσαντας τοὺς πατέρας τρέφουσιν, εἰς

ἀμοιβὴν

Chr. At si tibi ipsi videris omnino sapere,
Talia licet sapias: sed ubi in mala
Jam perveneris, mea probabis dicta.

ANTISTROPHICA. STROPHE. 1.

Cho. Quare quæ supra *volitant* prudentissimas
Alites intuentes
Earum victui prospicere, & à quibus
Natæ fuerint, & à quibus beneficium
Acceperint, *quare* non *&* *nos eadem* pari gratia facimus?
At non per Jovis fulgur,
Cœlestemque Themin
Diu non erimus impuniti.
O terram penetrans mortalium Fama,
Defer

ἀμοιβὴν τῆς γενέσεως καὶ ἀνατροφῆς· ὅθεν καὶ τὸ ἀντιπελάργωσις εἴρηται. 1068. Τελοῦμεν] ποιοῦμεν καὶ αὐτοὶ εἰς τοὺς ἰδίους πατέρας. τοῦτο δὲ λέγει διὰ τὴν Χρυσόθεμιν, ὡς οὐ φροντίζουσαν τοῦ πατρός. 1069. Ἀλλ' οὐ τὰν Διὸς] οὐ χρὴ τὸ μὲν αὐτὸς τοῦ κόλου γράφειν (ἀδιανόητον γάρ ἐστι) ἀλλὰ καὶ ἐκβαλλέσθω παρ' ἡμῶν· νοεῖν δὲ χρὴ τοῦτο ἔχειν Ἀττικῶς. οὗτοι γὰρ οὐ μόνον τὸ μὲν λαμβάνουσιν ἐξῆς, ὡς τὸ ὁ τίς, ἀλλὰ καὶ τὸ μὲν τιθέντες, τὸ τοῦ Θεοῦ παραλείπουσιν ὄνομα. 1071. Οὐκ ἀπόνητοι] ἤγουν ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα καὶ Αἴγισθος. ἐσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ δεσπότας εἶναι. 1072. Ὦ χθονία] ἤγουν εἰς τὰ ὑποχθόνια ἄνωθεν κατιοῦσα, καὶ τὰ ἐν τῷ κόσμῳ γινόμενα τοὺς κάτω διδάσκουσα.

SCHOL. INED. 1061. Ἀλλ' εἰ] Εἰ δοκεῖς, ἤγουν φαίνῃ σεαυτῇ κατά τι φρονεῖν, ἤγουν φρόνησιν ἔχειν. φρονῶ τὸ φρόνησιν ἔχω, ἀμεταβάτως, καὶ φρονῶ τόδε ἀντὶ τοῦ νοῶ μεταβατικῶς. L. B. 1067. Βλαστάνω] Τὸ βλαστάνω καὶ τὸ εὕρισκω, ἀντὶ τοῦ ἀναβλάστησαι καὶ εὑρεῖν. *Bar.* 1071. Ἀπόνητοι] Οὐκ ἀπόνητοι ἐσόμεθα δηλονότι, ἀντὶ τοῦ ἀτιμώρητοι. L. B. 1072. Ὦ χθονία] Ὦ φήμη βροτῶν, καταβόησον χθονία. ἀντὶ τοῦ καταχθονίοις βόησον. τὸ δὲ καταχθονία, ἀντὶ ἐπιρρήματος, ἤγουν ἐν τοῖς καταχθονίοις. ὥσπερ λέγομεν ταχὺς ἦλθεν, ἀντὶ τοῦ μετὰ τάχους. *Bar.* L. B. Ὦ φήμη τῶν βροτῶν, καταβόησον ἐν τοῖς καταχθονίοις τοῖς Ἀτρείδαις οἰκτρὰν φωνήν, τοῖς οὖσιν ἔνερθεν, ἤγουν κάτω ἐν ᾅδῃ, φέρουσα

Κατά μοι βόασον οἰκτρὰν
Ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
Ἀχόρευτα φέρουσ' ὀνείδη.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Ὅτι σφίσ' ἤδη τὰ μὲν ἐκ δόμων
Νοσεῖ δή. τὰ δὲ πρὸς τέκνων,
Διπλῆ φύλοπις οὐκέτ' ἐξι-
σοῦται φιλοτησίῳ διαίτᾳ.
Πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς
Δειλαία στενάχουσ', ὅπως
Ἁ πανόδυρτος ἀηδών,

Οὔτε

αὐτοῖς δηλονότι ὀνείδεα ἀχόρευτα. τουτέστιν, προσκρούσασα αὐτοῖς τοῖς Ἀτρείδαις διὰ τῆς οἰκτρᾶς φωνῆς, ὀνείδεα λυπηρά. ὅτι τοῖς Ἀτρείδαις αὐτὰ νοσοῦσι· τὰ μὲν ἐκ δόμων, τάδε παρὰ τῶν τέκνων. ἔστι δὲ διπλῆ μάχη· ἡ μητρὸς καὶ θυγατέρων, καὶ θυγατέρων ἐν ἀλλήλαις. καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ αὕτη ἡ διπλῆ μάχη, φιλοτησίῳ διαίτῃ. ἢ καὶ οὕτως. καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ τὰ τῶν τέκνων ἐν φιλοτησίῳ διαίτῃ. Bar.

1074. Τοῖς ἔνερθ' Ἀτρείδαις] ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην. δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι. 1075. Ἀχόρευτα φέρουσ' ὀνείδη] ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ. 1076. Ὅτι σφίσιν ἤδη] ἡ ἀπόστασις πρὸς τὴν Κλυταιμνήστραν. ἄγγειλον οὖν (φησὶν) ὅτι τὰ κατ' οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ. 1078. Οὐκέτ' ἐξισοῦται] οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας. 1080. Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει. ἐκ μεταφορᾶς τῶν νεῶν. μόνη δὲ αὕτη ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας. 1081. Τὸν ἀεὶ πατρὸς] λείπει ἡ περί, περὶ τοῦ πατρὸς στενάχουσα. ὡς τὸ Ὁμηρικόν, Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, Ὡς ἑνός. τὸ δὲ ἑξῆς, ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα, ἢ τὸ ἀεί, εἰς τὸν ἀεὶ χρόνον.

ΣΧΟΛ.

Defer mihi miserabilem
Vocem *hanc* ad manes Atridarum,
Gaudii prorsus vacua nuntiantem opprobria.

ANTISTROPHE I.

Quod jam illis res domesticæ
Ægre se habent. neque inter liberos
Duplex discordia adhuc
Componitur amico convictu.
Prodita vero, *ac* sola fluctuat
Electra, perpetuo patris *necem*
Misera gemens, sicut
Luctu inexplebilis luscinia,

Neque

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1073. Κατά μοι βόασον] εἰκότως εἶπε τὸ καταβόησον, ἐπειδὴ ἐπὶ κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς Φήμης πρὸς Ἀγαμέμνονα λόγος γενέσθαι ἔμελλεν. 1077. Τὰ δὲ πρὸς τέκνων] δέον οὕτως εἰπεῖν, τὰ παρὰ τῶν τέκνων οὐχ ὁμονοεῖ· ὁ δὲ πρὸς τὴν διάστασιν καὶ μάχην αὐτῶν τὸν λόγον ἔτρεψε, λέγων, τὰ δὲ παρὰ τῶν τέκνων Ἠλέκτρας καὶ Χρυσοθέμιδος, διπλῆ φύλοπις καὶ μάχη, οὐκ ἐξισοῦται φιλοτησίῳ καὶ φιλικῇ διαίτῃ καὶ διαγωγῇ· τοῦτ' ἔστιν, ἀλλήλαιν δυσάρθραι τὴν γνώμην οὐκ εἰς ὁμόνοιαν πέπλυσι. διπλῆν δὲ λέγει τὴν μάχην, διὰ τὸ καὶ τὰς ἐχούσας δύο εἶναι. 1080. Μόνα σαλεύει] τὸ σαλεύειν κυρίως ἐπὶ νεὼς λέγεται, ὅτ' ἐπ' ἀγκύρας κινεῖται καὶ ἀστατεῖ. 1081. Τὸν ἀεὶ πατρὸς] θρῆνον δηλαδὴ ἢ φόνον. τὸ δὲ ἀεὶ πρὸς τὸ στενάχουσα συναπτέον.

SCHOL. INED. 1074. Ἔνερθ'] Τὸ ἔνερθε τὸ κάτωθεν δηλοῖ, κατὰ τὴν ἀκολουθίαν τῶν εἰς θεν ἐπιρρημάτων. ἐνταῦθα δὲ λαμβάνεται ἀντὶ τοῦ κάτω. L. B. 1080. Μόνα σαλεύει] Μόνη δὲ ἡ Ἠλέκτρα προδεδομένη τὸν ἀεὶ χρόνον ἕνεκα τοῦ πατρὸς Ἀγαμέμνονος, στενάχουσα ἡ ἀθλία ὥσπερ ἡ πανόδυρτος ἀηδὼν, σαλεύει καὶ κλυδωνίζεται· ἑλοῦσα δὲ, ἤγουν ποθοῦσα καὶ θέλουσα φονεῦσαι τὴν διδύμην ἐρινὺν, τουτέστι, τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν, οὔτε προμηθής ἐστι τοῦ θανεῖν, ἤγουν ἕνεκα τοῦ θανάτου. ἀλλ' ἑτοίμη ἐστὶν εἰς τὸ μὴ βλέπειν, τουτέστιν, εἰς τὸ μὴ ζῆν. *Bar.* 1083. Ἁ πανόδυρτος] Ἤγουν, ἡ πάντοτε ὀδυρομένη Ἀηδὼν τὸν υἱὸν Ἴτυν. θρηνεῖ δὲ αὐτὸν διὰ πάσης ἡμέρας καὶ νυκτός. *Bar.*

1084. Οὔτε

Οὔτε τι τοῦ θανεῖν προμηθὴς,
Τό, τε μὴ βλέπειν ἑτοίμα,
Διδύμαν ἑλοῦσ' ἐρινύν.
Τίς ἂν εὔπατρις ὧδε βλαστοῖ;

ΣΤΡΟΦΗ. β'.

"Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
"Εὔκλειαν αἰσχῦναι θέλει
"Νώνυμος, ὦ παῖ, παῖ' ὥς-
τε καὶ σὺ πάγκλαυτον αἰ-
ῶνα κοινὸν εἵλου,
Τὸ μὴ καλὸν καθοπλίσασα,
Δύο φέρειν ἐνί γε λόγῳ,
Σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

ANTI-

1084. Οὔτε τι τοῦ θανεῖν προμηθὴς] πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν. ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας τύχης, καὶ κινδυνεύουσα. 1085. Τό τε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι· τουτέστι, τῶν ὀφθαλμῶν τῶν ὀμμάτων. ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι. καὶ τίνι λόγῳ διδύμαν ἐρινύν. ἢ ἀντὶ τοῦ θανοῦσα τὰς δύο. ἑτοίμη μὴ βλέπειν αὐτοὺς, ἀλλ' ἐν σκότῳ γενέσθαι τοῦ θανάτου. ἐν τῇ αὐτῇ ἐρινὺν γεγράφθαι τῷ Ἀγαμέμνονι ὅ ἐστι διπλῆν ἐρινύς. 1086. Διδύμαν] Αἴγισθον καὶ Κλυταιμνήστραν. 1090. Νώνυμος] ἀνώνυμος τῆς εὐκλείας θέλει γενέσθαι. Ὦ παῖ, παῖ] ὥστε καὶ σὺ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον. 1092. Κοινὸν] [illegible], καὶ κοινὸν ἐπὶ παντὸς αἰῶνος [illegible]. 1093. Καθοπλίσασα] ἀντιπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα, οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1084. Τοῦ θανεῖν προμηθὴς] ἀντὶ τοῦ προμήθειαν καὶ φροντίδα ἔχουσα, ἤγουν οὐ φροντίζουσα εἰ τεθνήξεται. οἱ δὲ τοῦ μὴ θανεῖν γράφοντες, ἀμαθεῖς. 1085. Τό, τε μὴ βλέπειν] μὴ λέγῃς τὸ τε, ἀλλὰ γράφε τὸ [illegible]· ἀλλ' ὥσπερ φασὶν ἑτοιμία εἰμὶ τοῦδε, ὥσπερ ἕτοιμός εἰμι τόδε. 1087. Τίς ἂν εὔπατρις] οἱ γράφοντες τίς ἂν οὖν οὐκ ἴσασι τὰ περὶ τὸ μέτρον· διὸ περιττὸν κείμενον ἐξεβλήθη παρ' ἡμῶν τὸ οὖν. ἔχει δὲ καὶ πρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς οὕτωσὶ κείμενον.

1088. Ζῶν

Neque de morte tantillum solicita;
Quin & luce privari parata est,
Postquam geminas perdiderit Furias.
Quis bonus progenitus sic vivere sustineat?

STROPHE 2.

"Nemo generosus vitam agens miseram,
"Nobilitatem turpare suam sustinet
"Obscurus ut fiat, O filia, filia; quare
Et tu lacrymabilem
Assidue vitam elegisti,
Inhonesta strenue oppugnans,
Ita ut una tantum ratione duo feras *praemia*,
Prudensque optimaque *simul* filia dici.

ANTI-

088. Ζῶν κακῶς] τοῦτο αἰτία ἐστὶ τοῦ αἰσχῦναι τὴν εὔκλειαν. 1090. Ὥστε καὶ σὺ] ὥστε χρὴ γράφειν ἀντὶ τοῦ ὥσπερ, ἵν' ἔχῃ τὰ κῶλα ὀρθῶς. ἀλλὰ καὶ πάγκλαυτον. οὕτω γὰρ οἱ Ἀττικοὶ τὰ τοιαῦτα γράφουσιν ἐκβάλλοντες τὸ σ, ὥσπερ καὶ τὸ, εὐκλίμενον παρ' Ὁμήρῳ.

SCHOL. INED. 1087. Τίς ἂν εὐπ.] Ἤγουν, τίς οὖν ἄλλη εὐγενὴς, ἐβλάστησεν οὕτως, τουτέστιν, ἐγεννήθη τοιαύτη κατὰ τὴν φύσιν καὶ διάθεσιν. *Bar.* 1088. Οὐδεὶς τῶν ἀγαθῶν] Ἤγουν, εὐγενῶν, ζῶν κακῶς, ἤγουν δυστυχῶς, θέλει γενέσθαι νώνυμος καὶ ἀνωνόμαστος, ὥστε αἰσχῦναι παντελῶς. ὥσπερ καὶ σὺ, ὦ παῖ, ἤγουν θύγατερ, καθοπλίσασα, καὶ καταπαλαίσασα τὸ μὴ καλὸν, ἤγουν τὸ αἰσχρὸν, προείλου διηνεκῆ αἰῶνα πάγκλαυστον καὶ πενθικόν. ἑλομένη καὶ θέλουσα ἐν ἑνὶ λόγῳ φέρειν δύο ὀνόματα, καὶ κεκλῆσθαι καὶ ὀνομάζεσθαι παῖς ἀρίστη καὶ σοφή. *Bar.* 1089. Αἰσχύναι] Αἰσχύναι ... προσφέρουσι σοι τὰ ἐγκλήματα. καὶ αἰσχύνω τινὰ, ὅτε αἰσχρὰ ποιῶ ἐγώ. ... δὲ συμμετέχει τῆς αἰσχύνης αὐτῶν ὡς πατὴρ, ἢ υἱὸς, ἢ συγγενής. καὶ ἁπλῶς τοιοῦτό τι· καθὸ λέγεται ἐνταῦθα, τὴν εὔκλειαν αἰσχῦναι θέλει. ἤγουν οὐ θέλει ἀνοῖξαι τῆς εὐγενείας ποιεῖν, ὡς ἄτιμον γενέσθαι τὴν εὐγένειαν αὐτοῦ καὶ ἐλαττοῦσθαι. L. B. 1092. Εἵλου] Ὅταν δὲ ποιήσῃς μετ' ὑπαλλαγὴν, τὸ μὲν εἵλου ῥῆμα λαμβάνων ἀντὶ μετοχῆς, ἤγουν ἑλομένη· τὸ δὲ καθοπλίσασα μετοχὴν, ἀντὶ ῥήματος, ἤγουν καθώπλισας, ποιήσειας ἂν ὀρθὴν σύνταξιν οὕτως. ὥσπερ καὶ σὺ, ὦ θύγατερ, ἑλομένη κοινὸν αἰῶνα πάγκλαυστον, καθώπλισας καὶ ἐνίκησας τὸ μὴ καλόν· ὥστε καὶ φέρειν ἐν ἑνὶ λόγῳ δύο ὀνόματα, καὶ κεκλῆσθαι παῖς ἀρίστη καὶ σοφή. *Bar.*

ΑΝΤΙΣΤΡΟΦΗ β.

Ζώης μοι καθύπερθεν χειρὶ,
Πλούτῳ τε τῶν ἐχθρῶν, ὅσον
Νῦν ὑπὸ χεῖρα ναίεις.
Ἐπεί σ' ἐφεύρηκα μοῖ-
ρᾳ μὲν οὐκ ἐπ' ἐσθλᾷ
Βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε
Νόμιμα, τῶνδε φερομέναν
Ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΟΡΕΣΤΗΣ.

1101. Ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα. ἢ ἄριστα, ἀμφηρίστως τῇ εὐσεβείᾳ τῇ τοῦ Διός. ἢ ἄριστα τῇ εὐσεβείᾳ, ἢ ἄν τις ἀρίστευεν, ἀντὶ τοῦ ἀριστεύουσα προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα· ἀντὶ τοῦ μετὰ εὐσεβείας πράττουσαν. 1103. Τᾷ Διὸς] γράφεται τᾷ Ζηνός.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1102. Τῶνδε φερομέναν] ἤγουν, φερομένην δὲ ἐν τῇ εὐσεβείᾳ τοῦ Διὸς ἄριστα καὶ κρείττονα, λέγω δὴ τὸ κῆδος τοῦ πατρὸς, ἄριστα τῶνδε καὶ τούτων, ἃ μέγιστα νόμιμα ἔβλαστε παρ' ἀνθρώποις,

ANTISTROPHE 2.

Vivas mihi utinam ſuperior manu
Divitiiſque hoſtibus, quantum
Nunc manibus *illorum* ſubes.
Quoniam reperi te
Sorti malæ
Obviam euntem, per tuam in Jovem pietatem
Optima primaſque ferentem in iis
Quæ inter mortales florent juſtiſſima.

ORESTES

ώποις. πάντων γὰρ τῶν νομίμων καὶ δικαίων τοῦθ' ἓν κρεῖττον καὶ μέγιστον κρὰ πάντων ἀνακηρύττεται, φροντίδα ποιεῖσθαι πατρός· ὁ θεὸς ἀποδέ-ιται, καὶ εὐσεβὴς λογίζεται.

SCHOL. INED. 1096. Ζώης μοι] Εἴθε ζώης μοι χειρί, ων ἰσχύϊ καὶ δυνάμει χειρῶν καὶ πλούτῳ, καθύπερθεν καὶ ὑπεράνω τῶν ;θρῶν, καθόσον νῦν ναίεις καὶ οἰκεῖς. ὑπὸ χεῖρα καὶ ὑποκάτω εἰς δουλο-σύνην τῶν ἐχθρῶν· ἐπεὶ ἐφεύρηκα σὲ βεβῶσαν καὶ ζῶσαν οὐκ ἐν ἐσθλῇ μοίρᾳ, ἄλλως δὲ φερομένην καὶ ἔχουσαν τῇ εὐσεβείᾳ τοῦ Διός, ἤγουν μετὰ τῆς εὐσεβείας τοῦ Διός, τὰ νόμιμα. καὶ μᾶλλον, ἅτινα ἀπὸ τῶνδε τῶν νομίμων, βλάστησαν καὶ ὑπάρχουσι μέγιστα καὶ ἄριστα. *Bar.*

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΠΑΙΔΑΓΩΓΟΣ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Ὀρ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
Ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
Χο. Τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
Ὀρ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
Χο. Ἀλλ' εὖ γ' ἱκάνεις, χ' ὦ φράσας ἀζήμιος.
Ὀρ. Τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
Ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
Χο. Ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
Ὀρ. Ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκεῖς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
Ηλ. Οἴμοι τάλαιν'· οὐ δή ποθ', ἧς ἠκούσαμεν

Φήμης

1104. Ἆρ', ὦ γυναῖκες] Ὀρέστης πάρεστι σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τοῦ λογοποιουμένου ὀστῶν ἑαυτοῦ. θαυμαστὴ δὲ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵν' εὔλογος πρόφασις γένηται τῆς παρόδου τῷ Ὀρέστῃ, καὶ παρ' αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. 1107. Ἱστορῶ] γράφεται μαστεύω. 1108. Ἀζήμιος] ἀληθής, καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1107. Αἴγισθον ἔνθ'] τινὲς ἀμαθεῖς Αἴγισθος γράφουσι πρὸς τὸ ᾤκηκεν, οὐκ εἰδότες ὅτι τοιοῦτόν ἐστιν ὥσπερ τὸ, Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται. καὶ τὸ, Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας. καὶ, ---οἱ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἐστι πνιγεύς. καὶ, Τοὐπίτριπτον κίναδος ἐξηύρου μ' ὅπου. 1110. Ποθεινὴν] ἐπόθει γὰρ Κλυταιμνήστρα καὶ τὸν Ὀρέστου νεκρὸν ἰδεῖν, μὴ μόνον ἀκοῦσαι. 1114. Οὐ δή ποθ' ἧς ἠκούσαμεν] ἐπειδὴ τὸ μὴ, οὐ μόνον ἀντὶ τοῦ οὐ, ἀλλὰ καὶ ἐρω-

τηματικοῦ

ORESTES, ELECTRA, PÆDAGOGUS, CHORUS,

Iambi.

r. NUM, O mulieres, rectaque audivimus, Recteque *eo*, quo volumus, ingredimur via? 1105
ho. Quid sciscitaris? cujus & caussa venis?
r. Ægisthum, ubi habitet, quæro dudum.
ho. Atqui recte sane *huc* venis, &, qui monstravit, caret culpa.
r. Quæ igitur vestrum nunciabit intro 1109
Me adesse communis rei & gratissimæ gratia?
ho. Ista; siquidem propinquam convenit dicere.
r. I, mulier, dic ingressa
Phocenses quosdam viros quærere Ægisthum.
. Hei mihi miseræ: num tandem illius, quam audivimus,

Famæ

...νατικὸν ἀντὶ τοῦ ἄρα εὕρηται, διὰ τοῦτο καὶ τὸ οὐ, οὐ μόνον ἀρνητικόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἄρα. καὶ τοῦτο μὲν πάντως· σὺ δὲ τὸ οὐ ἀρνητικὸν ...αν, ἐπειδὴ κατ' ἐρώτησιν προσάγεις, τὸ αὐτὸ ποιήσεις ὥσπερ ἂν εἰ ἄρα· τοῦτο γὰρ κἀντεῦθεν συνάγεται ὅπερ ἐκ τοῦ ἄρα.

SCHOL. INED. 1104. Ὀρθῶς] Ἀντὶ τοῦ ὀρθῶς πεπηκότες ...ῶν τῶν εἰπόντων ἡμῶν περὶ τῆς οἰκίας τοῦ Αἰγίσθου. *Bar.* 1108. Ἀζήμιος] Τὸ ἀζήμιος, καὶ ἐπὶ εὐεργεσίας καὶ πάθους, ἤγουν ὁ μὴ ζημιωθεὶς, μὴ ζημιώσας τινά. ἐνταῦθα γοῦν ἐπὶ εὐεργεσίας. L. B. 1111. Εἰ τὸ ...ιστον] Συγγενῆ καὶ ἀδελφὸν δηλονότι. τουτέστιν, εἰ τὸ θάνατον τοῦ συγγόνου ...ῆς, ἔστι χρεὼν κηρύσσειν καὶ μηνύειν. *Bar.* 1113. Ματεύων] Μα...ν, τὸ ζητῶ καὶ σκοπῶ, καὶ ματεύω ἐνταῦθα χωρὶς τοῦ σ διὰ τὸ ...ρον, ἵνα ᾖ ὁ δεύτερος ποὺς ἴαμβος. *Bar.*

Χρ. Ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
Φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
Ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ α'.

Χο. Τί τοὺς ἄνωθεν φρονιμωτάτους
Οἰωνοὺς ἐσορώμενοι
Τροφᾶς κηδομένους, ἀφ' ὧν τε
Βλαστῶσιν, ἀφ' ὧν τ' ὄνησιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσης τελοῦμεν;
Ἀλλ' οὐ τὰν Διὸς ἀστραπὰν,
Καὶ τὰν οὐρανίαν Θέμιν,
Δαρὸν γὰρ οὐκ ἀπόνητοι.
Ὦ χθονία βροτοῖσι φάμα,

Κατά

1062. Ὅταν γὰρ ἐν κακοῖς] παρὰ τὸ Ὁμηρικὸν, Ῥεχθὲν δέ τε νήπιος ἔγνω. 1064. Τί τοὺς ἄνωθεν φρονιμωτάτους] τὸ ἄνωθεν ἢ τόπου, ἢ χρόνου ἐστίν. ἄνωθεν ἐκ φύσεως· ἢ τοὺς ἐν τῷ ἀέρι. οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία. ἡ δὲ Κλυταιμνήστρα ἄστοργος. τὸ δὲ ἑξῆς, τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς ἀφ' ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν. ἐπὶ τῶν τέκνων τὰ δύο, ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσι. λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσι. 1068. Τάδ' οὐκ ἐπίσης] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις καθ' ὧν τὸν λόγον πεποίηται. 1071. Οὐκ ἀπόνητοι] ἀντὶ τοῦ, οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν. 1072. Ὦ χθονία βροτοῖσιν] οὐ τὴν ἐπίγειόν φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1062. Φρόνει τοιαῦθ'] φρονῶ, τὸ φρόνησιν ἔχω, ἀμεταβάτως· καὶ φρονῶ τόδε, ἀντὶ τοῦ νοῶ, μεταβατικῶς. 1065. Οἰωνοὺς] ἤγουν τοὺς πελαργούς. οὗτοι γὰρ γηράσαντας τοὺς πατέρας τρέφουσιν, εἰς

ἀμοιβὴν

Chr. At si tibi ipsi videris omnino sapere,
Talia licet sapias: sed ubi in mala
Jam perveneris, mea probabis dicta.

ANTISTROPHICA. STROPHE. I.

Cho. Quare quæ supra *volitant* prudentissimas
Alites intuentes
Earum victui prospicere, & à quibus
Natæ fuerint, & à quibus beneficium
Acceperint, *quare* non *&* *nos eadem* pari gratia
facimus?
At non per Jovis fulgur,
Cœlestemque Themin
Diu non erimus impuniti.
O terram penetrans mortalium Fama,
Defer

ἀμοιβὴν τῆς γενέσεως καὶ ἀνατροφῆς· ὅθεν καὶ τὸ ἀντιπελάργωσις εἴρηται. 1068. Τελοῦμεν] ποιοῦμεν καὶ αὐτοὶ εἰς τοὺς ἰδίους πατέρας. τοῦτο δὲ λέγει διὰ τὴν Χρυσόθεμιν, ὡς οὐ φροντίζουσαν τοῦ πατρός. 1069. Ἀλλ' οὐ τὰν Διὸς] οὐ χρὴ τὸ μὰ οὕτως τοῦ κόλου γράφειν (ἀδιανόητον γάρ ἐστι) ἀλλὰ καὶ ἐκβέβληται παρ' ἡμῶν· νοεῖ δὲ χρὴ τοῦτο ἔξωθεν Ἀττικῶς. ἔτοι γὰρ οὐ μόνον τὸ μὰ λαμβάνουσιν ἔξωθεν, ὡς τὸ οὐ τὰν, ἀλλὰ καὶ τὸ μὰ τιθέντες, τὸ δὲ θεῶ παραλείπουσιν ὄνομα. 1071. Οὐκ ἀπόνητοι] ἤγουν ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα καὶ Αἴγισθος. ἰσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ δεσπότας εἶναι. 1072. Ὦ χθονία] ἤγουν εἰς τὰ ὑποχθόνια ἄνωθεν κατιοῦσα, καὶ τὰ ἐν τῷ κόσμῳ γινόμενα τοὺς κάτω διδάσκουσα.

SCHOL. INED. 1061. Ἀλλ' εἰ] Εἰ δοκεῖς, ἤγουν φαίνῃ σεαυτῇ κατά τι φρονεῖν, ἤγουν φρόνησιν ἔχειν. φρονεῖ τὸ φρόνησιν ἔχω, ἀμετάβατον, καὶ φρονῶ τόδε ἀντὶ τοῦ νοῶ μεταβατικῶς. L. B. 1067. Βλαστόντων] Τὸ βλαστάνω καὶ τὸ εὑρίσκω, ἀντὶ τοῦ ἀναβλάστησαν καὶ εὗρον. *Bar.* 1071. Ἀπόνητοι] Οὐκ ἀπόνητοι ἐσόμεθα δηλονότι, ἀντὶ τοῦ ἀτιμώρητοι. L. B. 1072. Ὦ χθονία] Ὦ φήμη βροτῶν, κατάδυσον χθονία. ἀντὶ τοῦ καταχθονίως βόησον. τὸ δὲ καταχθονία, ἀντὶ ἐπιῤῥήματος, ἤγουν ἐν τοῖς καταχθονίοις. ὥσπερ λέγομεν ταχὺς ἦλθεν, ἀντὶ τοῦ μετὰ τάχους. *Bar.* L. B. Ὦ φήμη τῶν βροτῶν, καταβόησον ἐν τοῖς καταχθονίοις τοῖς Ἀτρείδαις οἰκτρὰν φωνὴν, τοῖς οὖσιν ἔνερθεν, ἤγουν κάτω ἐν ᾅδῃ, φέρουσα

αὐτ

Κατώ μοι βόασον οἰκτρὰν
Ὄπα τοῖς ἔνερθ᾽ Ἀτρείδαις,
Ἀχόρευτα φέρουσ᾽ ὀνείδη.

ΑΝΤΙΣΤΡΟΦΗ. α'.

Ὅτι σφὶς ἤδη τὰ μὲν ἐκ δόμων
Νοσεῖ δή. τὰ δὲ πρὸς τέκνων,
Διπλῆ φύλοπις οὐκέτ᾽ ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.
Πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς
Δειλαία στενάχουσ᾽, ὅπως
Ἁ πανόδυρτος ἀηδὼν,

Οὔτι

αὐτοῖς δηλονότι ὀνείδεα ἀχόρευτα. τουτέστιν, προξενοῦσα αὐτοῖς τοῖς Ἀτρείδαις διὰ τῆς οἰκτρᾶς φωνῆς, ὀνείδεα λυπηρά. ὅτι τοῖς Ἀτρείδαις αὐτοῖς νοσοῦσι· τὰ μὲν ἐκ δόμων, τάδε παρὰ τῶν τέκνων. ἔστι δὲ διπλῆ μάχη· ἤγουν μητρὸς καὶ θυγατέρων, καὶ θυγατέρων ἐν ἀλλήλαις. καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ αὕτη ἡ διπλῆ μάχη, φιλοτησίῳ διαίτῃ. ἢ καὶ οὕτως. καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ τὰ τῶν τέκνων ἐν φιλοτησίῳ διαίτῃ. *Bar.*

1074. Τοῖς ἔνερθ᾽ Ἀτρείδαις] ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην. δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι. 1075. Ἀχόρευτα φέρουσ᾽ ὀνείδη] ἐφ᾽ οἷς οὐκ ἄν τις χορεύσειεν. ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ. 1076. Ὅτι σφίσιν ἤδη] ἡ ἀπότασις πρὸς τὴν Κλυταιμνήστραν. ἄγγειλον οὖν (φησὶν) ὅτι τὰ κατ᾽ οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ. 1078. Οὐκέτ᾽ ἐξισοῦται] οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας. 1080. Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει. ἐκ μεταφορᾶς τῶν νεῶν. μόνη δὲ αὕτη ἐφ᾽ ἑαυτῆς χωρὶς ἀγκύρας. 1081. Τὸν ἀεὶ πατρὸς] λείπει ἡ περὶ, περὶ τοῦ πατρὸς στενάχουσα. ὡς τὸ Ὁμηρικὸν, Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, Ὡς ἑνός. τὸ δὲ ἑξῆς, ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα, ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον.

ΣΧΟΛ.

Defer mihi miserabilem
Vocem *hanc* ad manes Atridarum,
Gaudii prorsus vacua nuntiantem opprobria.

ANTISTROPHE I.

Quod jam illis res domesticæ
Ægre se habent. neque inter liberos
Duplex discordia adhuc
Componitur amico convictu.
Prodita vero, *ac* sola fluctuat
Electra, perpetuo patris *necem*
Misera gemens, sicut
Luctu inexplebilis luscinia,

Neque

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1073. Κατά μοι βόασον] εἰκότως εἶπε τὸ καταβόησον, ἐπειδὴ ἐπὶ κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς φήμης πρὸς Ἀγαμέμνονα λόγος γενέσθαι ἔμελλεν. 1077. Τὰ δὲ πρὸς τέκνων] δέον οὕτως εἰπεῖν, τὰ παρὰ τῶν τέκνων οὐχ ὁμονοεῖ· ὁ δὲ πρὸς τὴν διάστασιν καὶ μάχην αὐτῶν τὸν λόγον ἔστρεψε, λέγων, τὰ δὲ παρὰ τῶν τέκνων Ἠλέκτρας καὶ Χρυσοθέμιδος, διπλῆ φύλοπις καὶ μάχη, οὐκ ἐξισοῦται φιλοτησίῳ καὶ φιλικῇ διαίτῃ καὶ διαγωγῇ· τοῦτ' ἔστιν, ἀλλήλαιν διεστάμεναι τὴν γνώμην οὐκ εἰς ὁμόνοιαν ἐπέλθωσι. διπλῆν δὲ λέγει τὴν μάχην, διὰ τὸ καὶ τὰς ἐχούσας δύο εἶναι. 1080. Μόνα σαλεύει] τὸ σαλεύειν κυρίως ἐπὶ νηὸς λέγεται, ὅτ' ἐπ' ἀγκύρας κινεῖται καὶ ἀστατεῖ. 1081. Τὸν ἀεὶ πατρὸς] θρῆνον δηλαδὴ ἢ φόνον. τὸ δὲ ἀεὶ πρὸς τὸ στενάχουσα συναπτέον.

SCHOL. INED. 1074. Ἔνερθ'] Τὸ ἔνερθε τὸ κάτωθεν δηλοῖ, κατὰ τὴν ἀκολουθίαν τῶν εἰς θεν ἐπιῤῥημάτων. ἐνταῦθα δὲ λαμβάνεται ἀντὶ τοῦ κάτω. L. B. 1080. Μόνα σαλεύει] Μόνη δὲ ἡ Ἠλέκτρα προδεδομένη τὸν ἀεὶ χρόνον ἕνεκα τοῦ πατρὸς Ἀγαμέμνονος, στενάχουσα ἡ ἀθλία ὥσπερ ἡ πανόδυρτος ἀηδὼν, σαλεύει καὶ κλυδωνίζεται· θέλουσα δὲ, ἤγουν ποθοῦσα καὶ θέλουσα φονεῦσαι τὴν διδύμην ἐριννὺν, τουτέστιν, τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν, οὔτε προμηθής ἐστι τοῦ θανεῖν, ἤγουν ἕνεκα τοῦ θανάτου. ἀλλ' ἑτοίμη ἐστὶν εἰς τὸ μὴ βλέπειν, τουτέστιν, εἰς τὸ μὴ ζῆν. *Bar.* 1083. Ἁ πανόδυρτος] Ἤγουν, ἡ πάντοτε ὀδυρομένη Ἀηδὼν τὸν υἱὸν Ἴτυν. θρηνεῖ δὲ αὐτὸν διὰ πάσης ἡμέρας καὶ νυκτός. *Bar.*

1084. Οὔτε

Οὔτε τι τοῦ θανεῖν προμηθὴς,
Τό, τε μὴ βλέπειν ἑτοίμα
Διδύμαν ἑλοῦσ' ἐριννύν.
Τίς ἂν εὔπατρις ὧδε βλαστοῖ;

ΣΤΡΟΦΗ. β'.

" Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
" Εὔκλειαν αἰσχῦναι θέλει
" Νώνυμος, ὦ παῖ, παῖ· ὡσ-
τε καὶ σὺ πάγκλαυτον αἰ-
ῶνα κοινὸν εἵλου,
Τὸ μὴ καλὸν καθοπλίσασα,
Δύο φέρειν ἐνί γε λόγῳ,
Σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

ANTI-

1084. Οὔτε τι τοῦ θανεῖν προμηθὴς] πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν. ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας τύχης, καὶ ῥιψοκινδυνοῦσα. 1085. Τό τε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῶν ὀμμάτων στέρεσθαι· τουτέστι, ἀποστερηθῆναι τῶν ὀμμάτων. ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι. καὶ τοῦτο λέγει διδύμαν ἐριννύν. ἢ ἀντὶ τοῦ θανάτου τῶν δύο. ἑτοίμη μὴ βλέπειν αὐτοὺς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου. ἐν τῇ αὐτῇ ἐριννύϊ γενομένη τοῦ Ἀγαμέμνονος· ὅ ἐστι διττῆς ἐριννύος. 1086. Διδύμαν] Αἴγισθον καὶ Κλυταιμνήστραν. 1090. Νώνυμος] ἀνώνυμος τῆς εὐκλείας θέλει γενέσθαι. Ὦ παῖ, παῖ] οὕτω καὶ σὺ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον. 1092. Κοινὸν] [illegible], καὶ κοινὸν ἐπὶ παντὸς αἰῶνος [illegible]. 1093. Καθοπλίσασα] καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα, οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1084. Τοῦ θανεῖν προμηθὴς] ἀντὶ τοῦ προμήθειαν καὶ φροντίδα ἔχουσα, ἤγουν οὐ φροντίζουσα εἰ τεθνήξεται. οἱ δὲ τοῦ μὴ θανεῖν γράφοντες, ἀμαθεῖς. 1085. Τό, τε μὴ βλέπειν] μὴ λέγε [illegible] τά τε, ἤγουν τὸ εἰ· ἀλλ' ὥσπερ [illegible] εἰμι τόδε, ἤγουν καὶ ἑτοιμός εἰμι τόδε. 1087. Τίς ἂν εὔπατρις] οἱ γράφοντες τίς ἂν οὖν οὐκ ἴσασι τὰ περὶ τοῦ μέτρου· διὸ περιττὸν κείμενον ἐξεβλήθη παρ' ἐμοῦ τὸ οὖν. ἔχει δὲ καὶ πρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς οὕτωσὶ κείμενον.

1088. Ζῶν

Neque de morte tantillum solicita;
Quin & luce privari parata est,
Postquam geminas perdiderit Furias.
Quis bonus progenatus sic vivere sustineat?

STROPHE 2.

"Nemo generosus vitam agens miseram,
"Nobilitatem turpare suam sustinet
"Obscurus ut fiat, O filia, filia; quare
Et tu lacrymabilem
Assidue vitam elegisti,
Inhonesta strenue oppugnans,
Ita ut una tantum ratione duo feras *præmia*,
Prudensque optimaque *simul* filia dici.

ANTI-

1088. Ζῶν κακῶς] τοῦτο αἰτία ἐστὶ τοῦ αἰσχῦναι τὴν εὔκλειαν. 1090. Ὥστε καὶ σὺ] ὥστε χρὴ γράφειν ἀντὶ τοῦ ὥσπερ, ἵν' ἔχῃ τὰ κῶλα ὀρθῶς. ἀλλὰ καὶ πάγκλαυτον. οὕτω γὰρ οἱ Ἀττικοὶ τὰ τοιαῦτα γράφουσιν ἐκβάλλοντες τὸ σ, ὥσπερ καὶ τὸ, εὐκλίμθοον παρ' Ὁμήρῳ.

SCHOL. INED. 1087. Τίς ἂν εὔπ.] Ἤγουν, τίς οὖν ἄλλη εὐγενὴς, ἐβλάστησεν οὕτως, τουτέστιν, ἐγεννήθη τοιαύτη κατὰ τὴν φύσιν καὶ διάθεσιν. *Bar.* 1088. Οὐδεὶς τῶν ἀγαθῶν] Ἤγουν, εὐγενῶν, ζῶν κακῶς, ἤγουν δυστυχῶς, θέλει γενέσθαι νώνυμος καὶ ἀνωνόμαστος, ὥστε αἰσχῦναι παντελῶς. ὥσπερ καὶ σὺ, ὦ παῖ, ἤγουν θύγατερ, καθοπλίσασα, καὶ καταπαλαίσασα τὸ μὴ καλὸν, ἤγουν τὸ αἰσχρὸν, προείλου διηνεκῆ αἰῶνα πάγκλαυστον καὶ πενθικόν. ἑλομένη καὶ θέλουσα ἐν ἑνὶ λόγῳ φέρειν δύο ὀνόματα, καὶ κεκλῆσθαι καὶ ὀνομάζεσθαι παῖς ἀρίστη καὶ σοφή. *Bar.* 1089. Αἰσχύναι] Αἰσχύνουσι προσφέρουσι σοι τὰ ἐγκλήματα. καὶ αἰσχύνω τινὰ, ὅτε αἰσχρὰ ποιῶ ἐγώ. ὁ δὲ συμμετέχει τῆς αἰσχύνης αὐτῶν ὡς πατὴρ, ἢ υἱὸς, ἢ συγγενής. καὶ ἁπλῶς τοιοῦτό τι· καθὸ λέγεται ἐνταῦθα, τὸ, εὔκλειαν αἰσχῦναι θέλει. ἤγουν οὐ θέλει ἀνοικεῖσαι τῆς εὐγενείας παισὶν, ὡς ἄτιμον γενέσθαι τὴν εὐγένειαν αὐτοῦ καὶ ἐλαττῶσθαι. L. B. 1092. Εἵλου] Ὅταν δὲ ποιήσῃς μετ' ὑπαλλαγὴν, τὸ μὲν εἵλου ῥῆμα λαμβάνων ἀντὶ μετοχῆς, ἤγουν ἑλομένη· τὸ δὲ καθοπλίσασα μετοχὴν, ἀντὶ ῥήματος, ἤγουν καθώπλισας, ποιήσειας ἂν ἀρίστην σύνταξιν οὕτως. ὥσπερ καὶ σὺ, ὦ θύγατερ, ἑλομένη κοινὸν αἰῶνα πάγκλαυστον, καθώπλισας καὶ ἐνίκησας τὸ μὴ καλόν· ὥστε καὶ φέρειν ἐν ἑνὶ λόγῳ δύο ὀνόματα, καὶ κεκλῆσθαι παῖς ἀρίστη καὶ σοφή. *Bar.*

ΑΝΤΙΣΤΡΟΦΗ β.

Ζώης μοι καθύπερθεν χειρὶ
Πλούτῳ τε τῶν ἐχθρῶν, ὅσον
Νῦν ὑπὸ χεῖρα ναίεις.
Ἐπεί σ᾽ ἐφεύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐπ᾽ ἐσθλᾷ
Βεβῶσαν· ἃ δὲ μέγιστ᾽ ἔβλαστε
Νόμιμα, τῶνδε φερομέναν
Ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΟΡΕΣΤΗΣ,

1101. Ἃ δὲ μέγιστ᾽ ἔβλαστε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα, ἢ ἐριστὰ, ἀμφηρίστως τῇ εὐσεβείᾳ τῇ τοῦ Διός. ἢ ἐριστὰ τῇ εὐσεβείᾳ, ἣ ἄν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστως προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα· ἀντὶ τοῦ μετ᾽ εὐσεβείας πράττουσαν. 1103. Τᾷ Διὸς] γράφεται τᾷ Ζηνός.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1102. Τῶνδε φερομέναν] ἤγουν, φερομένην δὲ ἐν τῇ εὐσεβείᾳ τοῦ Διὸς ἄριστα καὶ κρείττονα, λέγω δὴ τὸ κῆδος τοῦ πατρὸς, ἄριστα τῶνδε καὶ τούτων, ἃ μέγιστα νόμιμα ἔβλαστε παρ᾽ ἀνθρώποις,

ANTISTROPHE 2.

Vivas mihi utinam ſuperior manu
Divitiiſque hoſtibus, quantum
Nunc manibus *illorum* ſubes.
Quoniam reperi te
Sorti malæ
Obviam euntem, per tuam in Jovem pietatem
Optima primaſque ferentem in iis
Quæ inter mortales florent juſtiſſima.

ORESTES

θρόνοις. πάντων γὰρ τῶν νομίμων καὶ δικαίων τοῦθ' ἓν κρεῖττον καὶ μέγιστον παρὰ πάντων ἀνακηρύττεται, φροντίδα ποιεῖσθαι πατρός· ὁ θεὸς ἀποδέχεται, καὶ εὐσεβὴς λογίζεται.

SCHOL. INED. 1096. Ζώης μοι] Εἴθε ζώης μοι χειρὶ, ἤγουν ἰσχύϊ καὶ δυνάμει χειρῶν καὶ πλούτῳ, καθύπερθεν καὶ ὑπεράνω τῶν ἐχθρῶν, καθόσον νῦν ναίεις καὶ οἰκεῖς. ὑπὸ χεῖρα καὶ ὑπὸ κάτω εἰς δουλοσύνῃ τῶν ἐχθρῶν· ἐπεὶ ἐφεύρηκα σὲ βεβῶσαν καὶ ζῶσαν οὐκ ἐν ἐσθλῇ μοίρᾳ, ἄλλως δὲ φερομένην καὶ ἔχουσαν τῇ εὐσεβείᾳ τοῦ Διὸς, ἤγουν μετὰ τῆς εὐσεβείας τοῦ Διὸς, τὰ νόμιμα. καὶ μᾶλλον, ἅτινα ἀπὸ τῶνδε τῶν νομίμων, βλάστησαν καὶ ὑπάρχουσι μέγιστα καὶ ἄριστα. *Bar.*

ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΠΑΙΔΑΓΩΓΟΣ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Ορ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
Ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
Χο. Τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
Ορ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
Χο. Ἀλλ' εὖ γ' ἱκάνεις, χ' ὡ φράσας ἀζήμιος.
Ορ. Τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
Ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
Χο. Ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
Ορ. Ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκεῖς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
Ηλ. Οἴμοι τάλαιν'· οὐ δή ποθ', ἧς ἠκούσαμεν

Φήμης

1104. Ἆρ', ὦ γυναῖκες] Ὀρέστης πάρεστι σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τοῦ λογοποιουμένου ὀστῶν ἑαυτοῦ. θαυμαστὴ δὲ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα· ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδου τῷ Ὀρέστῃ, καὶ παρ' αὐτοῖς ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. 1107. Ἱστορῶ] γράφεται μαστεύω. 1108. Ἀζήμιος] ἀληθής, καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1107. Αἴγισθον ἔνθ'] τινὲς ἀμαθεῖς Αἴγισθος γράφουσι πρὸς τὸ ᾤκηκεν, οὐκ εἰδότες ὅτι τοιοῦτόν ἐστιν ὥσπερ τὸ, Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται. καὶ τὸ, Φύλαττ' ὁπόσους ἄλοιτο τοὺς αὐτῆς πόδας. καὶ, ---οἱ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἐστιν πνιγεύς. καὶ, Τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου. 1110. Ποθεινὴν] ἐπόθει γὰρ Κλυταιμνήστρα καὶ τὸν Ὀρέστου νεκρὸν ἰδεῖν, μὴ μόνον ἀκοῦσαι. 1114. Οὐ δή ποθ' ἧς ἠκούσαμεν] ἐπειδὴ τὸ μὴ, οὐ μόνον ἀντὶ τοῦ οὐ, ἀλλὰ καὶ ἐρωτηματικὸν

ORESTES, ELECTRA,

PÆDAGOGUS, CHORUS,

Iambi.

Or. NUM, O mulieres, rectaque audivimus,
Recteque *eo*, quo volumus, ingredimur via? 1105
Cho. Quid sciscitaris? cujus & caussa venis?
Or. Ægisthum, ubi habitet, quæro dudum.
Cho. Atqui recte sane *huc* venis, &, qui monstravit, caret culpa.
Or. Quæ igitur vestrum nunciabit intro 1109
Me adesse communis rei & gratissimæ gratia?
Cho. Ista; siquidem propinquam convenit dicere.
Or. I, mulier, dic ingressa
Phocenses quosdam viros quærere Ægisthum.
El. Hei mihi miseræ: num tandem illius, quam audivimus,

Famæ

σημαντικὸν ἀντὶ τοῦ ἆρα εὕρηται, διὰ τοῦτο καὶ τὸ οὐ, οὐ μόνον ἀρνητικόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἆρα. καὶ τοῦτο μὲν πάντες· σὺ δὲ τὸ οὐ ἀρνητικὸν λέγων, ἐπειδὴ κατ' ἐρώτησιν προάγεις, τὸ αὐτὸ ποιήσεις ὥσπερ ἂν εἰ ἆρα ἦν. ταῦτα γὰρ κἀντεῦθεν συνάγεται ὅπερ ἐκ τοῦ ἆρα.

SCHOL. INED. 1104. Ὀρθὰ] Ἀντὶ τοῦ ὀρθῶς εἰσηκούσαμεν αὐτῶν τῶν εἰπόντων ἡμῖν περὶ τῆς οἰκίας τοῦ Αἰγίσθου. *Bar.* 1108. Ἀζήμιος] Τὸ ἀζήμιος, καὶ ἐπὶ εὐεργεσίας καὶ πάθους, ἤγουν ὁ μὴ ζημιωθεὶς, καὶ ὁ μὴ ζημιώσας τινά. ἐνταῦθα γοῦν ἐπὶ εὐεργεσίας. L. B. 1111. Εἰ τὴν ἄγχιστον] Συγγενῆ καὶ ἀδελφὴν δηλονότι. τουτέστιν, εἰ τὸν θάνατον τοῦ συγγόνου αὐτῆς, ἔτι χρείαν κηρύσσειν καὶ μηνύειν. *Bar.* 1113. Ματεύοντ'] Ματεύω, τὸ ζητῶ καὶ σκοπῶ, καὶ ματεύω ἐνταῦθα χωρὶς τοῦ σ διὰ τὸ μέτρον, ἵνα ᾖ ὁ δεύτερος πούς ἴαμβος. *Bar.*

Φήμης φέροντες ἐμφανῆ τεκμήρια;
Ορ. Οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλά μοι γέρων
Ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
Ηλ. Τί δ' ἐστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
Ορ. Φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
Τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
Ηλ. Οἲ ἐγὼ τάλαινα· τοῦτ' ἐκεῖν' ἤδη σαφές.
Πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
Ορ. Εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
Τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
Ηλ. Ὦ ξεῖνε, δὸς νῦν πρὸς θεῶν, εἴπερ τόδε
Κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν·
Ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
Ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
Ορ. Δόθ', ἥτις ἐστὶ, προσφέροντες· οὐ γὰρ ὡς
Ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε·
Ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
Ηλ. Ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοί,

Ψυχῆς

1123. Εἴπερ τι κλαίεις] ἀξιοπίστως ἔοικεν. Ὀρέστης σκληρός ἐστιν, οὐχ ὥσπερ δεῖ ἄγγελον εἶναι, καὶ συγκεχυμένος τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε. 1129. Δόθ' ἥτις ἐστὶ] εἰκὸς αὐτοῖς ἕπεσθαί τινας. περιττὸν δὲ λίαν τὸ, ἥτις ἐστί.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1115. Φήμης φέροντες] ὄσσα, ὀμφὴ, καὶ κληδὼν, ἄγγελοι θεοῦ ἐπὶ τοῦ αὐτοῦ λέγονται· φήμη δὲ ἐπί τε θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. 1131. Ἀλλ' ἢ φίλων] ἤγουν ἢ ἀπὸ τῶν φίλων οὖσά τις αἰτεῖται ταῦτα, ἢ κατὰ γενεὰν πρὸς γένους. 1132. Ὦ φιλτάτου] ἤγουν, ὦ ὑπόλοιπον μνημεῖον τῆς ζωῆς τοῦ Ὀρέστου τοῦ φιλτάτου ἀνθρώπων παρ' ἐμοί. ¶ Σχόλ. Τρικλ. 1121. Οἲ ἐγὼ] συνίζησις, ἡ κοινὴ συλλαβή. 1132. Ὦ φιλτάτου] θρῆνος Ἠλέκτρας ἐπὶ τῷ ἀδελφῷ.

Famæ adfertis *huc* certa indicia?
Or. Famam tuam haud ſcio: ſed mihi ſenex
Mandavit de Oreſte Strophius *aliquid* dicere.
El. Quid autem eſt *id*, hoſpes? ut me inceſſit timor!
Or. Portantes parvas illius reliquias in exiguo
Vaſe mortui, ut vides, afferimus.
El. Heu ego miſera! illum ipſum jam certum
Præſtoque ad manum, ut videtur, dolorem (cerno.
Or. Siquid ploras ob Oreſtis mala,
Hoc vaſculum illius, ſcito, corpus tegit.
El. O hoſpes, da jam, per Deos *rogo*, ſiquidem hoc
Tegit illum vas, in manus ſumere:
Ut me ipſam, & genus pariter totum
Cum hoc lamenter & defleam cinere.
Or. Qui fertis *huic*, quæcunque ſit, date; non enim
Ut inimicum gerens animum rogat hoc,
Sed quædam ex amicis, vel ſanguine propinquis.
El. O chariſſimi monumentum hominum mihi
De

SCHOL. INED. 1119. Φέροντες κομίζομεν] Τὸ φέρειν ἐνταῦθα, τὸ ἁπλῶς βαστάζειν δηλοῖ. τὸ δὲ κομίζειν, τὸ ἀπεσταλμένον διασώζειν. L. B. 1123. Κακῶν] Τῶν συμβεβηκότων τῷ Ὀρέστῃ. ἀπὸ τῶν τοῦ Ὀρέστου κακῶν, ἤγουν ἀφ᾽ ὧν κακῶν ἔπαθεν ὁ Ὀρέστης. L. B. 1125. Εἴπερ] Ἤγουν, εἴπερ τόδε τὸ ἀγγεῖον κρύπτει αὐτὸν, δός μοι νῦν πρὸς θεῶν, ὥστε λαβεῖν εἰς χεῖρας. L. B. 1129. Δόθ᾽] Δότε οἱ προσφέροντες καὶ κομίζοντες αὐτῇ τὸ ἀγγεῖον, ἥ τις καὶ ὁποία ἐστίν. ἢ ἀπὸ τῶν φίλων, ἢ καὶ ἀπὸ τῶν συγγενῶν. οὐ γὰρ ὡς οὖσα ἐν ἔχθρᾳ ζητεῖ αὐτὸ, ἀλλ᾽ ὡς οὖσα ἐν φιλίᾳ δηλονότι. *Bar.* 1132. Ὦ φιλτάτου] Ἐνταῦθα λαβοῦσα τὸ ἀγγεῖον ἡ Ἠλέκτρα, καὶ ὀδυρομένη λέγει ταῦτα. ὦ μνημεῖον καὶ ὑπόμνημα ὑπόλοιπον τῆς ψυχῆς τοῦ Ὀρέστου, τοῦ φιλτάτου ἐμοὶ ἀπὸ πάντων τῶν ἀνθρώπων, ἐγὼ εἰσεδεξάμην σε δηλονότι, λίαν ἄπο καὶ μακρὰν τῶν ἐλπίδων ὧν ἤλπιζον δηλονότι, καὶ οὐχ ὥσπερ ἐξέπεμπον. *Bar.*

1133. Ψυχῆς

Ψυχῆς Ὀρέστου λοιπόν· ὥς σ' ἀπ' ἐλπίδων
Οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
Νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
Δόμων γέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
Ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον
Πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
Κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου·
Ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
Τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
Νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
Κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα.
Κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
Λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
Ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
Ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
Σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.

Οἴμοι

1133. Ψυχῆς Ὀρέστου λοιπὸν] λοιπὸν μνημεῖον. τοῦτο δέ φησι λαβοῦσα τὸ τεύχους. ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. 1134. Οὐχ ὧνπερ ἐξέπεμπον] Ὅμηρος, Ζωὸν μέν σ' ἔλιπον ἐγὼ κλισίηθεν ἰοῦσα. 1143. Σῆς κασιγνήτης δίχα] οἷον τῆς μόνης συκηδομένης. ὅλα δὲ ἐπιτέταται τῷ πάθει διὰ τὸ παρεῖναι τὸν Ὀρέστην. ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ. ἐν οἷς φησὶ, Σὸν ἄνδρα παρήμενον. ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι, ὅτι ἀδελφὴ αὐτοῦ ἐστὶν, ἡ ἐν τῷ λόγῳ. ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης, ἀπολοφυρομένην γνώσεται.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1133. Ὡς ἀπ' ἐλπίδων] ὄντως ἀπ' ἐλπίδων εἰσεδεξάμην σε, δηλονότι οὐκ ἐκείνων ὧνπερ ἐξέπεμπον, ἀλλὰ κακῶν ἐκεῖναι μὲν γὰρ καλαὶ ἦσαν καὶ σωτηρίαν ἐμοὶ ἔχουσαι· αὗται δὲ (λέγω γὰρ ἃς ὁ ἄγγελος ὑπέβαλεν, ὡς μετ' ὀλίγον ἂν σε νεκρὸν δεξαίμην) καθάπαξ ἀπώλεσάν με. δέον δ' εἰπεῖν αἷσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν.

1134. Εἰσε-

De anima Orestis reliquum: quam spe modo
Te dispari recipio, quam *hinc* emiseram.
Nunc enim te nullum gesto manibus;
Domo te vero, puer, splendidum emisi ego.
O utinam prius *mihi* defecisset vita,
Quam te in terram peregrinam emisissem, manibus
Furata hisce, & servassem à cæde:
Ut illa ipsa die defunctus, jaceres
Paterni tumuli communem sortitus partem.
Nunc autem procul domo in peregrina terra exul,
Male periisti, à tua procul sorore.
Neque in meis manibus misera ego
Lavacris *te* ornavi, neque voracis ignis
Sustuli, ut decuit, infelix onus.
Sed peregrinis manibus curatus miser
Parvum advenis pondus in parva urna.

O

1134. Εἰσεδεξάμην] δέχομαι ἁπλῶς τὸν ἐρχόμενον εἰς ἐμέ· εἰσδέχομαι δὲ ἐπὶ οἰκίας, καὶ λιμένος, ἢ τοιούτου τινός· ὃ δὴ καὶ λαμβάνω λέγεται. λέγεται δὲ τὸ λαμβάνω, ποτὲ μὲν, ὅταν ἀπὸ σοῦ ἄκοντος τι λάβω· ποτὲ δ' ὅταν ἑκόντος σοῦ λάβω. 1138. Πρὶν ἐς ξένην σὲ] πρὸ τοῦ ἐκπέμψαι σὲ εἰς ξένην γῆν, ἤγουν ἀλλοτρίαν, καὶ σῶσαι, ἤγουν φυλάξαι, καὶ ῥύξασθαί σε ἀπὸ τοῦ φόνου, ὤφελον θανεῖν. τινὲς δὲ ἀπὸ τοῦ ὅπως θανὼν ἔκεισο, ἀπατώμενοι, ὤφελες γράφουσι, καὶ κλέψασαν, τὸ ἐκλιπεῖν βίον πρὸς τὸν Ὀρέστην νοοῦντες. τὸ δ' οὐ τοιοῦτον, ἀλλὰ λέγει ἡ Ἠλέκτρα, εἴθ' ὤφελον πρόσθεν θανεῖν, ἢ εἰς ἀλλοτρίαν ἐκπέμψαι σὲ γῆν. εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, οὐδεὶς ἄν σε τῶν Κλυταιμνήστρας ἐξεῖλε χειρῶν· ὥστε ἀπολώλεις ἂν ἐξ ἐκείνου τότε ὥσπερ ὁ πατὴρ, καὶ συνετάφης αὐτῷ. 1148. Σμικρὸς προσήκεις] ἐνταῦθα ἀντὶ τοῦ προσέρχῃ, ἐπεὶ καὶ τὸ προσήκει ἀντὶ τοῦ πρέπει, τοῦτο λέγει ὡς πρὸς τῷ πράγματι τῷδε ἥκει καὶ ἔρχεται, τοῦτ' ἔστι, συμβαίνει καὶ ὁμοῦ γίνεται, ὥστε τὸ συμβαῖνόν τινι, πρέπει καὶ ἁρμόζει ἐκείνῳ, καὶ διὰ τοῦτο συμβαίνει.

SCHOL. INED. 1135. Νῦν μὲν γὰρ οὐδὲν ὄντα] Ἤγουν νεκρὸν καὶ ἄψυχον, καὶ ἄπνουν σὲ βαστάζω χεροῖν. Ὦ παῖ, ἐγὼ κλέψασά σε χε-

ρῶν

Οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
Ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
Πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
Μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
Οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
Ἐγὼ δ' ἀδελφὴ σὴ προσηυδώμην ἀεί.
Νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
Θανόντα σὺν σοί. πάντα γὰρ συναρπάσας
Θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ·
Τέθνηκ' ἐγώ σοι· φροῦδος αὐτὸς εἶ θανών.
Γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς
Μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
Φήμας λάθρᾳ προὔπεμπες ὡς φανούμενος
Τιμωρὸς αὐτός· ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
Δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο·
Ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
Μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
Οἴμοι, οἴμοι.
Ὦ δέμας οἰκτρόν. φεῦ, φεῦ.

Ὦ

ροῦν τοῦνδε, καὶ ἀνασώσασα ἀπὸ τοῦ φόνου, ἐξέπεμψα λαμπρὸν ἐκ τῶν δόμων. ἀλλ' εἴθε ὤφελες ἐκλιπεῖν πάροιθεν τὴν ζωήν, πρὸ τοῦ ἐκπέμψαί σε ἐς ξένην γαῖαν· ὅπως θανὼν ἔκεισο τῇ τότε ἡμέρᾳ, εἰληχὼς μέρος τοῦ πατρικοῦ τύμβου. *Bar.*

1151. Οὔτε γάρ ποτε] οὐ γὰρ ἦς (φησὶ) τῆς μητρὸς ποτέ, ἢ καὶ ἐμοῦ μᾶλλον· ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν. οὐκ ἦσθα τῆς μητρός, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ. οἷον, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ, ἤπερ ἡ Κλυταιμνήστρα. τὸ δὲ φίλος, ἀντὶ τοῦ ὄφιλος. Ἄλλως. οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ·

αὐτοῦ

O misera ego! O inutilia quondam mea
Alimenta, quæ ego sæpius tibi
Dulci labore præbui: neque enim unquam
Matri tu eras magis quam mihi charus,
Neque domestici erant, sed ego nutrix;
Ego tua soror *te* semper alloquebar.
Jam vero defecerunt hæc una die
Extincta tecum: omnia enim simul rapuisti,
Velut procella discedens. periit pater,
Ego *quoque* tibi sum mortua: *tuque* ipse nul-
lus es mortuus.
Rident autem inimici: insanitque præ gaudio
Mater non mater, de qua tu mihi sæpe
Nuncios clam misisti, quod venturus fores
Ipse vindex. at hoc infelix
Fortuna tuaque & mea prorsus abstulit,
Quæ te mihi sic remisit, pro charissima
Forma, cineremque & umbram inutilem.
Hei mihi miseræ!
O corpus miserandum! Heu, Heu!

O

αὐτὶ τῆς ἐν τῇ μητρὶ προστίθεσο μᾶλλον. λειμένον δὲ τὸ ἕτερον, διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου, ἐφ' ἧ τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τότε, οὔπω συνεχώρει. μικρὸς γὰρ ἦν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1150. Ἀνωφελήτου] ματαίας. ἐπ' οὐδεμιᾷ γὰρ ὠφελείᾳ ταύτην ἐποίησα· ἤγουν, οὐδεμιᾶς ὠφελείας ἀπήλαυσα παρ' αὐτῆς. 1160. Ἧς ἐμοὶ] τὸ ἧς πρὸς τὸ τιμωρὸς συναπτέον· καὶ μὴ τὸ ἀεὶ λάθρας ἔξωθεν, ὥς τινες τῶν ἀμαθῶν.

SCHOL. INED. 1149. Τροφῆς] Ἤ, ἕνεκα τῆς ἐμῆς τροφῆς, ἤγουν, ἧς ἔτρεφον σὲ ἐγὼ πάλαι. τουτέστι, πρὸ μακροῦ. L. B. 1152. Φίλος] φίλος λέγεται τίς τινος, ἢ ὅτι φιλεῖ αὐτὸν, καθὸ λέγεται ἐνταῦθα. ἢ ὅτι φιλεῖται ὑπ' αὐτοῦ. καὶ ἀμφότερα δηλοῖ ἡ λέξις. ὡς ἐν τούτοις· μὴ πλεῖον, φίλος εἶ θνητοῖς. φίλος εἶ μακάρεσσιν· ἂν πλείσῃς, οὐδεὶς ἔτι σοι φίλος. ἤγουν οὐδεὶς ἔτι φιλίως διάκειται πρός σε. L. B.

1177. Θνητοῦ

Ὦ δεινοτάτας, οἴμοι, οἴμοι,
Πεμφθεὶς κελεύθους φίλταθ', ὥς μ' ἀπώλεσας.
Ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
Τοιγάρ, σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
Τὴν μηδὲν, εἰς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
Ναίω τολοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
Ξὺν σοὶ μετεῖχον τῶν ἴσων. καὶ νῦν ποθῶ
Τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
"Τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

Χο. Θνητοῦ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
Θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
"Πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Ορ. Φεῦ, φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχάνων
Ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.

Ηλ.

1177. Θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει] πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέστης. οὐ γὰρ μόνη ἦν αὐτῷ ἀδελφή. τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ. 1180. Φεῦ, φεῦ. τί λέξω] ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην. διεφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως, σιωπῶντος αὐτοῦ. 1181. Γλώσσης] γράφεται γνώμης.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1168. Ὦ δεινοτάτας] τινὲς οὐ δυνάμενοι συντάξαι τὴν γενικὴν, δεινοτάτας κελεύθους φασὶν, οὓς αὐτὸς ἰάσας, οὕτω νόει ὡς κεῖται, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νοῦν, ὦ φίλτατε, λίαν ἀπώλεσάς με, πεμφθεὶς δεινοτάτης κελεύθου, τοῦτ' ἔστι τὸ πεμφθῆναί σε κακὴ κέλευθος, καὶ λύπας καὶ ὀδυρμοὺς ἐμοὶ διὰ τὸν σὸν προξενήσασα θάνατον. νόει δὲ τὸ πεμφθεὶς διπλοῦν, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκίαν πεμφθεὶς νεκρὸς, ἢ ἀπὸ τῆς οἰκίας πρὸς τὴν Φωκίδα ἀπ' Ἠλέκτρας πεμφθείς. ¶ [Σχῆμα. Τρικλ. 1176. Τοὺς γὰρ θανόντας] γνωμικόν. 1180. Φεῦ, φεῦ] ἀναγνωρισμὸς Ὀρέστου καὶ Ἠλέκτρας.

SCHOL. INED. 1169. Ὦ δεινοτάτας] Ἤγουν, ὦ φίλτατε, ὁ πεμφθεὶς χαλεπωτάτας ὁδοὺς, ἤγουν χαλεπωτάτην ὁδόν· ταύτην λέγει, ἣν ἐπέμφθη νεκρός. L. B. 1170. Ὦ κασίγ. κάρα] Ἤγουν, ἀδελφικὸν κάρα. περιφραστικῶς, ἀντὶ τοῦ, ὦ ἀδελφέ. καὶ τὸ ἄγγειον τόδε τὸ σὸν, ἤγουν, ἐν ᾧ

εἰ

O acerbiſſimas (hei mihi, hei mihi)
Miſſus vias chariſſime, quam me perdidiſti!
Perdidiſti profectò, O germanum caput.
Quare tu me ſuſcipe in hoc tuum vaſculum,
Me quæ nulla ſum, ad id quod nihil eſt, ut tecum apud inferos
Habitem poſthac; etenim quando apud ſuperos eras,
Tecum fruebar pari ſorte. *quare* & nunc cupio
Mortua tuo non privari tumulo.
" Mortuos enim dolore conflictari non video.

Cho. Mortali nata es patre, Electra; ſapias *igitur:*
Mortalis & Oreſtes: ideo ne nimium gemas.(eſt.
" Omnibus enim nobis hoc ex debito ferendum

Or. Heu, Heu, quid dicam? quo nulla ſupprimendos arte ſermones
Dirigam? imperare enim non amplius linguæ valeo.

El.

εἴ σύ. L. B. 1173. Τὸ λοιπὸν] Κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, ἤγουν τὸ ἔμπροσθεν. L. B. 1177. Θνητοῦ πέφ.] Ὦ Ἠλέκτρα, φρόνει καὶ γίνωσκε, ὅτι γέννημα πέφυκας τοῦ πατρός. θνητὸς δὲ ἦν καὶ ὁ Ὀρέστης κατὰ φύσιν, ὥστε μὴ στένε λίαν. πᾶσι γὰρ ἡμῖν τοῦτο ὀφείλεται· ἤγουν τὸ ἀποθανεῖν χρεωστεῖται παθεῖν. σύναπτε τὸ ὀφείλεται μετὰ τοῦ παθεῖν, ἵνα ᾖ, πᾶσιν ἡμῖν ὀφείλεται παθεῖν τοῦτο τὸ ἀποθανεῖν. *Bar.* 1180. Φεῦ] Ὦ φεῦ, τί εἴπω, καὶ ἐν ποίᾳ μέρει τῶν λόγων τῶν δυσευρέτων ἔλθω. διότι οὐδαμῶς δύναμαι κυριεύειν τῆς ἐμῆς γλώσσης, ἀλλὰ βούλομαι ἐρωτῆσαι καὶ λαλῆσαι δηλονότι. πρὸς τί δὲ ἀφορῶν ἤλγησας, καὶ πρὸς τί ἀφορῶν, τοῦτο λέγων ὑπάρχεις. τὸ εἰπὼν, καὶ τὸ κυρεῖς, ἀντὶ τοῦ εἶπας λαμβάνεται. τὸ τί δὲ ἔχεις ἄλγος, δύναται μὲν λέγεσθαι καὶ ὑπὸ τῆς Ἠλέκτρας, ἀλλὰ εὐπρεπέστερον προσκεῖται τῷ χορῷ, ἵνα μὴ ἡ Ἠλέκτρα εἴπῃ περὶ τοῦ ἑαυτῆς εἴδους. Ἰστέον ὅτι ὁ μὲν παιδαγωγὸς, ὁ ἐν σχήματι ἀγγέλου ἐλθὼν ἐν τοῖς παλατίοις πρότερον, σαφῶς τὴν Κλυταιμνήστραν ἐγνώρισεν. οὐ γὰρ ἦν κεκακωμένη τὸ σῶμα. ὁ δὲ Ὀρέστης οὐ γνωρίζει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα ὑπὸ τῆς ἄγαν ταλαιπωρίας, τῶν τε στεναγμῶν καὶ τῆς λύπης. *Bar.* Ποῖ λόγων] Ἤγουν, ἐπὶ τί τῶν ἀμηχάνων λόγων ἔλθω. ἀντὶ τοῦ, τῶν ἀμηχανιέντων. τῶν ἀπόρων. ἀπορῶ ποίῳ λόγῳ ἵνα εἴπω. L. B.

Ηλ. Τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
Ορ. Ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
Ηλ. Τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
Ορ. Οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
Ηλ. Τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
Ορ. Ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
Ηλ. Οὔτοι πότ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
Ορ. Φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
Ηλ. Τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
Ορ. Ὡς οὐκ ἄρ' ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
Ηλ. Ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
Ορ. Ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
Ηλ. Καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
Ορ. Καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
Ηλ. Ὅθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
Ορ. Τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
Ηλ. Τοῖς πατρός, εἶτα τοῖσδε δουλεύω βίᾳ.

Ορ.

1184. Τόδ' ἔστ' ἐκεῖνο] τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ προσήκεται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους εἴπῃ τι. θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα. 1190. Ὧδ' ἐπισκοπῶν στένεις] ἀντὶ τοῦ, ἀμφ' ἐμοὶ καθορῶν στενάζεις. 1192. Ἐν τῷ διέγνως] ἐν τίνι, ἢ διὰ τί; ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον; 1199. Τοῖσδε] εἰς τοῦτο.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1191. Ὡς οὐκ ἄρ' ᾔδειν] τινές φασι τὸ ὡς ἀντὶ τοῦ ὅτι, ἵν' ᾖ πρὸς τὸν ἄνω τῆς Ἠλέκτρας λόγον. ἄλλοι δέ φασι κομματικὸν τὸ ὡς, ἀντὶ τοῦ οὕτως νοοῦντες· ὃ καὶ κρεῖττον. 1196. Ὅθ' οὕνεκ' εἰμὶ] τοῦτ' ἔστιν ἔχθιον, ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος, ἤγουν συνδιαιτωμένη.

SCHOL.

El. Quid tibi dolet? at quid *respiciens* hæc dicis?
Or. Tuane *est* illa inclyta Electræ forma?
El. Illa ipsa est, & misere admodum habita.
Or. Heu infelicem oppido hanc calamitatem.
El. Quanam, quæso, de causa propter me ista gemis?
Or. O corpus indigne atque impie deformatum.
El. Non aliam sane dudum quam me deploras, hospes.
Or. Heu tuam innuptam & infelicem vitam!
El. Quidnam ita me, hospes, intuens gemis?
Or. Quam nil meorum adeo noveram malorum!
El. Quibus ex dictis meis novisti ea?
Or. Videns te insignite multis pressam doloribus.
El. Atqui pauca sane vides meorum malorum.
Or. Et qui fiat, ut quis acerbiora etiam his cernat?
El. Quia cum interfectoribus cohabitare cogor.
Or. Cujus interfectoribus? quid hoc est mali, quod indicas?
El. Patris nempe: deinde & his per vim inservire cogor.

Or.

SCHOL. INED. 1183. Ἦ σὸν] ἆρα σὺ τ Ἠλέκτρας, ἐστὶ τόδε τὸ κλεινὸν, ἤγουν, τὸ ἔνδοξον [illegible] ἀντὶ τ, ἆρα σὺ εἶ ἡ ἔνδοξος Ἠλέκτρα. L. B. 1186. Στένεις τάδε] Στενάζεις τούτους τοὺς στεναγμούς. L. B. 1188. Δυσφημεῖς] Ἐλεεινολογῇ. σχετλιάζεις. L. B. 1192. Ἐν τῷ] Ἤγουν, ἐν τίνι λόγῳ, ἀφ' ὧν λόγων εἶπον ἐγὼ, διέγνως τοῦτο τὸ σὸν κακόν; *Bar.* 1193. Ἐμπρέπουσαν] Διαπρέπει ἀντὶ τ λάμπει. [illegible] ἐν τινὶ, [illegible] L. B. 1194 Παῦρα] Ἀπὸ τ [illegible], [illegible], γίνεται [illegible], ἤγουν τὸ ὀλίγον. [illegible] *Bar.* 1195. Καὶ πῶς] Ἡ σύνταξις οὕτως, καὶ πῶς γένοιτο βλέπειν [illegible] τούτων τ κακῶν; ἤγουν οὐκ ἔστι δυνατὸν, ἐμὲ βλέπειν ἄλλα χείρονα τούτων τ κακῶν. *Bar.* 1196. Ὁθ' ὁθούνεκ'] Ἐπειδὴ εἶπεν ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος [illegible] καὶ οὐκ εἴρηκεν ὁρισμένως τοῖς τίνος πεφονευμένου φονεῦσι, [illegible] ὁ Ὀρέστης [illegible] δευτέρου ἐρωτᾷ αὐτὴν λέγων, τοῖς τ. *Bar.*

1200. Μετὰ

Ορ. Τίς γάρ σ' ἀνάγκη τῇδε προτρέπει βροτῶν;
Ηλ. Μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.
Ορ. Τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
Ηλ. Καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
Ορ. Οὐδ' ὁ 'παρήξων, οὐδ' ὁ κωλύσων πάρα;
Ηλ. Οὐ δῆθ'· ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
Ορ. Ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
Ηλ. Μόνος βροτῶν νῦν ἴσθ' ἐποικτείρας ποτέ.
Ορ. Μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
Ηλ. Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
Ορ. Ἐγὼ φράσαιμ' ἂν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
Ηλ. Ἀλλ' ἐστὶν εὔνουν· ὥστε πρὸς πιστὰς ἐρεῖς.
Ορ. Μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
Ηλ. Μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ, ξένε.
Ορ. Πείθου λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
Ηλ. Μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
Ορ. Οὔ φημ' ἐάσειν.
Ηλ. Ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.

Ορ.

1200. Μητρὶ δ' οὐδὲν ἐξισοῖ] οὐκ ἴσα πράττει τῷ τῆς μητρὸς ὀνόματι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1216. Ὦ τάλαιν' ἐγὼ σέθεν] τὸ σέθεν πρὸς τὸ, ὦ τάλαινα, ἔξωθεν λαμβανομένου τοῦ ἕνεκα. τὸ δὲ τῆς σῆς εἰ στερήσομαι ταφῆς. ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ, τάλαιν' ἐγὼ σέθεν.

SCHOL. INED. 1200. Μήτηρ καλεῖται] Ἡ Κλυταιμνήστρα, μήτηρ τάχα ὀνομάζεται. μήτηρ καλεῖται, ἥτις ἀναγκάζει ἐμέ· ὅμως, οὐδαμῶς ὁμοιοῦται μητρί, ἢ μητρὶ δὲ οὐδαμῶς ἐξισοῖ ἑαυτήν. Bar. Οὐδὲν ἐξισοῖ] Κατ' οὐδὲν ἐξισοῖ ἑαυτὴν μητρί. ἤγουν, κατ' οὐδὲν ἐξισοῦται, κατ'

οὐδὲν

Or. Quænam te necessitas huc impellit mortalium?

El. Mater vocatur, nihil autem simile matri habet.

Or. Quid agendo? utrum manibus *cogit*, an fœdo victu?

El. Et manibus, & fœdo victu, & omnibus malis.

Or. Neque qui opem ferat, neque qui prohibeat adest?

El. Nemo sane: qui enim mihi supererat, tu *mihi* protulisti *jam* cinerem.

Or. O infelicem! ut te intuens dudum miseror!

El. Solus mortalium es (*hoc* scito) qui *mei* unquam misertus.

Or. Solus enim advenio tuis dolens malis.

El. An nobis cognatus alicunde venis obsecro?

Or. Dicerem ego *tibi*, si benevolæ hæ forent.

El. At sunt benevolæ: fidis proinde dixeris.

Or. Omitte hoc vasculum, ut omnia cognoscas.

El. Ne quæso per Deos hoc mihi facias, hospes.

Or. Pare *mihi* dicenti, & neutiquam peccabis.

El. Ne, per mentum tuum, ne auferas charissima.

Or. Non, inquam, sino.

El. O miseram me causa tui
Orestes, si *hoc* sepulchro privabor tuo.

Or.

ὐδὲν ὁμοιοῦται μητρί. L. B. 1201. Χερσὶν] Κακῶσει χειρῶν, ἢ κακοπαθείᾳ φθειρούσῃ τὴν ζωήν. ἢ διὰ κακοπαθείας φθειρούσης τὴν ζωήν. L. B. 1206. Νῦν ἴσθ'] Νῦν γίνωσκε, ὅτι σὺ μόνος ὑπάρχεις ἀπὸ τῶν βροτῶν, ὁ ἐποικτείρων ἐμέ. *Bar.* 1212. Μὴ δῆτα] Ὦ ξένε πρὸς θεῶν, μὴ δῆτα ἐργάσῃ τοῦτο πρὸς ἐμέ. ἤγουν εἰς ἐμέ, τουτέστιν, μὴ ἕλῃς ἐκ τῶν χειρῶν μου τὸ ἄγγος. *Bar.* 1213. Μὴ 'ξέλῃ] Ἐξείλετο ἀντὶ τοῦ ἐρρύσατο. ἀφείλετο δὲ, ἀντὶ τοῦ ἐστέρησεν. L. B. 1215. Οὔ φημ' ἐάσειν] Οὐ διατείνομαι ἐάσειν σὲ κρατεῖν σε τὸ τοῦ λειψάνου ἄγγος. *Bar.*

1218. Πρὸς

Ορ. Εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.

Ηλ. Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;

Ορ. Οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.

Ηλ. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;

Ορ. Ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.

Ηλ. Εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.

Ορ. Ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.

Ηλ. Ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;

Ορ. Οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστι τάφος.

Ηλ. Πῶς εἶπας, ὦ παῖ;

Ορ. Ψεῦδος οὐδὲν ὧν λέγω.

Ηλ. Ἦ ζῇ γὰρ ἁνήρ;

Ορ. Εἴπερ ἔμψυχός γ' ἐγώ.

Ηλ. Ἦ γὰρ σὺ κεῖνος;

Ορ. Τήνδε προσβλέψασά μου
Σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.

Ηλ.

1218. Πρὸς δίκης γὰρ] ἡ πρὸς ἀντὶ τῆς μετά. 1221. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;] ὥστε μήτε ὀνομάζειν αὐτὸν, δηλονότι. 1222. Τοῦτο δ' οὐχὶ σόν] ἡ σοὶ προσήκει. 1224. Ἠσκημένον] κατεσκευασμένον. ἀσκήματα γὰρ, τὰ κατασκευάσματα. 1233. Σφραγῖδα πατρὸς] τὸν δακτύλιον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1224. Πλὴν λόγῳ γ' ἠσκημένον] ὅτι τέθνηκεν ὁ Ὀρέστης οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ· ἔργῳ μὲν, ὅτι τὸ ἄγγος τὴν αὐτοῦ φέρει κόνιν· λόγῳ δὲ, ὅτι ἐν Δελφοῖς ἀγωνιζόμενος τέθνηκε. σύνταξις δ' οὕτως, ἀλλὰ οὐ τὸ Ὀρέστου σῶμ' ἐστὶ τόδ', ὡς σὺ φῄς. πλὴν εἰ μὴ καὶ ἠσκημένον ἐν λόγῳ, οὐ μόνον ἔργῳ, δηλονότι. 1227. Πῶς εἶπας] τὰ δύο κῶλα ἀντὶ ἑνός. 1233. Σφραγῖδα πατρὸς] τὸν ἐξ ἐλέφαντος ὦμον, ὃν οἱ ἐκ Πέλοπος καταγόμενοι εἶχον. ἕτεροι δὲ φασι τὸ σφραγῖδα ἀντὶ τοῦ δακτύλιον. ¶ Σχόλ. Τρικλ. 1226. Τοῦ γὰρ ζῶντος] γνωμικόν.

SCHOL.

Or. Bona verba, quæso, non enim recte gemis.
El. Quidni? ob mortuum fratrem non recte gemo?
Or. Non tibi convenit hæc verba fari.
El. Adeone indigna sum *fratre* mortuo?
Or. Indigna nequaquam tu: sed hoc non *est* tuum.
El. *Est:* siquidem jam Orestis hoc porto corpus.
Or. At non Orestis *portas*, nisi verbis modo ornatum.
El. Ubi ergo est illius miseri sepulchrum?
Or. Nullibi est: " viventis enim nullum est sepulchrum.
El. Quomodo locutus es, adolescens?
Or. Nihil falsi *inest iis*, quæ dico.
El. An itaque vivit homo?
Or. Siquidem ego sane vivo.
El. Num tu ille es?
Or. Hoc intuita mei
Sigillum patris, vera dicam necne disce.

El.

SCHOL. INED. 1218. Πρὸς δίκης] Ἀντὶ τοῦ, μετὰ δικαιοσύνης. *Bar.* 1220. Τήνδε φάτιν] Ἀντὶ τοῦ, τὸν λόγον. L. B. 1221. Οὕτως ἄτιμος] Ἤγουν, οὕτως ὑπάρχω ἀναξία τοῦ τεθνηκότος ἐκείνου μου ἀδελφοῦ Ὀρέστου, ὥστε μηδὲ προσήκει μοι στένειν αὐτόν. *Bar.* 1222. Ἄτιμος] Ἤγουν, οὐδενὸς ἀγαθοῦ σὺ ὑπάρχεις ἀναξία. τοῦτο δὲ τὸ ἀγγεῖον, οὐχὶ σόν ἐστιν, ἀλλ' ἐμὸν δηλονότι. Πῶς οὐκ ἔστιν ἐμὸν, εἴπερ γε βαστάζω τόδε τὸ σῶμα τοῦ Ὀρέστου. ἤγουν, εἴπερ γε τόδε, ὃ βαστάζω, ἐστὶ τὸ σῶμα τοῦ Ὀρέστου. *Bar.* 1225. Τάφος] Ἤγουν τὸ ἀγγεῖον, ὃ περιέχει τὰ λείψανα τοῦ Ὀρέστου· τάφος γίνεται ἀπὸ τοῦ τητῶ, ὃ δηλοῖ τὸ στερίσκω, καὶ τοῦ φῶς. ἤγουν ὁ τόπος ὁ ἐστερημένος φωτός, τουτέστιν σκοτεινός. ἢ ἔνθα οἱ στερηθέντες τοῦ φωτὸς κεῖνται. ἢ ἀπὸ τοῦ τύφω, ὃ δηλοῖ τὸ καίω· ὅτι οἱ παλαιοὶ ἐν αὐτῷ, ὡς ἐν θυσιαστηρίῳ, κατέκαιον τὰ τῶν τεθνεώτων σώματα, καὶ τὸ περιλειφθὲν, κατεχώννυον. *Bar.* 1232. Τήνδε προσβλ.] Δείξας ὁ Ὀρέστης ἑαυτὸν, φησὶ ταῦτα. προσβλέψασα, ἤγουν βλέψασα καὶ ἰδοῦσα, ταύτην μου τὴν σφραγῖδα, ἤγουν τὸν χαρακτῆρα τοῦ προσώπου καὶ τοῦ λοιποῦ σώματος, τὸν κατὰ πάντα ὅμοιον τῷ ἐμῷ πατρὶ Ἀγαμέμνονι, ἔκμαθε, ἤγουν κατανόησον, εἰ τὰ σαφῆ λέγω. *Bar.* L. B.

Ηλ. Ὦ φίλτατον φῶς.

Ορ. Φίλτατον, συμμαρτυρῶ.

Ηλ. Ὦ φθέγμ' ἀφίκου;

Ορ. Μηκέτ' ἄλλοθεν πύθῃ.

Ηλ. Ἔχω σὲ χεροῖν?

Ορ. Ὡς τὰ λοίπ' ἔχοις ἀεί.

Ηλ. Ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
Ὁρᾶτ' Ὀρέστην τόνδε μηχαναῖσι μὲν
Θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον;

Χο. Ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
Γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ α'.

Ηλ. Ἰὼ γοναί, γοναὶ σω-
μάτων ἐμοὶ φιλτάτων,
Ἐμόλετ' ἀρτίως.
Ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.

ΣΥΣΤΗΜΑ

1236. Ὦ φθέγμ' ἀφίκου] λείπει φίλτατον. 1245. Γοναὶ σωμάτων] ἀντὶ τοῦ ἑνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος. 1248. Εἴδεθ' οὓς ἐχρῄζετε] ἀντὶ τοῦ ἐμέ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1243. Κἀπὶ συμφοραῖσί μοι] συμφορὰ οὐ μόνον ἐπὶ δυστυχίας, ἀλλὰ καὶ ἐπὶ συνελεύσεως ἁπλῶς λαμβάνεται, ὡς κἀνταῦθα. Ἰστέον δ' ὅτι ὅτε τίς τὸν αὐτοῦ πολὺν χρόνον ἀποδημοῦντα μόλις θεάσαιτο, δακρύοις καὶ χαρᾷ κάτοχος γίνεται· τοῖς μὲν, διὰ τὴν πρόσθεν ἀπουσίαν· χαρᾷ δὲ, διὰ τὴν παροῦσαν ἀπόλαυσιν.

SCHOL. INED. 1239. Ἔχεις] Ναὶ ἔχεις με, ὥσπερ ἔχεις καὶ τὰ λοιπὰ ἀγαθὰ ἀπ' ἐντεῦθεν εἰς τὸ ἑξῆς. *Bar.* 1242. Νῦν δὲ μηχα-
ναῖς]

El. O chariſſima lux.
Or. Chariſſima, & ipſe teſtor.
El. O vox advenisti?
Or. Ne aliunde quæras.
El. Teneone te manibus?
Or. Ut in poſterum teneas *velim* ſemper.
El. O chariſſimæ mulieres, *optimæ* cives,
Videtiſne Oreſten hunc vafris commentis quidem
Mortuum, at nunc *iiſdem* commentis *vivum* ſalvumque?
Cho. Videmus, O filia: & in *his* caſibus mihi
Lætæ labuntur lachrymæ ab oculis.

PERICOMMATA. STROPHE, 1.

El. Io ſoboles, Io ſoboles corporum
Mihi chariſſimorum,
Veniſtis tandem,
Inveniſtis, acceſſiſtis, vidiſtis quos cupiebatis.

SYSTEMA

καῖς] Ἠνωμένον τοῦτο δηλοῦται σαφέστερον, οἷον διὰ μηχανῆς καὶ ἀποθανεῖν δόξαντα καὶ ζῶντα. διῃρημένον δὲ, τὸ μὲν διὰ μηχανῶν δόξαντα ἀποθανεῖν, δοκεῖ λόγον ἔχειν, οὐ μὴν καὶ τὸ διὰ μηχανῶν σεσωσμένον. L. B. 1243. Συμφοραῖσι] Ἰστέον ὅτι ἡ συμφορὰ λαμβάνεται καὶ ἐπὶ καλοῦ καὶ κακοῦ. ἐνταῦθα δὲ ἐπὶ τοῦ καλοῦ. *Bar.* 1244. Δάκρυον] Ἀπὸ τοῦ δάκνω καὶ τὸ ῥέειν· δακνομένης γὰρ τῆς ψυχῆς, ἤγουν λυπουμένης καὶ θλιβομένης, ῥέει τὸ δάκρυον. *Bar.* 1245. Ἰὼ γοναὶ] Ἰστέον ὅτι τὸ Ἰὼ, καὶ ἐπὶ χαρᾶς καὶ ἐπὶ λύπης λαμβάνεται, ἐνταῦθα δὲ ἐπὶ χαρᾶς. Γοναὶ] Ὦ γέννημα τοῦ σώματος τοῦ Ἀγαμέμνονος δηλονότι, τοῦ φιλτάτου ἐμοί. ἤλθετε ἀρτίως. ἐφεύρετε, ἤλθετε, εἴδετε οὓς ἐχρῄζετε. τουτέστιν, ἐφεῦρες, ἦλθες, εἶδες οὓς ἔχρῃζες. Ἰστέον ὅτι τὸ ἐφεύρετε, ἤλθετε, εἴδετε οὓς ἐχρῄζετε, ταῦτα τὰ πάρισα καὶ ἰσοκατάληκτα, τῆς πανηγυρικῆς ἰδέας εἰσίν. *Bar.*

ΣΥΣΤΗΜΑ. α'.

Ορ. Πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
Ηλ. Τί δ' ἐστίν;
Ορ. Σιγᾷν ἄμεινον, μήτις ἔνδοθεν κλύῃ.

ΣΤΡΟΦΗ β'.

Ηλ. Ἀλλ' οὐ μὰ τὰν Ἄρτεμιν
Τὰν αἰὲν ἀδμήταν,
Τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι,
Περισσὸν ἄχθος ἔνδον
Γυναικῶν ὂν ἀεί.

ΣΥΣΤΗΜΑ. β'.

Ορ. Ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς ἄρης.

ΣΤΡΟΦΗ

1249. Σῖγ' ἔχουσα πρόσμενε] ἀντὶ τοῦ σίγα, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν. 1250. Τί δ' ἐστίν] παράκειται ἑκάστῳ τὸ οἰκεῖον. ἡ μὲν γὰρ γυνή τε οὖσα, καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐστίν· ὁ δὲ, ἤτοι ἀσφαλὴς, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ. 1252. Ἀλλ' οὐ μὰ τὰν Ἄρτ.] ἡ ἀπότασις πρὸς Κλυταιμνήστραν. ὅρα δὲ εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ παρόντος Ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο. 1257. Ὅρα γε μὲν δὴ] ἐπὶ τὴν Κλυταιμνήστραν τείνων, φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1254. Τόδε μὲν] τὸ τόδε πρὸς τὸ περισσὸν ὂν ἄχθος, σύναπτε· ἢ πρὸς τὸ τρέσαι ὑποστίξας, λέγε οὕτως, οὔποτ' ἀξιώσω τρέσαι τόδε, τὸ μήτις ἔνδον κλύῃ, περισσοῦ ἄχθους γυναικῶν ὄντος ἔνδον. εἰώθαμεν γὰρ τοὺς ἀργοὺς, καὶ μὴ ἐπί τι χρησίμους, ἄχθος καλεῖν γῆς.

SCHOL. INED. 1251. Σιγᾷν ἄμεινον] Ἡ μὲν Ἠλέκτρα γυνή τε οὖσα, καὶ προσδοκίᾳ εὐτυχοῦσα, καὶ θρασεῖα διὰ τοῦτο γενομένη. καταστέλλεται ὑπὸ τοῦ Ὀρέστου, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν τοῦ ἔργου. *Bar.*

1252. Ἀλλ'

SYSTEMA 1.

Or. Adſumus, ſed tacita operire.
El. Quid autem eſt?
Or. Tacere ſatius, nequis intus exaudiat.

STROPHE 2.

El. At per Dianam
Semper indomitam (i. e. *innuptam*)
Non hoc unquam dignabor timere
Inutile pondus mulierum,
Quod intus ſemper eſt.

SYSTEMA 2.

Or. Cave tamen jam, *ſuus* & in mulierculis Mars
Ineſt; hoc autem pulchre noſti experta olim.

STROPHE

1252. Ἀλλ' οὐ] Ἀλλ' οὐδαμῶς, μὰ τὴν Ἄρτεμιν τὴν ἀεὶ ἀδάμαστον παρθένον, οὔποτε ἀξιώσω τρέσαι τόδε μὲν τὸ περισσὸν καὶ πολὺ πλῆθος τῶν γυναικῶν ἀεὶ, τὸ οἱ ἔνδον, τοῦ παλατίου δηλονότι. τουτέστι, τὸ πολὺ πλῆθος τῶν θεραπαινίδων γυναικῶν. Ἄλλοι δὲ οὕτως. ἀλλ' οὐδαμῶς, μὰ τὴν Ἄρτεμιν τὴν ἀειπάρθενον, οὔποτε ἀξιώσω τρέσαι. ὅτι τὸ πλῆθος τῶν γυναικῶν τὸ οἰκουροῦν ἀεὶ ἔνδον τοῦ παλατίου, οὐ σκοπεῖ πρὸς ἡμᾶς κατανοῆσαι τί λαλοῦμεν. ἐπειδὴ κατεπείγει αὐτὰς τὸ περισσὸν βάρος. ἤγουν ὁ περισσὸς κόπος. *Bar.* 1257. Ἔνεστιν· εὖ δ' ἔξοισθα, πειραθεῖσά που.] Ἤγουν, ἐνυπάρχει· καλῶς γινώσκεις πεῖραν λαβοῦσα παρὰ τῆς Κλυταιμνήστρας. Που] Τὸ πού περισσόν. Πειραθεῖσά που] Ἤγουν ἀπὸ πείρας μαθοῦσα, ὅτι ἔστι μαχητικὴ δύναμις καὶ ἐν ταῖς γυναιξί. τουτέστι, γινώσκεις τὴν Κλυταιμνήστραν τὴν ἰσχύσασαν κατὰ τοῦ Ἀγαμέμνονος. ὅθεν φησὶν Ἠλέκτρα, ὀτοτοτοί. Ἡμέτερον κακὸν ἀνέφελον ἀνέμνησας, καὶ οὔποτε καταλύσιμον, οὐδὲ λησόμενον, οἷον ἐγένετο. τὸ οἷον ἐγένετο, διὰ μέσου κεῖται ὡς θαυμαστικόν. εἶτα φησὶν ὁ Ὀρέστης, ἔξοιδα καὶ ταῦτα ἃ λέγεις μεγάλα κακά. ἀλλὰ ὅταν παρουσία καιροῦ ἐπιτρέπῃ, τότε χρεὼν ἐστὶ καὶ τῶνδε τῶν ἔργων μεμνῆσθαι. ὅθεν φησὶν ἡ Ἠλέκτρα, Ὁ πᾶς ἐμοὶ, ὁ πᾶς χρόνος ὁ ὑπάρχων ἐμοὶ, ἁρμόζοι μοι λέγειν ταῦτα τὰ μεγάλα κακὰ δικαίως, ὅτι μετὰ βίας νῦν ἔλαβον ἐλεύθερον στόμα. *Bar.*

1258. Ὀτοτοτοῖ]

ΣΤΡΟΦΗ γ′.

Ηλ. Ὀτοτοῖ ὀτοτοί.
Ἀνέφελον ἐπέβαλες,
Οὔποτε καταλύσιμον,
Οὐδέποτε λησόμενον,
Ἁμέτερον οἷον ἔφυ κακόν.

ΣΥΣΤΗΜΑ. γ′.

Ορ. Ἔξοιδα καὶ ταῦτ᾽· ἀλλ᾽ ὅταν παρουσία
Φράζῃ, τότ᾽ ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΑΝΤΙΣΤΡΟΦΗ α′.

Ηλ. Ὁ πᾶς ἐμοὶ, ὁ πᾶς ἂν
Πρέποι παρὼν ἐννέπειν
Τάδε δίκᾳ χρόνος,
Μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΑΝΤΙΣΥΣΤΗΜΑ. α′.

Ορ. Ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.

Ηλ.

1258. Ὀτοτοῖ ὀτοτοῖ] ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δυο στίχων, φησὶν, ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον· ὡς εἰ ἔφη, διάδηλον κακὸν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον. 1260. Οὔποτε καταλύσιμον] οὐδέποτε λυθησόμενον, οὐ καταλυόμενον. ὁ δὲ νοῦς, λήθης τυχεῖν μὴ δυνάμενον. 1263. Ἀλλ᾽ ὅταν παρουσία φράζῃ] ὅταν ἐπιτρέπῃ ὁ καιρὸς, καὶ καλῇ· ἢ ὁπόταν ἡ παρουσία τούτου ᾖ, καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα, δι᾽ ὄχλου ἦν τοῖς θεαταῖς, ἐπισταμένοις τὸ πᾶν, καὶ ποθειμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου γιγνόμενα· 1265. Ὁ πᾶς ἂν πρέποι]

ὁ πᾶς

STROPHE 3.

El. Heu, Heu.
Manifestum animo substituisti,
Nunquam solubile,
Nec unquam delebile,
Nostrum quale est, malum.

SYSTEMA 3.

Or. Pernovi hæc quoque: sed cum occasio
Suaserit, tunc opera hæc meminisse oportet.

ANTISTROPHE 1.

El. Omne mihi, omne
Convenit præsens tempus,
Ad hæc dicenda, quæ sunt justa.
Vix enim nunc *tandem* habeo liberam linguam.

ANTISYSTEMA. 1.

Or. Idem sentio & ego: quare serva hoc.

El.

ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν μοι ταῦτα. 1267. Τάδε δίκαια] γράφεται τάδε δίκα. 1269. Σῶζε τόδε] ποῖον; τὸ ἐλευθεροστομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1259. Ἀνέφελον] ἤγουν διάδηλον καὶ μὴ ὑπὸ νεφέλης καλυπτόμενον. εἴρηται δ' ἐκ μεταφορᾶς τοῦ ἡλίου μὴ δυναμένου ὑπὸ νεφῶν κεκαλύφθαι. Ἐπέβαλες] ἐπιβάλλω τὸ ἐπιτυχῶς στοχάζομαι· ἐνταῦθα δ' ἐπέβαλες ἀντὶ τοῦ εἰς γνῶσιν ἤγαγες, τοῦτ' ἔστιν ἀνεμνήσας. 1267. Τάδε δίκα χρόνος] οὐ γράφε δίκαια χρόνος, ἀλλὰ δίκα. οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. εὕρηται δ' ἐν τινὶ τῶν παλαιῶν βιβλίων οὕτω, οὐχ ὅταν ἡ παρουσία ἐπιτρέπῃ, τότε χρὴ τούτων μεμνῆσθαι, ὡς σὺ φής· ἀλλ' ὁ παρὼν χρόνος πᾶς ἁρμόζει ἂν ἐμοὶ ἐννέπειν καὶ λέγειν τάδε ἐν δίκῃ· τοῦτ' ἔστι, δίκαιόν ἐστιν οὐ μόνον μεμνῆσθαι τῶνδε, ὅταν ἐπιστῇ καιρὸς τούτων, ἀλλὰ καὶ λέγειν τάδε, ἃ λέγω, διὰ παντὸς τοῦ παρόντος χρόνου. μόλις γὰρ νῦν ἔχον ἐλευθερίαν ὥστε λέγειν ἃ βούλομαι, μή τινα φοβουμένη. 1269. Σύμφημι

Ηλ. Τί δρῶσα;
Ορ. Οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Ηλ. Τίς δῆτ' οὖν ἀξίαν
Σοῦ μοι φανέντος νῦν
Μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
Ἐπεί σε νῦν ἀφράστως
Ἀέλπτως τ' ἐσεῖδον.

ΑΝΤΙΣΥΣΤΗΜΑ. β'.

Ορ. Τότ' εἶδες, ὅτε θεοί γέ μ' ὤτρυναν μολεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ. γ'.

Ηλ. Ὀποτοτοί,
Ἔφρασας ὑπερτέραν
Τᾶς πάρος ἔτι χάριτος,
Εἴ σε θεὸς ἐς μέλαθρα,
Δαιμόνιον αὐτὸ τίθημ' ἐγώ.

ΑΝΤΙ-

φημι κἀγὼ] τοῦτο πρὸς τὸ τόδε συνάψεις· τὸ δὲ τοιγαροῦν σώζου, διὰ μέσου. ἢ στίξεις μὲν πρὸς τὸ σύμφημι κἀγώ· τὸ λοιπὸν δ' οὕτως εἴποις· τοιγαροῦν σώζου τόδε τὸ ἐλεύθερον στόμα, καὶ μὴ ταῖς βοαῖς ἀπολίπῃς, εἴ τις ἔνδοθεν αἴσθοιτο.

1271. Μὴ μακρὰν] ἀντὶ τοῦ μὴ μακρᾶς 1272. Τίς δῆτ' οὖν ἀξίαν] τίς ἂν (φησὶ) νῦν ἄφαντος δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν; 1279. Ὑπερτέραν] λείπει χάριν. 1280. Τᾶς πάρος ἔτι χάριτος] τῆς σῆς παρουσίας.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1272 Τίς δῆτ' οὖν] δέον οὕτως εἰπεῖν, τίς δῆτ' οὖν μεταβάλλοι τοὺς ἐμοὺς λόγους εἰς σιγὴν ἀξίως, ἐπειδὴ ἡ μετα-

βολὴ

El. Quid agendo?
Or. Ubi non opportunum est, noli prolixe dicere.

ANTISTROPHE 2.

El. Quis jam vero,
Te mihi in conspectum dato,
Commutet silentium verbis sine dispendio?
Quando te nunc præter nuncium
Præterque spem intuita sum.

ANTISYSTEMA 2.

Or. Tum *me* vidisti, cum dii me impulerunt *patriam* repetere.

ANTISTROPHE 3.

El. Ah,
Jam tu nunciasti
Rem gratiorem quam prius,
Si *nempe* te Deus in domum hanc adegit,
Hoc divinum *prorsus* ego judico.

ANTI-

βολὴ τῶν λόγων σιγὴ ἦν, σιγὴν εἶπεν· πρὸς ὃ καὶ τὸ ἀξίαν ἐπήνεγκε. χρὴ δὲ γράφειν ταῦτα τὰ κῶλα οὕτως, Τίς δῆτ' ἂν ἀξίαν, Καί σου φανέντος νῦν. οὕτω γὰρ οἰκείως ἔχει πρὸς τὰ τῆς στροφῆς. οἱ δ' ἄλλως γράφοντες, οὐ καλῶς γράφουσι. τὸ γὰρ δῆτ' ἂν οὐκ παραλλήλου. 1278. Ὀτοτοτοῖ] ἡ παροῦσα ἀντιστροφὴ ἐλλιπὴς ἦν πρὸς τὴν αὐτῆς στροφήν· διὸ τὸ πρῶτον ἐκείνης κῶλον προσετέθη παρ' ἐμοῦ κἀνταῦθα· εὕρηνται γὰρ πολλὰ τοιαῦτα. 1279. Ἔφρασας] ἤγουν εἶπας, ὅτι ἐπὶ τούτοις ἀμείνω χάριν καὶ ὑψηλοτέραν, ἀπὸ κοινοῦ, τῆς πρώην χάριτος, ἤγουν τῆς ἐπιδημίας σου. 1281. Εἴ σε θεὸς] ἀτελεστὸν ἦν ἐνταῦθα τὸ ἐπᾶρσιν· διὰ τοῦτο ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς. χρὴ δὲ λαμβάνειν ἄνωθεν τὸ ὤτρυνε, μολεῖν, εἰς τὰ ἡμέτερα μέλαθρα δηλονότι.

SCHOL. INED. 1270. Τί δρῶσα] Τί ποιοῦσα ἐγὼ, φυλάξω τὴν ἐλευθερίαν αὐτὴν δηλονότι. *Bar.*

ΑΝΤΙΣΥΣΤΗΜΑ γ'.

Ορ. Τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ
Δέδοικα σε λίαν ἡδονῇ νικωμένην.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ηλ. Ἰὼ χρόνῳ μακρῷ γε φιλτάταν ὁδὸν
Ἐπαξιώσας ὧδέ μοι φανῆναι,
Μή τί με πολύστονον ὧδ' ἰδὼν—
Ορ. Τί μὴ ποιήσω;
Ηλ. Μή μ' ἀποστερήσῃς
Τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
Ορ. Ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
Ηλ. Ξυναινεῖς;
Ορ. Τί μὴ οὔ;
Ηλ. Ὦ φίλαι, ἔκλυον ἂν

Ἐγὼ

1287. Ὧδ' ἰδὼν] γράφεται, ὦ δι' δών. 1289. Μή μ'] μὴ ἀποστερήσῃς με (φησὶ) τοῦ μεταξὺ τῶν προσώπων, καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς. ὅπερ μὴ παρέσαι ἐπὶ πλέον μετεχύσῃ σε καὶ ἀπολαύσῃ. οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς· ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι. 1294. Ὦ φίλαι, ἔκλυον ἂν ἐγὼ] ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην, οὔτε ἀκούσασα βοῆσαι. καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι, καὶ ὁ φόβος ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα, σιωπῆσαι. ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν. ὁ νοῦς, ἔκλυον αὐδὴν, ἣν οὐδέποτε ἤλπισα, καὶ ἔχον τρόπον ἄναυδον τῷ μὴ δύνασθαι ἀκούειν, οὐδὲ βοῶντος τινὸς ἀκούειν δυναμένη. οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου, ὅτε ἤκουσεν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1283. Τὰ μέν σ' ὀκνῶ] διότι μὲν μόλις τῶν πάλαι δακρύων ἀπήλλαξαι, καὶ εἰς χαρὰν ὥρμησας δι' ἐμὲ, οὐ θέλω παῦσαί σε τούτου· διότι δὲ ὑπόνοιαν ἴσως προδώσειν ἡμᾶς τοὺς ἔνδον, μὴ

δυναμένη

ANTISYSTEMA 3.

Or. Partim te vereor gaudentem vetare, partimque
Metuo, ne nimio victa gaudio *luas*.

MONOSTROPHICA.

El. O qui post longum tempus gratissimo itinere
Dignatus es sic me visere, 1286
Ne me gemebundam conspicatus—
Or. Quid non faciam?
El. Ne me vetueris
Tui conspectus voluptate frui. 1290
Or. Certe admodum irascerer, in aliis hoc si cernerem.
El. Approbas *ergo*?
Or. Quidni?
El. O amicæ, audivi, quam

Ego

δυναμένη σ' αὐτὴν ὑπὸ τῆς τοσαύτης χαρᾶς κατέχειν, φοβοῦμαί σε. 1286. Ὧ δέ μοι φανῆναι] δέον ἐλθὼν εἰπεῖν, φανῆναι εἶπε. τοῦτο γὰρ ἦν τὸ τὴν ἡδονὴν ποιῆσαν, τέλος ὂν τῆς πορείας. 1290. Τῶν σῶν προσώπων] τοῦτο ἢ πρὸς τὸ ἀποστερήσῃς συνακτέον, ἢ πρὸς τὸ ἡδονὴν, οὕτω, μὴ ἀποστερήσῃς ἐμὲ μεθέξεως ἡδονῆς τῶν σῶν προσώπων. τοῦτ' ἔστι, μὴ ἀφαιρήσῃς ἐμὲ τὴν διὰ τῆς σῆς παρουσίας ἡδονήν. 1291. Ἦ κάρτα] ἤγουν, οὐ μόνον ἐγὼ τοῦτο οὐ ποιήσω, ἀλλὰ καὶ ἄλλῳ βουληθέντι ποιεῖν ὀργισθήσομαι.

SCHOL. INED. 1284. Δέδοικά σε λίαν] Ἤγουν, φοβοῦμαι ἀφιέναι σε λέγειν, τὴν νικωμένην λίαν ὑπὸ τῆς εὐφροσύνης. ὅρα πῶς νουνεχῶς συνέσταλε τὴν ὑπερβολὴν τῆς χαρᾶς, ἣν χαίρει ἡ Ἠλέκτρα, ἵνα μὴ λυμήνηταί τι πρὸς τὸ μελετώμενον. *Bar.* 1285. Ἰὼ χρόνῳ] Ἰὼ, ἤγουν φεῦ. ἐν χρόνῳ μακρῷ καὶ παρατεταμένῳ παριδὼν ἐμὲ τὴν οὖσαν ἐν πολλοῖς στεναγμοῖς, νῦν δὲ ἐπαξιώσας φανερωθῆναι μοι οὕτως κατὰ ταύτην τὴν φιλτάτην ὁδὸν, μή τι κωλύσῃς με τῶν σῶν προσώπων, ὥστε μεθέξεως καὶ καταλυπεῖν τὴν ἡδονὴν, ἣν ἔχω, δηλονότι ὁρῶσά σε. Ἄλλοι δὲ ἄλλως συντάσσουσιν. Ἰώ. ὁ ἐν χρόνῳ μακρῷ κατὰ ταύτην τὴν φιλτάτην ὁδὸν ἐπαξιώσας ὧδε μοι φανερωθῆναι, καὶ μή τι ἐμὲ τὴν πολύστονον οὕτω παριδὼν, ἐνταῦθα γενομένου τοῦ λόγου, φησὶν ὁ Ὀρέστης· τί ἵνα μὴ ποιήσω; ὑπολαβοῦσα ἡ Ἠλέκτρα φησὶ, μή με ἀποστερήσῃς τῶν σῶν προσώπων, καὶ τὰ ἑξῆς. *Bar.* 1291. Ἦ κάρτα] Ἀντὶ τοῦ, καὶ ὄντως λίαν ἐὰν ἀποστερήσω

Ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
Ἔσχον ὀργὰν ἄναυδον,
Οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
Νῦν δ' ἔχω σε· προὐφάνης δὲ
Φιλτάταν ἔχων πρόσοψιν,
Ἇς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.

IAMBOI.

Ορ. Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
Καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
Μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
Ἀντλεῖ· τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
Ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
Σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,

Γελῶντας

σε τῶν ἐμῶν προσώπων. καὶ ἄν, ἤγουν καὶ δυνατόν ἐστιν, ἰδὼν ἄλλοισι, τουτέστιν ὑπ' ἄλλων, ἐνεργούμενον τοῦτο τὸ ἀποστερεῖν σε τῶν ἐμῶν προσώπων, θυμοίμην καὶ ὀργιζοίμην αὐτοῖς δηλονότι. Bar. 1294. Ὦ φίλαι] Ὦ φίλαι, ἤκουσα αὐδήν, ἤγουν ἀγγελίαν, ἣν ἐγὼ οὐδ' ἂν ἤλπισα ἀκοῦσαι. τοῦτο λέγει διὰ τὸν πεπλασμένον θάνατον τοῦ Ὀρέστου, ὃν ὡς ἀληθῆ ἐνόμιζεν. Bar.

1303. Μήθ' ὡς πατρῴαν] ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤρκει γὰρ καὶ ἓν τῶν λελεγμένων. 1305. Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος] ἀφαιρεῖται γὰρ (φησὶ) τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι, τῶν λόγων ἡ ἀδολεσχία.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1297. Οὐδὲ σὺν βοᾷ] ἤγουν, σὺν ὀδυρμοῖς καὶ δάκρυσιν ἀκούσασα τὴν περὶ τοῦ θανάτου φήμην. τοῦτ' ἔστι, βουλομένη κλαίειν πρὸς τοὺς τοῦ ἀγγέλου λόγους οὐκ ἠδυνάμην, ὑπὸ Κλυταιμνήστρας κατεχομένη.

SCHOL. INED. 1296. Ἔσχον] Ἤγουν, ἔλαθον ὀργὴν ἄναυδον καὶ ἄφωνον. τουτέστιν, ἄφωνος ἐγενόμην, οὐδὲ κλύουσα καὶ ἀκούσασα τὴν αὐδὴν ἐκείνην, ἠδυνάμην βοῆσαι σὺν βοῇ ἐγὼ ἡ τάλαινα. καὶ τοῦτο φιληθείς.

Ego ne speravi quidem *audire* vocem.
Ardebam *modo* ira tacita,
Nullo cùm clamore audiens misera *mortis tuæ nuncium.*
At nunc te teneo : apparuisti autem
Gratissimum habens aspectum,
Cujus ego quantumvis in malis non oblivisci potero.

IAMBI.

Or. Superfluos nunc mitte sermones,
Et neque me doce, mater ut mala sit,
Neque ut paternas opes Ægisthus domo
Exhauriat, partimque effundat, partimque dissipet inaniter;
Agendi enim occasionem excludat tibi *futilis* loquela.
Quæ vero mihi apta erunt in præsens tempus,
Ea expone, quomodo, palamne, an clam,
Insultantes

ἀληθές. οἱ γὰρ ἐξαίφνης ἀκούσαντες λυπηρὰν ἀγγελίαν μηδαμῶς προσδοκωμένην, εὐθὺς ὑπὸ τῆς λύπης ἄφωνοι γίνονται, τὸ δὲ ὄργανον τῆς γλώττης αὐτῶν κατέφθαρται. καὶ ἀκούοντες οὐ δύνανται λαλῆσαι. τὸ γὰρ κλύουσα οὐκ ἠδυνάμην σὺν βοῇ βοῆσαι, ἔφη, πρὸς ἀντιδιαστολὴν τῶν βαβῶν, οἵ τινες μήτε ἀκούουσι, μήτε δύνανται λαλῆσαι. *Bar.* 1304. Ἀντλεῖ] Ἀντλεῖν, τὸ συνεχῶς ἀρύεσθαι. ἐπὶ ὕδατος λέγεται τὸ ἀντλεῖν, καὶ ἐκχεῖν. οἷον ἀντλεῖ τὶς ἀπὸ φρέατος ὕδωρ, ἤγουν συνεχῶς ἀρύεται καὶ ἀνέλκει. ἐκχεῖ δὲ, τὸ ἀντλούμενον, ὥστε καὶ ταὐτὸ συνάγεται. ὥσπερ λῆμμα καὶ δῶρον. L. B. 1305. Χρόνου γὰρ ἄν σοι] Ἤγουν, ἡ πολυλογία γὰρ ἡ σὴ ἐξείργοι ἂν καὶ κωλύοι, καὶ ἀφελεῖ τὸ ἔγκαιρον. καιρὸς γὰρ τῷ παντὶ πράγματι. *Bar.* L. B. 1306. Παρόντι] Περιττὸν ἢ τὸ νῦν. ἢ τὸ παρόντι. ὁ παρὼν μὲν γὰρ χρόνος λέγεται, ὁ νῦν χρόνος. ὅμως δὲ ὁ παρὼν νῦν χρόνος οὐ λέγεται. ἀρκεῖ γὰρ ἕτερον αὐτῶν, ἢ τὸ παρὸν, ἢ τὸ νῦν, δηλῶσαι τὸ ἐνεστῶτα εἶναι τὸν χρόνον, ὃ βούλεται δηλοῦν ὁ λόγος, ὥστε καὶ ἀμφοτέρων ἀδολεσχίαν ὁ λόγος ἔχει. L. B.

1317. Λεξαίμην

Γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
Οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
Φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους.
Ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,
Στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
Χαίρειν παρέσται, καὶ γελᾶν ἐλευθέρως.
Ηλ. Ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καί σοι φίλον,
Καὶ τοὐμὸν ἔσται τῇδ'. ἐπεὶ τὰς ἡδονὰς
Πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην.
Κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ,
Αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
Ὑπηρετοίμην τῷ παρόντι δαίμονι.
Ἀλλ' οἶσθα μὲν τὰ 'νθένδε· πῶς γὰρ οὔ; κλύων

Ὀθ'

1317. Λεξαίμην βραχὺ] γράφεται βουλοίμην βραχύ. 1320. Ἀλλ' οἶσθα μὲν τὰ 'νθένδε] εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1308. Τῇ νῦν ὁδῷ] τοῦτο ἢ πρὸς τὸ γελῶντας συνάψεις, οὕτω, γελῶντας τῇ νῦν ὁδῷ, ἤγουν ἐπεγγελῶντας τῷ συμβάντι δῆθεν ἐπὶ θανάτῳ· ἢ πρὸς τὸ παύσομεν, οὕτω, παύσομεν ἐν τῇ νῦν ὁδῷ, ἤγουν ἐν τῷ παρόντι ἀγῶνι, ὃν ἡμεῖς κατ' αὐτῶν ποιούμεθα. 1314. Καί σοι φίλον] τὸ σοὶ διπλῶς λέγεται, ἢ οὕτως, ὥσπερ ὑπάρχει σοὶ φίλον, καὶ τοὐμὸν τῇδε, ὧδε καὶ οὕτως ἔσται· καὶ πάλιν ὧδε καὶ οὕτως ἔσται, καὶ τὸ ἐμὸν τῇδε προσφιλὲς, ὥσπερ ὑπάρχει σοὶ φίλον. ἐμοὶ δὲ οὖν τῇδε, ἀντὶ τοῦ ἐμοὶ αὐτῇ. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐμοὶ, ἐμὲ εἶπε πρὸς τὸ φίλον. ἕτεροι δὲ παρανοοῦντες, τῇδε ἀντὶ τοῦ οὕτως φασὶν, ὥσπερ καὶ τὸ ὧδε, ἄμφω ἐν παραλλήλῳ λέγοντες.

SCHOL. INED. 1308. Γελῶντας] Ἀπὸ τοῦ γελᾶν παύσομεν τοὺς ἐχθροὺς διὰ τῆς παρούσης μεθόδου. *Bar.* 1309. Οὕτως δὲ] Ὅρα δὲ ὅπως μὴ ἐπελθόντοιν οὕτως νῷν φαιδρῷ προσώπῳ εἰς τοὺς δόμους, καὶ ἐπιγνώσεταί σε ἡ μήτηρ. ἀλλ' ὡς ἐπὶ τῇ ἄτῃ τῇ μάτην λελεγμένῃ, στέναζε. *Bar.* 1310. Φαιδρῷ προσώπῳ] Ἀντὶ τοῦ χαροπῷ. οἱ χαρὰν ἔχοντες λέγονται φαιδροί· ἐπεὶ τῶν χαιρόντων αἱ ὄψεις, φαιδραὶ γίνονται. καὶ ἀντιστρέψας τὰ λαμπρὰ, γελᾶν λέγονται, ὡς παρ' Ὁμήρῳ· Γέλασσε δὲ πᾶσα περὶ χθὼν χαλκοῦ ὑπὸ στεροπῆς. καὶ γεγανωμένοι ἀπὸ τοῦ γάνος ἡ χαρὰ, τοῦ λαμπροὶ καὶ φαιδροί.

Insultantes inimicos, hoc nostro advèntu, comprimamus:
Vide igitur ne mater te *tua* senserit
Hilari vultu, nobis domum ingressis.
Sed velut ob infortunium, *quamvis* falso nunciatum,
Gemito: cum enim res nobis feliciter processerit, tunc
Gaudere licebit, & ridere libere.
El. At, O frater, ita ut & tibi gratum,
Et mihi erit in hac re; quoniam voluptatem hanc
A te accepi, & non ipsa mihi quæsivi.
Et ne quidem, si tibi vel parum molesta sim,
Velim ipsa *quamlibet* invenire magnum lucrum: non enim recte
Sic subservirem præsenti, qui favet, Deo.
Tu vero nosti hic quæ fiunt: quidni enim? qui audis
Quod

φαιδρόν. L. B. 1311 Ἐπ' ἄτῃ] Ἐπὶ τῇ βλάβῃ, ἤγουν διὰ τὴν βλάβην τὴν ματαίαν, ἤγουν ψευδῆ, εἰρημένην, στέναζε. L. B. 1314. Ἀλλ', ὦ κασίγν.] Ἤγουν, καὶ μὴν, ὦ κασίγνητε, οὕτως ἔσται τοὐμὸν, τουτέστι τὸ ἡμέτερον ἔργον, οὕτως ὥσπερ λέγεις γενήσεται, ὅπως ἔσται φίλον καὶ σοὶ, καὶ ἐμοὶ τῇδε. *Bar.* 1319. Ὑπηρετοίμην] Ἤγουν, ὑπουργοίην ἢ ὑπουργοῦσα φανείην. ὑπηρετῶ καὶ ὑπηρετοῦμαι, ἐπὶ τοῦ αὐτοῦ. ὧν τὸ μὲν, λέγεται κοινῶς· τὸ δὲ ὑπηρετοῦμαι παρὰ τοῖς Ἀττικοῖς. L. B. 1320. Οἶσθα μὲν] Ἤγουν, γινώσκεις τὰ ἐνταῦθα. πῶς γὰρ οὐχί; ἀκούων ὅτι ὁ Αἴγισθος οὐκ ἔστι κατὰ τὰς στέγας. ἡ μήτηρ δὲ ἐν τοῖς οἴκοις ἐστίν. ἥντινα ὅρα ἵνα μὴ φοβηθῇς, ὅτι τάχα ὄψεται φαιδρὸν ὑπὸ τοῦ γέλωτος τὸ ἐμὸν πρόσωπον. τοῦτο μὲν οὐκ ἔσται δηλονότι. καὶ ἡ αἰτία, ὅτι λύπη πολυχρόνιος ἐνετυπώθη μοι. καὶ ἐπεί σε εἶδον, οὔποτε παύσω ἐξ αἰτίας τῆς χαρᾶς δακρυρροοῦσα. ἴστω ὅτι καὶ ὑπὸ τῆς χαρᾶς κινοῦνται πολλάκις δάκρυα· πῶς γὰρ ἂν λήξαιμι καὶ παυσαίμην τοῦ δακρύειν, ἥτις ἐγὼ ἐν μιᾷ τῇδε τῇ ὁδῷ εἶδον σε καὶ θανόντα καὶ ζῶντα; *Bar.*

1324. Μισός

Ὅθ' οὕνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
Μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ', ὡς
Γέλωτι φαιδρῷ τοὐμὸν ὄψεται κάρα.
Μῖσος τε γὰρ παλαιὸν ἐντέτηκέ μοι·
Κἀπεί σ' ἐσεῖδον, οὔποτ' ἐκλήξω χαρᾶς
Δακρυῤῥοοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
Ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
Καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
Ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
Τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
Ὅτ' οὖν τοιαύτην ἡμῖν ἐξήκεις ὁδόν,
Ἄρχ' αὐτός, ὥς σοι θυμός. ὡς ἐγὼ μόνη,
Οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
Ἔσωσ' ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.
Ορ. Σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
Τῶν ἔνδοθεν χωροῦντος.

Ηλ.

1324. Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι] πρὸς τὴν μητέρα δηλονότι.
1335. Σιγᾶν ἐπῄνεσ'] τινὲς τὸν χορόν φασι λέγειν ταῦτα.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1325. Οὔποτ' ἐκ.] τοῦτο διπλῶς νοεῖται, ἢ οὔποτε παύσομαι τοῦ χαίρειν, κἂν εἰς δάκρυα ἔλθω· ἢ (ὃ καὶ κρεῖττον) ἐπειδὴ σὺ κελεύεις φαίνειν μοι σημεῖα χαρᾶς τῇ μητρί, οὐ παύσομαι τοῦ χαίρειν δακρύουσα, ὡς διά σε δῆθεν ὀφθήσομαι αὐτῇ καθ' ἑαυτὴν χαίρουσα. 1335. Σιγᾶν ἐπῄνεσ'] καλῶς τὸ ἐπῄνεσα, καὶ οὐκ ἐπαινῶ. ἡνίκα γὰρ ἐβουλήθη τοῦτο, τότ' ἐπῄνεσεν, εἶτ' ἐξεῖπεν. ἢ τὸ ἐπῄνεσα διὰ τοῦτο εἶπε παρῳχημένως, ἐπειδὴ καὶ πρώην αὐτῇ εἶπε, σιγᾶν ἄμεινον.

SCHOL. INED. 1328. Ἄσκοπα] Ἀνέλπιστα, ἀπροσδόκητα. L. B. 1329. Ὥστ' εἰ] Ἤγουν, ὥστε εἰ ἤκουσα, ὅτι ὁ πατήρ μου Ἀγαμέμνων ἀνέστη καὶ ἔρχεται, μηκέτι ἂν ἤθελον νομίζειν αὐτὸ τέρας. ἤγουν αὐτὸ τὸ ἄγγελμα, μάλιστα δὲ ἤθελον πιστεύειν, καὶ ἐλπίζειν ὁρᾶν αὐτὸ τὸ ἄγγελμα

Quod Ægysthus à domo abest,
Mater vero domi adest; quam neutiquam vereare, ne
Risu lætam videat faciem meam.
Odiumque enim vetus mihi insedit:
Et postquam te aspexi, nunquam desinam præ gaudio
Lacrymas effundere. quo pacto enim desisterem ego,
Quæ te una hac *eademque* via mortuumque
Et vivum aspexi? fecisti autem mihi ne speranda quidem.
Ita ut si pater mihi vivus redeat, neutiquam id
Pro miraculo sim habitura, sed creditura *me* videre *protinus*.
Quando igitur *huc* tantam profectus es nobis viam,
Ipse rem administra, ut tibi animus *est*: nam ego sola *cum essem*,
Non utrobique *proposito* excidissem: aut enim honeste
Me liberassem, aut honeste interiissem.

Or. Tacere jubeo: nam exeundi gratia audio
Quempiam intus prodire foras.

El.

ἄγγελμα ἀληθῶς, ἤγουν τὴν ἄφιξιν αὐτοῦ τοῦ ἐμοῦ πατρὸς Ἀγαμέμνονος. *Bar.* 1335. Σιγᾷν] Ἤγουν σιωπᾷν. τοῦ γέροντος τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, καὶ ἀγνοῶν τίς ἐστιν, κελεύει τὴν Ἠλέκτραν σιωπᾷν. ἡ δὲ Ἠλέκτρα ἀλλάξασα τὴν διήγησιν, ἣν ἐδιηγεῖτο σὺν τῷ ἀδελφῷ Ὀρέστῃ, ὑποκρίνεται ὅτι ὡς ξένῳ τινὶ τῷ Ὀρέστῃ διαλέγεται. διὸ καὶ φησὶ πρὸς τὸν Ὀρέστην, Εἴσιτε, ὦ ξένοι. μάλιστα δὲ καὶ φέροντες ἀγγελίαν δηλονότι, ἣν τινα ἀγγελίαν, ἤγουν τὰ ὀστᾶ τοῦ Ὀρέστου, οὐκ ἄν τις ἀπώσαιτο, ἀλλ᾽ οὐδὲ εὐφρανθείη λαβών. *Bar.*

Ηλ. Εἴσιτ᾽, ὦ ξένοι,
Ἄλλως τε καὶ φέροντες οἷ᾽ ἂν οὔτε τις
Δόμων ἀπώσαιτ᾽, οὔτ᾽ ἂν ἡσθείη λαβών.
Παι. Ὦ πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι,
Πότερα παρ᾽ οὐδὲν τοῦ βίου κήδεσθ᾽ ἔτι,
Ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής,
Ὅτ᾽ οὐ παρ᾽ αὐτοῖς, ἀλλ᾽ ἐν αὐτοῖσιν κακοῖς
Τοῖσιν μεγίστοις ὄντες οὐ γινώσκετε;
Ἀλλ᾽ εἰ σταθμοῖσι τοῖσδε μὴ ᾽κύρουν ἐγὼ
Πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
Τὰ δρώμεν᾽ ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
Νῦν δ᾽ εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
Καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
Καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
Εἴσω παρέλθεθ᾽. ὡς τὸ μὲν μέλλειν, κακὸν
Ἐν τοῖς τοιούτοις ἔστ᾽, ἀπηλλάχθαι δ᾽ ἀκμή.
Ορ. Πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
Παι. Καλῶς· ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
Ορ. Ἤγγειλας, ὡς ἔοικεν, με τεθνηκότα.

Παι.

1337. Εἴσιτ᾽, ὦ ξένοι] τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν. διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται. 1338. Καὶ φέροντες οἷ᾽ ἂν οὔτε τις] τοιαύτην ἀγγελίαν δηλονότι φέροντες, ἣν οὐκ ἄν τις ἀπώσαιτο (λαβεῖν τὰ ὀστᾶ) οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν. 1340. Ὦ πλεῖστα μῶροι] ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίγνονται. 1342. Ἐγγενὴς] ἐγγεγεννημένος· ἢ ἄξιος τοῦ γένους. 1347. Πρόσθεν ἢ τὰ σώματα] οἷον, πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν, οἱ ἐχθροὶ ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς. 1352. Ἐν τοῖς τοιούτοις] καιροῖς δηλονότι.

El. Introite, hospites,
Maxime quod ea feratis, quæ neque domo quis
Repellat, neque gaudeat qui suscipit.
P. O stulti admodum, & mente orbati *sana*,
An nihil de vita soliciti estis amplius,
An ratio inest vobis nulla ingenita,
Quod, non *dico* prope ipsa, sed in ipsis malis
Maximis cum sitis, *tamen* nescitis?
At nisi fores hasce servassem ego
Jampridem, fuissent sane vestra in ædibus
Molimina priusquam corpora.
Nunc autem hisce cautionem opposui ego *meam*.
Quare jam omissis *nimium* sermonibus,
Et immodico hoc cum lætitia clamore,
Introite. nam cunctari malum
In rebus hujusmodi est, tempus autem ipsum instat exsequendi.
Or. Ut igitur res se habent istæ ingredienti mihi?
P. Recte: nemo enim te poterit noscere.
Or. Nunciasti, ut decuit, me mortuum.

P.

¶ Σχήμ. Τρικλ. 1340. Ὦ πλεῖστα μῶροι] ἐπιτίμησις τοῦ παιδαγωγοῦ ἐπὶ τῇ βραδυτῆτι Ὀρέστου.

SCHOL. INED. 1343. Ἀλλ' ἐν αὐτοῖσι κακοῖς] Ἀλλ' ἐν αὐτοῖς αὐτῶν τῶν κακῶν τῶν μεγίστων. ἤγουν τῶν κινδύνων τῶν μεγίστων. L. B. 1345. Σταθμοῖσι] Σταθμὸς, ὁ καμπανός. σταθμὸς τὸ μανδρίν. σταθμὸς τὸ παραστατόν· σταθμὸς μέτρον ὁδοῦ. καὶ σταθμὸς, τὸ κοινῶς λεγόμενον ζύγιον. σταθμὰ ἐπὶ ζυγοῦ. σταθμοὶ καὶ οἱ οἶκοι ἔνθα ἑστήκασιν ἵπποι ἢ βόες. ἤγουν οἱ κοινῶς σταῦλοι, οἱ καὶ οὐδετέρως λέγονται τὰ σταθμὰ, σταθμοὶ καὶ αἱ παραστάδες. L. B. 1346. Ἦν ἂν ὑμῖν ἐν δόμοις] Ἤγουν, ἦν ἂν ἐν τοῖς οἴκοις ὑμῖν, τουτέστιν ἐν τοῖς οἴκοις ὑμῶν, πρόσθεν τὰ δρώμενα ὑμῶν ἢ τὰ σώματα· τουτέστιν πρὸ τοῦ ἰδεῖν οἱ ἐχθροὶ τὰ σώματα ὑμῶν, ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς ὑμῶν, ἐὰν μὴ ἐγὼ ὑπῆρχον φυλάσσων ἐκ πολλοῦ ἐν τοῖσδε τοῖς σταθμοῖς. *Bar.*

 1358. Τελχμένα

Παι. Εἰς τὴν ἐν ᾅδου μάνθαν᾽ ἐνθάδ᾽ ὢν ἀνήρ.
Ορ. Χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
Παι. Τελουμένων, εἴποιμ᾽ ἄν· ὡς δὲ νῦν ἔχει,
Καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
Ηλ. Τίς οὗτος ἐστ᾽, ἀδελφέ; πρὸς θεῶν φράσον.
Ορ. Οὐχὶ ξυνίης;
Ηλ. Οὐδέ γ᾽ ἐς θυμὸν φέρω.
Ορ. Οὐκ οἶσθ᾽ ὅτῳ μ᾽ ἔδωκας εἰς χέρας ποτέ;
Ηλ. Ποίῳ; τί φωνεῖς;
Ορ. Οὗ τὸ Φωκέων πέδον
Ὑπεξεπέμφθην σῇ προμηθείᾳ χεροῖν.
Ηλ. Ἦ κεῖνος οὗτος, ὅν ποτ᾽ ἐκ πολλῶν ἐγὼ
Μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
Ορ. Ὅδ᾽ ἐστί. μή μ᾽ ἔλεγχε πλείοσιν λόγοις.
Ηλ. Ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος. πῶς ἦλθες; ἢ σὺ κεῖνος εἶ,
Ὃς τόνδε κἀμ᾽ ἔσωσας ἐκ πολλῶν πόνων;

Ὦ

1358. Τελουμένων εἴποιμ᾽ ἂν] θαυμαστῶς, ὑπὲρ τοῦ μὴ ἐκπλέον διατρίβειν. ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν, τὰ μὲν περιοσεύοντα τοῦ λόγου ἄφες. ὁ δὲ νοῦς, καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν. ἅπερ λεγόμενα πρὸς ἄκραν, ἐστὶ παροξυντικά. 1360. Τίς οὗτος ἐσ᾽, ἀδελφὲ] οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς· ἀλλ᾽ ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν. 1365. Οὗ τὸ Φωκέων πέδον] οὗ χεροῖν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθείᾳ.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1358. Ὡς δὲ νῦν ἔχει] ὁ παρέχουσιν, εἴτε χαίρουσιν, εἴτε λυποῦνται, ἤγουν καθὰ νῦν διάκεινται τὰ ἐκείνων πάντα, καλῶς ἔχει, καὶ τὰ μὴ καλῶς, ἤγουν καὶ ἃ σκευωροῦνται κατ᾽ αὐτῶν, ἔτι

καλῶς

P. Unum ex mortuis scito te esse, licet hic sis.
Or. Gaudentne ergo ob hæc? aut quid dicunt?
P. Rebus confectis, narrabo. Sed ad præsens quod attinet,
Recte illorum omnia se habent, etiam quæ non recte.
El. Quisnam hic est, frater? per Deos, dic mihi.
Or. Nescisne?
El. Ne in mentem quidem venit.
Or. Ignoras cui me in manus tradidisti olim?
El. Cui? quid prædicas?
Or. Cujus manibus in Phocensium agrum
Clam emissus sum tua providentia.
El. An hic ille est, quem ego ex multis
Solum inveni fidum, cum pater interficeretur?
Or. Hic, *inquam*, est. ne me interroges plura.
El. O dulcissima lux, O solus columen domus
Agamemnoniæ, quomodo huc venisti? an tu ille es,
Qui hunc & me servasti è multis malis?

O

καλῶς ἔχει αὐτοῖς, μήπω πέρας εἰληφότα. καὶ ἄλλως, καὶ κατὰ τἄλλα εὐτυχοῦσι, καὶ ὅτι μήπω δίκην δεδώκασιν. εἰ γὰρ καὶ μέλλουσι δοῦναι. τοῦτο γάρ ἐστι τὸ τὰ μὴ καλῶς, ἀλλ' ὅτι μὴ ταχέως τοῦτο γίνεται, εὐτυχοῦσι. τοῦτο δέ φησιν ὁ γέρων παροξύνων αὐτοὺς πρὸς τὸ ἔργον. ¶ Σχόλ. Τρικλ. 1370. Ὦ φίλτατον φῶς] ἔπαινος Ἠλέκτρας πρὸς τὸν παιδαγωγόν.

SCHOL. INED. 1356. Μάνθανε] Ἀντὶ τοῦ γίνωσκε ἐνθάδε ὢν, ἀντὶ τοῦ νομιζόμενος εἶναι ἀνὴρ εἷς ἀπὸ τῶν ἐν ᾅδου. νομιζόμενος εἶναι παρὰ τοῖς ἐνταῦθα ἀνθρώποις. L. B. 1358. Τελουμένων] Ἤγουν, περὶ τελουμένων πραγμάτων εἴποιμι ἄν. θαυμαστῶς εἴρηκε τοῦτο. ἐπὶ τὸ μὴ ἐπὶ πλέον διατρίβειν, ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν. *Bar.* 1365. Οὗ τὸ Φωκέων] Οὗ ταῖς χερσὶν, ἤγουν διὰ τῶν χειρῶν, λάθρα ἐξεπέμφθην εἰς τὴν γῆν τῶν Φωκέων διὰ τῆς σῆς προμηθείας. L. B. 1368. Ἐν πατρὸς φόνῳ] Ἐν τῇ ὥρᾳ ᾗ ἐφονεύσατο ὁ πατήρ μου Ἀγαμέμνων. *Bar.*

1382. Αἰ

Ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
Ποδῶν ὑπηρέτημα· πῶς οὕτω πάλαι
Ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες; ἀλλά με
Λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
Χαῖρ', ὦ πάτερ (πατέρα γὰρ εἰσορᾶν δοκῶ)
Χαῖρ'· ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
Ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
Παι. Ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
Πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ' ἴσαι,
Αἳ ταῦτά σοι δείξουσιν Ἠλέκτρα σαφῆ.
Σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι
Νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη,
Νῦν οὔτις ἀνδρῶν ἔνδον. εἰ δ' ἐφέξετον,
Φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις

Ἄλλοισι,

1382. Αἳ ταῦτά σοι] τὰ κατ' ἐμὲ, φησί. 1384. Νῦν Κλυταιμνήστρα μόνη] ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου. 1385. Ἐφέξετον] μελλήσετε.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1374. Ποδῶν ὑπηρέτημα] διὰ γὰρ τούτων τὸν πρὸς σωτηρίαν ἡμῶν ὑπηρετήσας, πάλαι μὲν ἐκ μέσου θανάτου λαβὼν Ὀρέστην, καὶ ἀγαγὼν ἑτέρωσε· νῦν δὲ μετ' αὐτοῦ ἀφικόμενος εἰς τιμωρίαν τῶν ἐχθρῶν. 1379. Ἤχθηρα] ἐπὶ τοῦ ἤχθηρα κἀφίλησα, λέγεται τὸ μάλιστ' ἀνθρώπων, ἤγουν μάλιστ' ἀνθρώπων ἤχθηρά σε, καὶ μάλιστ' ἀνθρώπων ἐφίλησά σ' ἐν μιᾷ ἡμέρᾳ. 1381. Πολλαὶ κυκλοῦνται] εἰκότως εἶπε τὸ κυκλοῦνται, ἐπεὶ καὶ αἱ ἡμέραι καὶ αἱ νύκτες τῇ εἰς τὸ αὐτὸ περιγραφῇ τοῦ ἡλίου καθίστανται. 1386. Ὡς τούτοις τε καὶ σοφωτέροις] δυσφημεῖ πῶς εἶπε τὰ τύπους. οὐ γάρ τις ἀνδρῶν ἦν ἔνδον (ὡς καὶ αὐτὸς λέγει) ἀλλὰ γυναῖκες. καὶ φαυλίζει ἁπλῶς τοῦτ' εἰπὼν, ἢ ὅτι ἂν μὴ τὸ ἔργον ἐτάχυνεν, ἐλθεῖν ἔμελλεν Αἴγισθος· καὶ οὐ μόνον τοῖς ἔνδον ἐμαχέσαντο ἂν, ἀλλὰ καὶ βοῆς πρὸς τὸ πλῆθος γενομένης, οὐκ ὀλίγοι ἂν ἐκεῖθεν ἀπήντησαν.

SCHOL. INED. 1373. Ἥδιστον δ' ἔχων] Ὁ ἔχων δὲ ἥδιστον ἐμοὶ δηλονότι ὑπηρεσίαν ποδῶν. L. B. Ὅρα ἐνταῦθα ἦθος γυναικεῖον κολακευτικὸν

O chariſſimæ quidem manus, tuque gratiſſimum habens
Pedum miniſterium. Quare jampridem,
Cum adeſſes, me feſelliſti, nec te indicabas, ſed me
Sermone tuo enecabas, facta habens dulciſſima mihi?
Salve, O Pater (patrem enim videre videor)
Salve: ſcias vero, quod te ex hominibus maxime
Et oderim, & amaverim in uno die.

P. Satis eſſe ſentio: quæ enim interim facta reſtant dicenda,
Multæ circumagent noctes dieſque totidem,
Quæ tibi hæc declarabunt, Electra, manifeſto.
Vobis autem edico, qui adſtatis, quod
Nunc tempus agendi; nunc Clytemneſtra ſola,
Nunc nemo mortalium intus: ſi vero differetis,
Cogitate & cum his, & prudentioribus

Aliis,

λακαθλιωδη, ἥμερον, προσηνὲς, γλυκυλόγον. ταυτολογίας καὶ πάσης γλυκύτητος πλῆρες. *Bar.* 1374. Πῶς οὕτω πάλαι] Κατὰ τίνα τρόπον ξυνὼν πάλαι ἤγουν ἐκ μακροῦ, ἔληθες ἐμὲ, ἤγουν ἐλάνθανες οὕτως; L. B. 1379 Ἤχθηρα] Ἤγουν, ἐμίσησε μὲν ἡ Ἠλέκτρα τὸν παιδαγωγὸν, διότι ἐκήρυξε τὸν θάνατον τοῦ Ὀρέστου. ἐφίλησε δὲ ὅτι ἐπιτηδευμένως τοῦτο ἐποίησεν. *Bar.* 1380. Τοὺς ἐν μέσῳ λόγους] Ἴσον ἓν ἑνὶ λέγεται. παρὰ δὲ πολλοῖς οὐκ ἴσα λέγεται, ἀλλ' ἰσάριθμα, εἰ πρὸς τὴν ποσότητα τοῦ ἀριθμοῦ ὁ λόγος τείνει. εἰ δὲ ἕκαστον ἑκάστῳ, ἴσον ἐστὶ κατὰ τὸ μέγεθος, καὶ πρὸς τοῦτο ὁ λόγος ἀφορᾷ, λέγοιτο ἂν, καὶ πολλὰ πολλοῖς ἴσα. τοὺς ἐν μέσῳ λόγους εἰπὼν, ὤφειλεν ἀποδοῦναι, αἳ τούτους σοὶ δείξουσιν· ὁ δὲ, ποιεῖται τὴν σύνταξιν, πραγματικήν. καὶ ἀποδίδωσιν, αἳ ταῦτα σοὶ δείξουσιν. ἤγουν καὶ τοὺς λόγους καὶ εἴ τι τοιοῦτον. σύνηθες δὲ τοῦτο τὸ σχῆμα. τὸ ἀρχαῖον ἄλλως. εἶτα ὥσπερ ἐκ μεταμελείας ἀποδιδόναι τὸν λόγον ἄλλως, ὡς παρὰ Φιλοστράτῳ. Φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ. καὶ τὰ ἐν αὐτοῖς βέλη, γυμνὴ τούτων, ἡ ἀγέλη πᾶσα. L. B.

1388. Ἐς

Ἄλλοισι, τούτων πλείοσιν μαχούμενοι.
Ορ. Οὐκ ἂν μακρῶν ἔθ' ἡμῖν οὐδὲν ἂν λόγων
Πυλάδη τόδ' εἴη τοὔργον· ἀλλ' ὅσον τάχος
Χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
Θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
Ηλ. Ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
Ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
Ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
Νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω,
Αἰτῶ, προπιτνῶ, λίσσομαι· γενοῦ πρόφρων
Ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων·
Καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
Τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

Χο. Ἴδεθ' ὅπου προνέμεται
Τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης·

Βεβᾶσι

1388. Ἔθ' ἡμῖν οὐδὲν ἂν λόγων] τὸ οὐδὲν παρέλκει. 1394. Λιπαρῇ προὔστην χερὶ] ἀντὶ τοῦ λιπαρῶς, συνεχῶς. 1395. Ἐξ οἵων ἔχω] ὡς δυνάμεως ἔχω, λόγοις ἀξιῶν, οὐ θύων. 1398. Τἀπιτίμια] τοὺς μισθούς. 1400. Ἴδεθ' ὅπου προνέμεται] ἀντὶ τοῦ προβιβάζει. τοῦ Ὀρέστου δὲ εἰσελθόντος ὁ χορὸς ταῦτά φησιν. Ἄλλως. εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. τοῦτο δὲ ἤτοι ὁ χορός φησι, καὶ τῆς Ἠλέκτρας συνεισελθούσης αὐτοῖς. καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ τοῦ χοροῦ, ἢ ὅτι ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται. καὶ ἔστι διάλειμμα ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ, ὦ φίλταται γυναῖκες. παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήστραν, δι' ἃς προειπόμεθα αἰτίας· ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου,

οὐδὲν

Aliis, iisque *numero* pluribus, vos certaturos.

Or. Non longis amplius nobis omnino ſermonibus,
Pylade, opus eſt; ſed quam celerrime
Ire intro, paternas adorantes ſedes
Deorum, quicunque hæc tenent veſtibula.

El. O Rex Apollo, propitius illos audi,
Meque *ſimul* cum his, quæ tibi multa ſane
Unde potui, munifica præbui manu.
Nunc autem, O Lycæe Apollo, quæ reſtant ſola,
Peto, adoro, ſupplico: adſis benevolus
Nobis opitulator hiſce in conſiliis:
Et oſtende mortalibus pœnas
Impietatis, quales tribuunt Divi.

ANTISTROPHICA STROPHE.

Cho. Videte quo prior graditur
Illud inexpugnabile, ſpirans ſanguinem Mars:
Subeunt

οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνει ὁ ποιητὴς οὐκ εἰσήγαγεν. 1401. Τὸ δυσέριστον αἷμα φυσῶν] οἷον, ὁ Ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. Δυσέριστον, τὸ δι' ἔριν γενόμενον κακὸν, οὐχ ὡς κατηγοροῦσα φησὶν (ἐναντίον γὰρ τῷ ἤθει τοῦ χοροῦ) ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1394. Προὔστην χερὶ] εἰκότως εἶπε τὸ προὔστην· οἱ γὰρ θύοντες καὶ ἱκετεύοντες ἔμπροσθεν τῶν θεῶν, ἐφ' οἷς τοῦτο ποιοῦσιν, ἵστανται· ἢ τὸ προὔστην, ἀντὶ τοῦ πρόμαχον καὶ προστάτην ἐκάλεσα ἐν θυσίαις. ¶ Σχόλ. Τρικλ. 1392. Ἄναξ Ἄπολλον] εὐχή.

SCHOL. INED. 1394. Ἀφ' ὧν ἔχοιμι] Τουτέστιν, ἐξ ὧν εἶχον δώρων μικρῶν καὶ εὐτελῶν δηλονότι, προὔστην καὶ παρεκάλεσα διὰ φιλοτίμου χειρός. ὁ γὰρ θεὸς οὐκ ἀποδέχεται τόσον δῶρα ἀπὸ χειρὸς πλουσίας, ὅσον ἀποδέχεται ἀπὸ χειρὸς φιλοτίμου. τὸν γὰρ ἕνα κηρὸν τοῦ προσφέροντος μεθ' ἱλαρότητος δέχεται μᾶλλον, ἢ τὰς πολλὰς θυσίας τοῦ μὴ μεθ' ἱλαρότητος προσφέροντος. *Bar.* Προὔστην] Ἀντὶ τοῦ προέστην. τουτέστιν, ἔξαρχος ἐγενόμην καὶ παρεκάλεσα. *Bar.* 1399. Οἷα δωροῦνται θεοὶ] Ἀντὶ τοῦ, οἵας τιμωρίας διδόασιν οἱ θεοί, ἕνεκα τῆς δυσσεβείας· τουτέστιν, ὅπως κολάζουσιν οἱ θεοὶ ἕνεκα τῆς δυσσεβείας. L. B.

Βεβᾶσι δ' ἄρτι δωμάτων ὑπόστεγοι
Μετάδρομοι κακῶν πανουργημάτων,
Ἄφυκτοι κύνες.
Ὥστ' οὐ μακρὰν γ' ἔτ' ἀμμενεῖ
Τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.

ΑΝΤΙΣΤΡΟΦΗ.

Παράγεται γὰρ ἐνέρων
Δολιόπους ἀρωγὸς εἴσω στέγης,
Ἀρχαιόπλουτα πατρὸς εἰς ἑδράσματα,
Νεακόνητον αἷμα χειροῖν ἔχων·
Ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ' ἄγει, δόλον σκότῳ
Κρύψας, πρὸς αὐτὸ τέρμα, κοὐκέτ' ἀμμένει.

ΗΛΕΚΤΡΑ

1404. Ἄφυκτοι κύνες] ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν ἐριννύων. εἰσῆλθον εἰς τὸν οἶκον αἱ ἐριννύες, ἃς οὐκ ἔστι φυγεῖν. 1405. Ὥστ' οὐ μακρὰν] οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμνήστρας φησί (τοῦτο γὰρ βίαιον) ἀλλὰ τοῦτό φησιν, ἃ κατ' ἐμαυτὴν ἀνεφρόντιζον, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται. 1407. Παράγεται γὰρ ἐνέρων δολιόπους] ἡ ἐριννὺς ἀφόβως χωροῦσα. ἢ δαίμων τὶς ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τοῦ Ὀρέστου. παρέρχεται (φησὶν) ἔσω στέγης ὁ Ὀρέστης. Ἐνέρων δ' ἀρωγὸς] ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθὸς, οὗ ἐστιν ὑπηρέτης. 1409. Ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια] ἑδράσματα ἀρχαῖα. παλαιὰ οἰκήματα. 1410. Νεακόνητον αἷμα] τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον. 1411. Ὁ Μαίας δὲ παῖς] ὁ Ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον λόγον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1411. Ὁ Μαίας δὲ παῖς] διὰ τοῦτ' ἐνταῦθα τὸν Ἑρμοῦν λέγει ἄγειν αὐτὸν εἰς τὸ ἔργον, ἢ διότι μετὰ δόλου εἰσήρχετο (λέγεται δὲ καὶ ὁ Ἑρμῆς δόλιος) ἢ διὰ τὰς ἀρὰς τοῦ Μυρτίλου, ἃς ἠράσατο εἰς τὸ τοῦ Πέλοπος γένος. ἦν δ' ὁ Μυρτίλος παῖς Ἑρμοῦ, λέγεται δ' οὕτως,

Subeunt jam tecta domorum,
Insectatores immanium scelerum
Inevitabiles canes.
Quare non saltem jam diu moratur
Meum animi de somnio vaticinium suspensum.

ANTISTROPHE.

Producitur enim mortuorum
Vindex furtivo pede intra tectum,
In antiquas patris sedes,
Recens acutum gladium manibus habens:
Maiæ vero filius
Mercurius illum ducit, fraude tenebris (tur.
Celata, usque ad terminum, nec amplius mora-

ELECTRA,

οὕτως, ὁ υἱὸς τῆς Μαίας Ἑρμῆς ἄγει σφὲ καὶ αὐτὸν δόλῳ, τοῦτ' ἔστι, δολίως πρὸς τὸ ἔργον κινεῖ, κρύψας αὐτὸν ἐν σκότῳ πρὸς τὸ τέρμα. ἤγουν, μέχρις ἂν ἐργάσηται ὃ σπεύδει, οὐδεὶς αὐτὸν ἐπιγνώσεται. τὸ δὲ κοὐκέτ' ἀμμενεῖ, πρὸς τὸ ἄγει τὴν δύναμιν ἔχει. οὕτως, ἄγει, καὶ οὐκ ἔτι ἀναμένει καὶ ἀναβάλλεται. οἱ δὲ γράφοντες ἐπάγει, διὰ τὸ μὴ δύνασθαι τοῦτο νοεῖν, γράφουσι.

SCHOL. INED. 1402. Βεβᾶσι] Βέβημι, σω, κα. ὁ μέσος παρακ. βέβαα, ας, ε, ατον, ατον, άαμεν, βεβάατε, βεβάασι, καὶ κατὰ κρᾶσιν βεβᾶσι. *Bar.* Ἀντὶ τοῦ βεβήκασιν, ἐπορεύθησαν. L. B. Δωμάτων ὑπόστεγοι] Ἀντὶ τοῦ, ὑπὸ τὰς στέγας τῶν δωμάτων· τουτέστιν, ἔσω τῶν δωμάτων, κύνες, οὓς οὐκ ἔστιν ἐκφυγεῖν, τιμωροὶ κακῶν πανουργημάτων. L. B. 1406. Ὄνειρον] Ὥστε οὐκ ἔτι ἐπὶ πολὺ ἀναμένει προσδοκώμενον τὸ ἐμὸν ὄνειρον τῶν φρενῶν· ἀντὶ τοῦ, τὸ ὄνειρον τῶν ἐμῶν φρενῶν ἀναμένει. Τὸ ὄνειρον ἐμοῦ· καὶ λέγει ἐμὸν, ὥσπερ καὶ τὰ ἄρθρα τῶν ποδῶν τῶν σῶν, ἤγουν τὰ ἄρθρα τῶν σῶν ποδῶν, οὕτως καὶ ἐνταῦθα τοὐμὸν, ἤγουν ἐμοῦ. ἤγουν ἡ φαντασία τῶν ἐμῶν φρενῶν, ἣν ἐφαντάζοντο αἱ ἐμαὶ φρένες. L. B. 1411. Ὁ Μαίας δὲ παῖς] Ἤγουν ὁ υἱὸς τῆς Μαίας ὁ Ἑρμῆς, κρύψας σκότῳ καὶ ἀφανείᾳ τῷ ὑπ' αὐτοῦ γινομένῳ δόλῳ, ἄγει σφὲ, ἤγουν αὐτοὺς Ὀρέστην καὶ Πυλάδην, πρὸς αὐτὸ τὸ τέρμα καὶ τὸ τέλος τῶν πραγμάτων, καὶ οὐκέτι ἀναμένει καὶ καρτερεῖ. *Bar.*

ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΑΙΓΙΣΘΟΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Ηλ. Ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
Τελοῦσι τοὔργον· ἀλλὰ σῖγα προσμένε.
Χο. Πῶς δή; τί νῦν πράσσουσιν;
Ηλ. Ἡ μὲν ἐς τάφον
Λέβητα κοσμεῖ, τὼ δ᾽ ἐφέστατον πέλας.
Χο. Σὺ δ᾽ ἐκτὸς ἦξας πρὸς τί;
Ηλ. Φρουρήσουσ᾽ ὅπως
Αἴγισθος αὐτὸς μὴ λάθῃ μολὼν ἔσω.
Κλ. Αἶ, αἶ, αἶ, αἶ. ἰὼ στέγαι
Φίλων ἔρημοι, τῶν δ᾽ ἀπολλύντων πλέαι.
Ηλ. Βοᾷ τις ἔνδον· οὐκ ἀκούετ᾽, ὦ φίλαι;

ΠΕΡΙ-

1414. Ὦ φίλταται γυναῖκες] ἐξερχομένη ταῦτά φησιν. 1417. Ἡ μὲν ἐς τάφον] εἰς τὸ προσφθέγγεται τὸ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι. 1419. Σὺ δ᾽ ἐκτὸς ἦξας πρὸς τί] ἐκ τούτων δῆλον ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα. 1422. Αἶ, αἶ. ἰὼ στέγαι] ὁ λόγος ἀποτείνεται εἰς Αἴγισθον. ἔθος δὲ ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι. νῦν δὲ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, οὐκ ἐποίησε τοῦτο. προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας, ὁ θεατὴς ἀκούει, καὶ ἐναργέστερον τὸ πρᾶγμα γίνεται ἢ δι᾽ ἀγγέλου σημαινόμενον. καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη, τὸ

δὲ

ELECTRA, ORESTES, ÆGISTHUS, CLYTEMNESTRA, CHORUS.

Iambi.

El. O Chariſſimæ mulieres, mox viri
Opus exequuntur: tu vero tacita mane.
Cho. Quomodo? quidve nunc agunt?
El. *Et* illa quidem in funus
Lebetem adornat, illi autem adſtant prope.
Cho. At tu quid exiſti foras?
El. Obſervatura ne
Ægiſthus ipſe clam nos opprimat ingreſſus.
Cl. Heu, Heu, tecta
Amicis deſerta, plenaque percuſſoribus.
El. Clamat intus aliquis: nonne audiſtis, amicæ?

PERI-

δὲ ἐναργὲς οὐδὲν ἧσσον, καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο. 1424. Βοᾷ τις ἔνδον] οἰκεῖον τὰ διανόημα γυναικῶν. τὸ δὲ ἀνήκουσα, οὐχ ὡς καταγινώσκουσαι τοῦ Ὀρέστου φασὶν, ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1421. Αἴγισθος αὐτὸς] οὕτως ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι, ἵν᾽ ᾖ ἴαμβος τρίμετρος ἀκατάληκτος. ἐλλιπὴς γὰρ ἦν. διὸ καὶ τὸ αὐτὸς προσετέθη παρ᾽ ἐμοῦ· καὶ οἶμαι ὡς καλῶς προσετέθη, ὡς καὶ ἐν ἄλλοις πολλοῖς ἕτερα.

SCHOL. INED. 1417. Τάφον] Ἰστέον ὅτι τάφος δηλοῖ δύο, τὸν τόπον μὲν τοῦ μνήματος, ἐν ᾧ ὁ νεκρὸς κατατίθεται, καὶ ὁ δεῖπνος ὁ ἐπὶ νεκρῷ διὰ παρηγορίαν γινόμενος. ἐνταῦθα δὲ τὸ ὕστερον μὲν δηλοῖ· ἤγουν κοσμεῖ λέβητα εἰς τάφον, τουτέστιν, κοσμεῖ δεῖπνον εἰς παρηγορίαν. τὸ δὲ σχῆμα συνεκδοχὴ, ἀπὸ τοῦ λέβητος, ἐν ᾧ ἀναβράζουσι τὰ κρέα, δηλοῖ τὸ δεῖπνον. *Bar.* 1422. Αἲ, αἲ] Ἰστέον ὅτι ἔθος ἔχουσιν οἱ ποιηταὶ τὰ γινόμενα ἔνδον τοῦ οἴκου διὰ ἀγγέλων ἀπαγγέλλειν τοῖς οὖσιν ἔξω, νῦν δὲ οὐχ οὕτως ὁ Σοφοκλῆς

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ α′.

Χο. Ἤκυσ᾽ ἀνήκυςα
Δύςανος, ὥςε φρίξαι.

ΣΥΣΤΗΜΑ α′.

Κλ. Οἴμοι τάλαιν᾽. Αἴγισθε, πῦ ποτ᾽ ὢν κυρεῖς;
Ηλ. Ἰδὺ μάλ᾽ αὖ θροεῖ τις.
Κλ. Ὦ τέκνον, τέκνον,
Οἴκτειρε τὴν τεκῦσαν.
Ηλ. Ἀλλ᾽ ὐκ ἐκ σέθεν
Ὠκτείρεθ᾽ ὗτος, ὗθ᾽ ὁ γεννήσας πατήρ.

ΣΤΡΟΦΗ β′.

Χο. Ὦ πόλις, ὦ γενεὰ
Τάλαινα· νυῦ σε
Μοῖρα καθημερία
Φθίνει, φθίνει.

ΣΥΣΤΗΜΑ β′.

Κλ. Ὤ μοι, πέπληγμαι.
Ηλ. Παῖσον, εἰ σθένεις, διπλῆν.
Κλ. Ὤ μοι μάλ᾽ αὖθις.

Ηλ.

ὁ Σοφοκλῆς ἐποίησεν, ἀλλ᾽ ἑτέρως. τῆς γὰρ Κλυταιμνήστρας βοώσης ἐν τῇ ἀναιρέσει αὐτῆς, ἡ Ἠλέκτρα ἔξω τοῖς ἀκύυσιν ἐξηγεῖται, ὅθεν καὶ ἐναργέστερον τὸ πρᾶγμα γίνεται, ἢ διὰ ἀγγέλυ σημαινόμενον. *Bar.*

1433. Ὦ

PERICOMMATA. STROPHE I.

Cho. Non audienda infelix *ego*
Audivi, adeo ut horreant comæ.

SYSTEMA I.

Cl. Hei mihi miseræ! Ægisthe, ubi tandem es?
El. Ecce iterum exclamat quispiam.
Cl. O nate, nate,
Miserere matris.
El. At neque hic à te
Misericordiam nactus est *olim*, neque, qui genuit, pater.

STROPHE 2.

Cho. O civitas, O genus
Miserum! nunc te
Fatum hodiernum
Penitus opprimit.

SYSTEMA 2.

Cl. Hei mihi, percussa sum.
El. Inflige geminam, si potes, plagam.
Cl. Hei mihi jam iterum.

El.

1433. Ὦ πόλις, ὦ γενεὰ] ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένους.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1425. Ἤκουσ' ἀνήκουστα] ἤγουν ἃ οὐ δύναταί τις ἀκοῦσαι. πᾶσι γὰρ αἱ τῶν φονευομένων βοαὶ, κἂν ἐχθροὶ ὦσι, δέος καὶ ὑποστολὴν ἀνθρώποις φέρουσι.

1441. Τιλῶσιν

Ηλ. Εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.

ΣΤΡΟΦΗ γ'.

Χο. Τελοῦσ' ἀραί· ζῶσιν οἱ
Γᾶς ὑποκείμενοι.
Πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
Κτανόντων οἱ πάλαι θανόντες.

ΣΥΣΤΗΜΑ γ'.

Ηλ. Καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
Στάζει θυηλῆς Ἄρεος· οὐδ' ἔχω λέγειν,
Ὀρέστα, πῶς κυρεῖ γε.
Ορ. Τἀν δόμοισι μὲν
Καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε,
Τέθνηκεν ἡ τάλαινα· μηκέτ' ἐκφοβοῦ
Μητρῷον ὥς σε λῆμ' ἀτιμάσῃ ποτέ.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Χο. Παύσασθε· λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλου.

ΑΝΤΙΣΥΣΤΗΜΑ α'.

Ηλ. Ὦ παῖδες, οὐκ ἄψορρον; εἰσορᾶτέ που

Τὸν

1441. Τελοῦσιν ἀραὶ] ἀντὶ τοῦ ἐπεξέρχονται αὐτούς. 1443. Ὑπεξαιροῦσιν] ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες. 1449. Ἀπόλλων εἰ καλῶς ἐθέσπισε] οἷον, οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβουλευόμενος ἔπραξα, ἀλλὰ πειθόμενος τῷ θεῷ. 1452. Λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου] οἷον ὑποστρέψαντα. μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήστρας.

ΣΧΟΛ.

El. Utinam & Ægistho simul.

STROPHE 3.

Cho. Ratæ sunt imprecationes: vivunt *denuo* qui
Sub terra erant conditi.
Nam mortui quondam affatim
Sanguinem ab homicidis auferunt.

SYSTEMA 3.

El. Sed adsunt illi quidem; cruenta autem *illorum* manus
Stillat à victima Martis; nec possum dicere,
Oresta, ut res se habeat.

Or. In ædibus quidem bene,
Apollo si recte vaticinatus est.
Occubuit infelix illa; nec est quod amplius metuas,
Ne fastus te maternus unquam habeat contemptui.

ANTISTROPHE 1.

Cho. Quiescite: video enim
Ægisthum clare.

ANTISYSTEMA 1.

El. O juvenes! non hinc retro *itis?* cernite modo Virum

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1441. Τελοῦσ' ἀραὶ] ἤγουν Ἀγαμέμνων ἐκπνέων ἠράσατο, ὥστε τούτων συνεργούντων, δοκεῖ ζῆν ὁ ταύτας ποιήσας. 1446. Στάζει θυηλῆς Ἄρεος] ἤγουν θυσίας, ἤτοι αἵματος, ὃ θυσία δέχεται Ἄρης. φιλαίμακτος γὰρ καλεῖται.

SCHOL. INED. 1440. Εἰ γὰρ] Ἐν χρήσει ἐστὶ τὸ εἰ ἀντὶ τοῦ εἴθε καὶ ἐν πεζῷ λόγῳ. L. B. 1446. Στάζει] Στάζει αἵματος Ἀττικῶς, ὡς ἐπὶ τοῦ ὕδατος. σταλάζει σταλαγμοὺς φονικοῦ αἵματος· ἤγουν ὃ εἰργάσατο φόνος. μηχανῶσα ὑπὸ τῆς χαρᾶς τοῦτο λέγει. εἶτα ἐπιστρεφομένη πρὸς τὸν Ὀρέστην, λέγει, Ὀρέστα, πῶς κυρεῖ. πρὸς δὲ ἀπαντᾷ ὁ Ὀρέστης, τἀν δόμοισι μὲν, καὶ τὰ ἑξῆς. L. B. 1451. Λῆμα] Τὸ φρόνημα τὸ μητρῷον ἀσελ-φρασιμᾶς. ἀντὶ τοῦ, ἡ μήτηρ ἀτιμάσει σε ποτέ. L. B.

Τὸν ἄνδρ᾽ ἐφ᾽ ὑμῖν· οὗτος ἐκ περαίων
Χωρεῖ γεγηθώς.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Χο. Βᾶτε κατ᾽ ἀντιθύρων
Ὅσον τάχιστα.
Νῦν τὰ πρὶν εὖ θέμενοι,
Τάδ᾽ ὡς πάλιν.

ΑΝΤΙΣΥΣΤΗΜΑ β'.

Ορ. Θάρσει· τελοῦμεν ᾗ νοεῖς.
Ηλ. Ἔπειγέ νυν.
Ορ. Καὶ δὴ βέβηκα.
Ηλ. Τἀνθάδ᾽ ἂν μέλοι γ᾽ ἐμοί.

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Χο. Δι᾽ ὠτὸς ἂν παῦρά γ᾽ ὡς
Ἤπιον ἐννέπειν,
Πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
Ὀρούσῃ πρὸς δίκας ἀγῶνα.

1459. Νῦν τὰ πρὶν εὖ θέμενοι] τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ Αἴγισθον. 1465. Δι᾽ ὠτὸς ἂν παῦρά γ᾽] μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ᾽ ἐλαφρῶς, ἐν τῷ λαλεῖν, δεῖ, μηδὲ μηκύνειν τὸν λόγον. Ὡς ἠπίως ἐννέπειν] γράφεται νηπίᾳ. ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτοντας εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον. 1467. Πρὸς ἄνδρα τόνδε συμφέροι] καθ᾽ ὑπερβατὸν, συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι᾽ ὠτὸς

αὐτοῦ

Virum vobis occurrere: iste ex suburbio
Venit lætus.

ANTISTROPHE 2.

Cho. Ite post januam
Ocyssime.
Nunc, ut priora recte curastis,
Hæc iterum bene conficite.

ANTISYSTEMA 2.

Or. Confide: effecta dabimus, ut cupis.
El. Age propera.
Or. At jam ivi.
El. Quæ hic agenda sunt, erunt mihi curæ.

ANTISTROPHE 3.

Cho. In aures pauca saltem enim
Blande dicere
Huic viro expediat, ut imprudens ruat
In occultum ultionis certamen.

ANTI-

αὐτοῦ ἐνέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον. λείπει δὲ τῷ λόγῳ, διαλεγόμενον τὸ νηπίῳ. ἢ. πρὸς αἰτιατικὴν μετακλέον, πρὸς τὸν ἄνδρα συμφέρει τοῦτον, ὡς πρὸς νήπιον, ἐνέπειν ὀλίγα διὰ τοῦ ὠτός· ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρα κατ᾽ αὐτοῦ γιγνόμενον.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1459. Τὰ πρὶν εὖ θέμενοι] εἰκότως πρὸς μὲν τὸ πρίν, τὸ εὖ θέμενοι εἶπε, πρὸς δὲ τὸ τάδε, ὡς πάλιν, ἀπεσιώπησεν. ἐκεῖ μὲν γὰρ ἤδη τὸ συμβάν, ἐνταῦθα δὲ ἄδηλον ἦν τὸ μέλλον, εἴθ᾽ Αἴγισθος, εἴθ᾽ οὗτοι ὑπερισχύσουσι καὶ καταβαλοῦσιν ἐκεῖνον. 1466. Ἤπιον ἐνέπειν] ἤπιον χρὴ γράφειν ἐνταῦθα ἀντὶ τοῦ ἠπίως καὶ πράως, ἵν᾽ ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς στροφῆς.

ΑΝΤΙΣΥΣΤΗΜΑ γʹ.

Αι. Τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκεῖς ξένοι,
Οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
Λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
Σέ τοι, σὲ κρίνω, καὶ σὲ τὴν ἐν τῷ πάρος
Χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
Οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.

ΙΑΜΒΟΙ.

Ηλ. Ἔξοιδα· πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
Ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
Αι. Ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
Ηλ. Ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
Αι. Ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
Ηλ. Οὐκ (ἀλλὰ κἀπέδειξαν) οὐ λόγῳ μόνον.
Αι. Πάρεστ' ἄρ' ἡμῖν, ὥστε κἀμφανῆ μαθεῖν;
Ηλ. Πάρεστι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
Αι. Ἦ πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότως.

Ηλ.

1477. Δίδασκέ μοι] γράφεται μήνυέ μοι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1472. Σέ τοι, σὲ κρίνω] ἤγουν διακρίνω εἰδέναι, κοινωθὲν τοῦτο ἀπὸ τοῦ ὁπόθεν τοῦ τίς οἶδεν. 1478. Προξένου κατήνυσαν] ἤτοι ἐπέτυχον. ὁ γὰρ ἀνύσαν τι, ἐπιτυγχάνει τούτου αὐτῷ τὸ ἀνύσαι. ἔστιν οὖν ἡ τοιαύτη γενικὴ πρὸς τὸ τοῦ ἀνύσαι σημαινόμενον. ἢ κατ' ἐκείνης ἤνυσαν, ὃ ἐβούλοντο, ἵνα τῷ μὲν Αἰγίσθῳ νοῆται, ὅτι ἐπάνω ἐκείνης, ἤγουν εἰς αὐτὴν, τὴν τοῦ Ὀρέστου ἀγγελίαν ἐπλήρωσαν· τὸ δ' ἀληθὲς, ὅτι κατ' ἐκείνης τὸν φόνον εἰργάσαντο. 1480. Οὐκ· ἀλλὰ κἀπέδειξαν] τὸ οὐκ πρὸς τὸν μόνον συναπτέον· τὸ δὲ ἀλλὰ κἀπέδειξαν, διὰ μέσου. ἔστι δὲ τὸ οὐκ καὶ τὸ οὐ ἐκ παραλλήλου. 1483. Ἦ πολλὰ] τοῦτο πρὸς τὸ χαίρειν συναπτέον, καὶ

ANTISYSTEMA 3.

Æ. Quis vestrum novit, ubinam illi Phocenses *sint* hospites,
Quos dicunt nobis nunciasse, Orestem vita
Decessisse equestri naufragio?
Te inquam, te sciscitor, & te superiori
Tempore ferocem; nam id tibi maxime curæ esse
Opinor, teque ut gnaram maxime posse dicere.

IAMBI.

El. Pernovi: quî enim nescirem? casus enim alioqui
Ignara forem è meis charissimi.
Æ. Ubinam ergo sint hospites? doce me.
El. Intus *nimirum*: amica enim potiti sunt hospita.
Æ. Verissime ergo nunciarunt mortuum?
El. Non: sed & demonstrarunt, non verbis modo.
Æ. Adest ergo nobis, ita ut clare sciamus.
El. Adest sane, & spectaculum prorsus inamabile.
Æ. Ingens certe gaudium mihi narrasti, præter solitum.

El.

ῳ πρὸς τὸ εἶπας, ἔτω, ὄντως εἶπας χαίρειν ἐμὲ πολλά. τῦτ' ἔστιν, ἐξ ὧν εἶπας, πολλῆς ἐπεπλήσμην χαρᾶς. τὸ δὲ, οὐκ εἰωθότως, πρὸς τὸ εἶπας. ἀντὶ τῦ, οὐκ ἦν σοι ἔθος λόγους ἐμοὶ προφέρειν. ἢ τὸ πολλὰ πρὸς τὸ εἶπας, ἵν' ᾖ τὸ χαίρειν διὰ μέσου. ¶ Σχῆμα. Τρικλ. 1469. Τίς οἶδεν] ἄφιξις Αἰγίσθου εἰς τοὺς οἴκους αὐτοῦ.

SCHOL. INED. 1473. Ὡς μάλιστα] Καθὰ μάλιστά σοι οἶμαι διὰ φροντίδος εἶναι, εἰδέναι περὶ ἐκείνων δηλονότι περὶ αὐτῶν· μάλιστα δὲ γινώσκουσαν φράσαι ἄν. L. B. 1478. Κατήνυσαν] Ἤνυσα τὴν ὁδὸν ἁπλῶς ἀντὶ τοῦ ἐπλήρωσα, ἀπὸ τοῦ ἀνύω τὸ τελῶ· κατήνυσα δὲ ἰδίως ἀντὶ τοῦ εἰς λιμένα κατῆρα. *Bar.*

1484. Χαίροις

Ηλ. Χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.

Αι. Σιγᾷν ἄνωγα, κἀναδεικνύναι πύλας
Πᾶσιν Μυκηναίοισιν, Ἀργείοις θ' ὁρᾷν·
Ὡς, εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
Ἐξῄρετ', ἀνδρὸς τοῦδε νῦν ὁρῶν νεκρὸν,
Στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν
Ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.

Ηλ. Καὶ δὴ τελεῖται τὰ παρ' ἐμοῦ. τῷ γὰρ χρόνῳ
Νοῦν ἔσχον ὥστε συμφέρειν τοῖς κρείττοσιν.

Αι. Ὦ Ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν οὐ
Πεπτωκός· εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω.
Χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
Τὸ συγγενές γε κἀπ' ἐμοῦ θρήνων τύχῃ.

Ορ. Αὐτὸς σὺ βάσταζ'· οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν,
Τὸ ταῦθ' ὁρᾷν τε, καὶ προσηγορεῖν φίλως.

Αι. Ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δὲ,
Εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.

Ορ. Αὕτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.

Αι. Οἴμοι· τί λεύσσω;

Ορ.

1484 Χαίροις ἄν, εἴ σοι χαρτὰ] ἐπισαρκάζουσα λέγει τάδε. 1485. Σιγᾷν ἄνωγα] κελεύει ὁ Αἴγισθος ἐμφανῶς δεικνύναι τὸ σῶμα τοῦ Ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμνήστρας. 1489. Μηδὲ πρὸς βίαν] ἐὰν μὴ πείθηται, πρὸς βίαν, κολάσεως τυχὼν, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι. 1493. Ἄνευ φθόνου μὲν] οἷον, ἐφθονήθη καὶ ἔπεσεν ὁ Ὀρέστης. 1494. Εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω] εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1484. Χαρτὰ τυγχάνει] τὸ μὲν φαινόμενον, τὰ κατὰ τὸν Ὀρέστην· τὸ δὲ ἀληθὲς, τὰ κατὰ τὴν Κλυταιμνήστραν. 1486. Μυκηναίοισιν,

El. Gaudeas porro licet, si tibi hæc gaudium afferant.
Æ. Ut quisque taceat jubeo, & pandat fores
Omnibus Mycenæis Argivisque, ut videant:
Ut siquis eorum spe inani olim
Elatus fuit, viri istius nunc intuens cadaver
Mea accipiat fræna, neque violentum
Me vindicem nactus, inflet animos.
El. Jam quidem hoc à me fit: tandem enim
Didici me accommodare potentioribus.
Æ. O Jupiter, video spectaculum, quod absque invidia quidem
Non cecidit. sin adest Nemesis, indictum volo.
Laxate omnia ob oculis opercula, ut
Cognatus & saltem à me lamenta consequatur.
Or. Tu ipse tolle: non meum hoc, sed tuum
Hæc & intueri, & alloqui amice.
Æ. Recte quidem mones, & in hoc *tibi* parebo; tu vero mihi,
Sicubi domi est Clytemnestra, voca.
Or. Ea prope te est: ne jam aliorsum specta.
Æ. Hei mihi! quid video?

Or.

κηναίοισιν, Ἀργείοις θ᾽] Μυκῆναι πόλις Ἄργους. λέγει οὖν οὐ μόνον τοὺς ἐν ταύταις συγκαλεῖν, ἀλλὰ καὶ τοὺς ἐκ παντὸς Ἄργους. ¶ Σχήμ. Τρικλ. 1502. Οἴμοι] κατάρχεσις Αἰγίσθου καὶ φόνος.

SCHOL. INED. 1485. Σιγᾶν ἄνωγα] Ἤγουν, κελεύω ἀνακαλύπτειν τὰς τοῦ τάφου πύλας πάντων ἕνεκα τῶν Μυκηναίων καὶ τῶν Ἀργείων, ὥστε ὁρᾶν τὸ λείψανον τοῦ Ὀρέστου. ἵνα εἴ τις αὐτῶν ὑπερηφανεύετο πρότερον κεναῖς ἐλπίσι, νῦν ὁρῶν τὸν νεκρὸν τοῦδε τοῦ ἀνδρὸς τοῦ Ὀρέστου, δέχηται τὰ ἐμὰ στόμια. ἤγουν, τὴν ἐμὴν ἐξουσίαν. καὶ ἵνα μὴ τυχὼν ἐμοῦ τοιούτου δηλονότι κολαστοῦ ὁμοῦ, γεννήσῃ βιαίως φρένας. *Bar.* 1491. Τὰ ᾽π᾽ ἐμοῦ] Τὸ ἀπὸ τῆς ἐμῆς γνώμης· τὸ ὀφειλόμενον ἀπ᾽ ἐμοῦ. L. B.

1507. Τοῖς

Ορ. Τίνα φοβῇ; τίν' ἀγνοεῖς;

Αι. Τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
Πέπτωχ' ὁ τλήμων;

Ορ. Οὐ γὰρ αἰσθάνῃ πάλαι
Ζῶν τοῖς θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;

Αι. Οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
Ὅδ' οὐκ Ὀρέστης ἔσθ', ὁ προσφωνῶν ἐμέ.

Ορ. Καὶ μάντις ὢν ἄριστος, ἐσφάλλου πάλαι.

Αι. Ὄλωλα δὴ δείλαιος· ἀλλά μοι πάρες
Κἂν σμικρὸν εἰπεῖν.

Ηλ. Μὴ πέρα λέγειν ἔα
Πρὸς θεῶν, ἀδελφέ, μηδὲ μηκύνειν λόγους.
" Τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένον
" Θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
Ἀλλ' ὡς τάχιστα κτεῖνε, καὶ κτανὼν πρόθες
Ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
Ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν

Μόνον

1507. Τοῖς ζῶσι] τῷ Ὀρέστῃ. 1513. Μὴ πέρα λέγειν ἔα] σπουδαστέον γὰρ καὶ ἀπίθανος διατριβὴ, πρὸς τῷ τέλει ἐκτείνειν λόγους. 1517. Πρόθες ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν] ἤγουν οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν. 1519. Ὡς ἐμοὶ τόδ' ἂν] τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1506. Οὐ γὰρ αἰσθάνῃ] αὐτὴ ἡ κατασκευὴ ὅτι πρὸς τὸν λόγον τὸν ὄπισθεν, Τίνα φοβῇ; τίν' ἀγνοεῖς; ὥς τινές φασιν· ἐγὼ δὲ πρὸς τὸν Αἰγίσθου λόγον αὐτὴν εἶναι λέγω, καὶ ἀληθῆ λέγω. τὸ δὲ πάλαι πρὸς τὸ ἀνταυδᾷς συναπτέον. 1510. Καὶ μάντις ὢν ἄριστος] τινές φασιν, ὅτι διὰ τὸ εἶναι τὸν Αἴγισθον μάντιν, διὰ τοῦτο τὸν Ὀρέστην τοῦτο πρὸς αὐτὸν λέγειν. ἕτεροι δὲ τοῦτο μὲν οὐ λέγουσιν, εἰπεῖν δὲ τοῦτο διὰ τὸ πάλαι τὸν Αἴγισθον τὸν καθ' αὐτοῦ ὑποπτεύειν θάνατον. ἐγὼ δὲ καὶ τοῖς πρώτοις τίθεμαι, συμμαρτυροῦν ἔχων τὸ πάλαι, ὃ πρὸς τὸ ἂν συνάπτεται. 1515. Τί γὰρ

Or. Quem times? quem non agnoſcis?
Æ. Quorumnam hominum in medios caſſes
Miſer incidi?
Or. Nonne ſentis dudum
Te vivum cum mortuis mutuo uti colloquio?
Æ. Hei mihi! novi quod dicis: neque enim fieri poteſt, ut
Hic non ſit Oreſtes, qui me alloquitur.
Or. At cum augur eſſes optimus, jamdudum aberraſti.
Æ. Perii jam miſer: ſed mihi permitte
Pauca tamen fari.
El. Ne ulterius loqui ſine
Per Deos, frater, neque producere ſermones.
" Quid enim mortalis malis immiſtus
" Jamque moriturus brevi mora lucri ferat?
Quin quam celerrime interfice, & interfectum propone
Pollinctoribus, quos dignus eſt conſequi,
Amotum à noſtris oculis: nam mihi hoc malorum
Solum

γὰρ βροτῶν ἂν] ὁ μέλλων γὰρ τῶν βροτῶν θνήσκειν, ὥσπερ οὗτος, τὸ κέρδος φέρει τοῦ χρόνου μεμιγμένον σὺν τοῖς κακοῖς. τοῦτ' ἔστιν, ὅστις μέλλει θνήξεσθαι, εἰ νῦν δέον θνήσκειν, ὁ δὲ παραπετάσει τὸν χρόνον, καὶ μετ' ὀλίγον τοῦτο πείσεται, οὐδὲν παρὰ τοῦ χρόνου ἐκέρδανεν. ἀλλ' ὃ κέρδος δοκεῖ ἔχειν, ἡ μέλλουσ' αὐτὸν καταλήψεσθαι τύχη ἀμβλύνει καὶ ἀμαυροῖ, ἐλπίδα κακὴν ὑποτείνουσα. μὴ λάβῃς δὲ εἰς τὸ χρόνος ἔξωθεν τὸ ἕνεκα, ἀλλὰ χωρὶς τούτου λέγε. τὸ γὰρ κέρδος τοῦ χρόνου ἦν, διὰ τὸ τοῦτον αἴτιον αὐτοῦ εἶναι. ¶ Σχήμ. Τρικλ. 1514. Πρὸς θεῶν] συνίζησις. 1515. Τί γὰρ βροτῶν] γνωμικόν.

SCHOL. INED. 1504. Ἐν μέσοις ἀρκυστάτοις] Ἀντὶ τοῦ, ἐν μέσῳ ἀρκύων. L. B. 1506. Οὐ γὰρ] Οὐ γὰρ αἰσθάνῃ, ἕνεκα καὶ διότι σὺ ζωὸς ὢν, ἀνταυδᾷς ὅμοια πάλαι τοῖς θανοῦσιν. τουτέστιν, οὐκ ἐγίνωσκες τοῦτο, ὅτι ζῶν ὑπῆρχες μετὰ τῶν θανόντων πάλαι. *Bar.* 1519. Τόδ' ἂν] Ἤγουν, τὸ φονευθῆναι αὐτὸν καὶ ῥιφῆναι, κακῶν τῶν πάλαι, ἤγουν τῶν ἐκ μακροῦ δυστυχιῶν γένοιτο λυτήριον. L. B.

Μῖσον γένοιτο τῶν πάλαι λυτήριον.

Ορ. Χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ οὐ
Νῦν ἐστὶν ἀγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.

Αι. Τί δ' ἐς δόμους ἄγεις με; πῶς τόδ' εἰ καλὸν
Τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;

Ορ. Μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
Πατέρα τὸν ἐμὸν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.

Αι. Ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
Τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά.

Ορ. Τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.

Αι. Ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.

Ορ. Πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
Ἀλλ' ἕρφ'.

Αι. Ὑφηγοῦ.

Ορ. Σοὶ βαδιστέον πάρος.

Αι. Ἦ μὴ φύγω σε;

Ορ. Μὴ μὲν οὖν καθ' ἡδονὴν
Θάνῃς, φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
" Χρὴν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,

" Ὅστις

1525. Μὴ τάσσε] μὴ ἐπίτασσε. Χώρει δ' ἔνθαπερ κατέκτανες] πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1521. Χωροῖς ἂν εἴσω] εἰώθασιν οἱ Ἀττικοὶ καθ' ὅτι τὰ προστακτικὰ εὐκτικῶς φέρειν. 1528. Καὶ μέλλοντα Πελοπιδῶν κακὰ] τοῦτο λέγει ὥσπερ προμαντευόμενος, ἵν' ἀπολυθῇ, ἐκφοβῶν αὐτοὺς διὰ τούτου. ¶ Σχόλ. Τρικλ. 1538. Χρὴν δ' εὐθὺς] γνωμικόν. ἐνταῦθα δὲ καὶ ἐπίλογος.

SCHOL.

Solum fuerit remedium veterum.
Or. I intro propere: de sermonibus enim non
Nunc est certamen, sed de vita tua.
Æ. Quid autem in ædes me ducis? hoc si pulchrum
Sit opus, quæso quid tenebris opus, & cur non
paratus es hic necare?
Or. Præcipere noli. sed vade ad eum locum, ubi
interfecisti
Patrem meum, ut in eodem moriaris.
Æ. Certe omnino necesse est hancce domum aspicere,
Præsentiaque & futura Pelopidarum mala.
Or. Tua certe. Ego vates tibi sum hac in re verissimus.
Æ. Atqui non hoc ex arte paterna jactas.
Or. Multum obstrepis, interim iter tardatur.
Sed vade.
Æ. At præi.
Or. Tibi eundum est prius.
Æ. Ne te fugiam, times?
Or. Ne ergo suaviter
Moriaris, servare me convenit hanc tibi acerbitatem.
" Deceret autem omnes illico has pœnas dare,
" Quicunque

SCHOL. INED. 1523. Τί δ' ἐς δόμους] Ἤγουν τί δὲ καὶ κατὰ τίνα τρόπον ἄγεις ἐμὲ εἰς τοὺς οἴκους; εἰ καλὸν τόδε τὸ ἔργον ἐστίν, ἤγουν φονευθῆναί με, τί ἔχει χρείαν σκότους, καὶ οὐχ ἕτοιμος ὑπάρχεις κτανεῖν με; *Bar.* 1531. Βραδύνεται] Βραδύνω, ἀμεταβάτως ἀντὶ τοῦ βραδὺς γίνομαι. ἐνταῦθα δὲ βραδύνεται, ἀντὶ τοῦ βραδυτῆτα λαμβάνει ὑφ' ὑμῶν ὡς ἀπὸ μεταβατικοῦ τοῦ βραδύνω. L. B. 1533. Ὑφηγοῦ] Ἀντὶ τοῦ προηγοῦ. τὸ ὑφηγεῖσθαι γὰρ ἐπὶ παραινέσεως λέγεται. ἐφ' οὗ καὶ τὸ ὑποτίθεσθαι. τὸ καὶ προηγεῖσθαι ἐπὶ ὁδοῦ, ὃ βούλεται δηλοῦν ἐνταῦθα ὁ λόγος. L. B. 1536. Μὴ μὲν οὖν] Ἤγουν, μᾶλλον μὲν οὖν, ἵνα μὴ θάνῃ, καθ' ἡδονήν. μᾶλλον μὲν οὖν κατὰ τοῦτο τὸ μέρος τῆς ἡδονῆς. L. B. 1538. Χρῆν] Χρεία ἦν,

" Ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
" Κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
Δι' ἐλευθερίας μόλις ἐξῆλθες,
Τῇ νῦν ὁρμῇ τελεωθέν.

ἤγουν χρήσιμα ἦν. τουτέστι, χρήσιμον καὶ πρέπον ἦν εἶναι εὐθὺς τοῖς πᾶσι τήνδε τὴν δίκην. λέγω τὸ κτείνειν ἐκεῖνον, ὅστις θέλει πράττειν πέρα ἀντὶ τοῦ περαιτέρω τῶν νόμων. L. B. Χρῆν] Ἔπρεπε δὲ εὐθὺς εἶναι ταύτην τὴν δίκην πᾶσι τοῖς ἀδίκοις. ἤγουν τὸ κτείνειν καὶ φονεύειν τὸν ἄνθρωπον ἐκεῖνον, ὅστις θέλει πράσσειν ἔξω τῶν νόμων· ὅτι εἰ οὕτως γένοιτο, τὸ πανοῦργον καὶ κακότροπον γένος, οὐκ ἂν ἦν πολύ. Ἐνταῦθα φονεύει καὶ τὸν Αἴγισθον ὁ Ὀρέστης, διὸ καί φησι, Χρῆν &c. *Bar.*

1541. Ὡς πολλὰ παθὸν] ἀντὶ τοῦ, μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.

ΣΧΟΛ. ΤΡΙΚΛΙΝ. 1543. Τῇ νῦν ὁρμῇ] ἤγουν τῇ ὑπὲρ πατρὸς ὁρμήσας νῦν κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου. τελειωθὲν δὲ ἀντὶ τοῦ

" Quicunque contra leges quidvis agere ſtudet,
" Ut necaretur. Sic ſcelera minus crebra forent.

ANAPÆSTI.

Cho. O genus Atrei, quam multa poſt mala
In libertatem vix evaſiſti
Præſenti molimine conſummatam.

τοῦ ἀποκαταστῆσαι εἰς τὴν ἐκ προγόνων σοὶ προσήκουσαν εὐδαιμονίαν.

SCHOL. INED. 1540. Τὸ πανοῦργον] Ἀντὶ τοῦ, ἡ πανουργία. πολλάκις τοῦτο γίνεται, τὸ ἀντὶ προσηγορικοῦ ὀνόματος θηλυκοῦ μονογενοῦς τίθεσθαι οὐδέτερον, οἷον τὸ αὐτεξούσιον τινὸς ἀντὶ τοῦ ἡ αὐτεξουσιότης. καὶ τὸ σοφὸν ἀντὶ τοῦ ἡ σοφία. L. B. 1541. Ὦ σπέρμ' Ἀτρέως] πλεῖστα παθὸν, μόλις διατελῶς ἠλευθερώθης κατὰ τὴν νῦν ἐπιχείρησιν. L. B. Ἤγουν, ὦ γέννημα τοῦ Ἀτρέως, λίαν πολλὰ παθὸν, μόλις ἐξῆλθες καὶ ἀπηλλάγης δι' ἐλευθερίας, ἤγουν ἐλευθερώθης τελείως διὰ τῆς νῦν ἐπιχειρήσεως. τὸ γὰρ τελεωθὲν, ἐνταῦθα μετοχὴ ὂν, λαμβάνεται ὡς ἐπίρρημα, ἀντὶ τοῦ διατελῶς. τουτέστι τελείως, ὥσπερ λέγομεν, ταχὺς ἦλθες, ἀντὶ τοῦ ταχέως ἦλθες. *Bar.*

NOTÆ

NOTÆ

IN

ELECTRAM.

Verſ. 9. Φ'Άσκειν] Loco imperativi φάσκε.

V. 14. Φόνε] Quidam ſubintelligunt ἕνεκα.

V. 15. Nota ultimam in φίλτατε produci ſyllabam ante ξ.

V. 20. 'Εξοδ.] Grandius illud quidem, quam res poſtulat, niſi primitivum amittat ſenſum, & pro quovis exitu capias.

V. 24. 'Εσθλὸς] 'Αντὶ ἐσθλοῦ γεγώτος.

V. 43. 'Ηνθ.] Scholiaſtes aliter exponit. Tu vero, Lector, ut lubet.

V. 47. Ὅρκῳ] Fuit cum ὅρκον conjicerem. nunc vero muto ſententiam. parum enim refert addideriſne juramento narrationem, vel narrationi juramentum. placuit quoque elegantiſſimis ſcriptoribus non ſemper conſtructio maxime naturalis & obvia. poſt προστιθεὶς ſubaud. τὸ γινόμενον.

V. 72. 'Αλλ' ἀρχέπλουτον] Sic explica: *ſed paternarum* excipite me *compotem opum, & ſtatorem domus.*

V. 78. Θυρῶν] Pendet ab ἔνδον verſu ſequenti. rara hæc Sophocli licentia, niſi in Choris.

V. 92. Παννυχ.] Ludit in ᾠδὰς modo memoratas, diurnos nocturnoſque cantus cum indignatione deſcribens. Mihi ſcilicet pro cantuum & pervigiliorum jucunditate lamenta tantum & planctus ſuperſunt.

V. 96 'Εξείνισε] Vides horum verborum verſionem, & ſentis quo alludunt; nequeo tamen non proponere conjecturam meam ἐξήνυσε. Nulla prope mutatio, ſenſus autem clariſſimus, *confecit*, Anglice **diſpatcht**.

V. 99. Σχίζουσι] Mire præſenti utitur. adhuc enim obverſatur oculis imago cædis tanquam præſentis.

V. 113. Tolle *quæ*, & loco *reſpicitis* repone *reſpicite*. ſic enim verti debuit.

V. 140. 'Επ' ἀμήχανον] 'Επισπάχουσα ἄλγος. vel ἐπάγουσα.

V. 142.

V. 142. Ἐν οἷς &c.] Pone τελείαν στιγμὴν post δύνανται: & eandem tolle post κακῶν. sic syntaxis fiet clarior. Quid non ferenda adeo cupis, ubi nulla datur malorum solutio?

V. 147. Φρένας] Κατά.

V. 158. Tolle *ut.* & pro *agit* lege *vivit.* Οἷα] Sic omnes libri. utinam legere liceret ὅρα *vide, ecce.* sed fortasse eadem inest τῷ οἷα vis.

V. 207. Τὰς] Malo ταῖς, & ad δείπνοις referri. *qua in cœna.* alii sic: *O diras calamitates,* &c. *indignas* scilicet *mortes, quas* &c. sed quid hic turbæ est? vocativi post ὦ junguntur cum accusativis. Articuli inconcinne locati; omnia dura.

V. 217. Τὰ παρ.] Sub. κατά. sic autem verte: *an ignoras quam felici è statu* dejecta *in præsens impingis in calamitates non aliunde accersitas, sed proprias & a te ipsa in te derivatas?* &c.

V. 221. Τὰ δὲ] In this case to contend with your Superiors is no match. οὐκ ἐριστόν, iniquum est certamen. κατὰ subaud. ante τὰ δὲ.

V. 232. Κεκλήσεται] Pro ἔσται, erunt. ut in S. Scriptis frequentissime. Vide Philoct. v. 233. καλούμεθα pro ἐσμεν. Vide v. 977. καλῇ.

V. 234. Ἀνάριθμος θρήνων] Adjectiva genitivum regentia apud Poetas occurrunt crebra: vereor tamen ne hic loci durior sit paulo iste genitivus. verte tamen hoc modo: *numerum superantes sic fovens fletus.*

V. 243. 4, 5. Inest hisce obscuritas quædam, ideoque fusius explicare libet. sic igitur Electra: *cum mortuorum res agitur, negligentem esse turpe est, adeoque nec apud ejusmodi homines ullo sim in pretio, qui parentes negligunt defunctos, nec si cui accubem viro bono, cohabitem quieta, sistendo nimirum lamentorum acuta sonantium alas* (sunt enim suæ lamentis alæ, quibus ad superos datur ascensus) *unde deprehendar parentibus impia.*

V. 258. Sic melius vertes & interpunges. *Atqui (vis enim hæc me cogit facere) ignoscite.*

V. 260. Ad verbum: *non hæc faciat,* i. e. *lugeat ut ego.*

V. 267. Sunt qui sic interpretantur: *& ab hisce mihi & accipere & carere tantundem est.*

V. 318. *Ut eo nunc absente, quod tibi gratum est quære.*

V. 337. Ὑφειμένῃ] Subaud. ἐστιν.

V. 359. Ἡμῖν abundat.

V. 365. *Mihi quidem sit, qui me non angat modo, victus.* conjecit aliquis λιπεῖν. nec male.

V. 374. Ἠθὰς] Adjectivum unius terminationis & feminini tantum generis. qualia multa passim in ις & ας. ἠθὰς. gen. ἠθάδος.

V. 384. Ὑμνῳδοὺς] Supra ᾠδάς. v. 88.

V. 405. Τοσόνδε] Κατά.

V. 406. Nota εἴπερ cum genitivo ὁδοῦ. ut supra paulo πρὸ φρενῶν.

V. 412. Δοκεῖν] Ὥστε subaud. ut sæpe fit ante infinitiva.

V. 437. Πνοαῖσι] De mendo nulla omnino suspicio. neque tamen ego lectionem hanc approbare ullo modo possum. tradimus quidem ventis curas, amorem, promissa, cogitationes quascunque; res quippe aerias. at alia jam res est, adeoque ποιαῖσι legendum esse arbitror. absconde, inquit, vel gramine, vel pulvere. sic urnam æream abscondidit Orestes, v. 54.

> Τύπωμα χαλκόπλευρον ἡρμένοι χεροῖν,
> Ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον.

ne itaque tradantur ventis, ἀλλ' ὅταν θάνῃ,

> Κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω, v. 440.

V. 447, 8. *Et aqua lustrali caput maculis abstersus est.* Ita vertere placuit: quia idem, qui truncatus erat membris, ablutus quoque erat à maculis. ἐξέμαξεν igitur passive sumitur (quod ἀορίστοις solenne est) regitque duplicem accusativum; ut ἐνδύειν τινὰ χιτῶνα, ita ἐκμάττειν κάρα κηλῖδας.

V. 468. Τὸ γὰρ &c.] *A ratione enim alienum est duos contendere de re justa.* ita Schol. subaud. κατὰ aut περί. vel pendet ab ἐρίζειν. λόγον ἔχειν rationi consentaneum esse, & contra λόγον οὐκ ἔχειν solennia sunt.

V. 482. Κλύουσαν. Solœcismum hic volunt. at Sophocles mihi non sic σολοικίζεται. at Eurip. in Medea. v. 57. 8. μ' ὑπῆλθε ἵμερος μολούσῃ. Scio. sed quidni istud μ' ponatur pro μοι? Non ego sum solœcismorum tenax: ideoque malo legere κλυούσαι. ita enim olim scribebant, 'ιῶτα in fine apposito, non subscripto, ut nunc. & hoc corrumpendæ lectioni ansam dedit.

V. 484. 5. Versus sic constituendi:

> Οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ
> Φύσας Ἑλλάνων ἄναξ.

V. 494, 5. Obscurior locus postulat fusiorem explicationem. Hæc igitur loci sententia: *Veniet Erinnys, veniet* Themidem ultura violatam & Agamemnonis infandam cædem. ut *enim* nuptiis fiat locus, *contra omnia connubii jura* Ægysthus & Clytemnestra *sanguine fœdarunt & invaserunt eos, quos non fas fuit invadere.* ἁμιλλήματα γάμων *invaserunt*, ideo dicit, quia complexuum illicitorum cupido adegit eos ad cædem Agamemnonis. vocantur autem isti congressus ἄλεκτρα καὶ ἄνυμφα summo jure. Quæ enim thalami major violatio, quam maritum interficere, omni exuta uxoris charitate, & pietate?

V. 497. Μ' ἔχει] Tenet me. subaud. γνώμη. It possesses me. I am perswaded. Antig. v. 239. τέλος μέν τοι δεῦρ' ἐνίκησεν μολεῖν.

λαῖν. vicit *sententia* huc eundi. vel infinitivus ibi supplet locum nominativi, ut hîc oratio sequens.

V. 498. Ἡμῖν] Abundat.

V. 499. Μήποτ ἀψεγὲς πελᾶν.] would not come unblamed. quî enim non improbarent sceleris auctorem, malum quod illis exitium intentavit? per μείωσιν loquitur Chorus: hoc enim vult; *Mihi in animo sedet, fixumque manet, hoc prodigium magno cum suo damno & dolore venturum sceleris hujus consciis sociisque.*

V. 559. Ita versionem corrige. *non fuisses molesta auditu.*

V. 566. Ποινῆς] Ἕνεκα. post v. 567. κείνης sine κτί.

V. 580. Τοῦτο] Pendet ab ἕνεκα. potuit tamen omitti: ἕνεκα enim per se idem valet. ὁ ἕνεκα. vide v. 596. v. 607. iterum.

V. 613. Muta versionem. *hujus rationem nondum queo videre.*

V. 637. Ἄνακτι.] huic regi. i. e. Apollini.

V. 806. Ἆρ' ὑμῖν] Vim hujus interrogationis melius forte, pari allato exemplo, perceperis. En igitur tibi Terentium. And. Act. 5. sc. 3. *Num cogitat quid dicat? num facti piget? num ejus color signum pudoris usquam indicat?*

V. 809. Ἀλλ' ἐγγελ.] *Imo irridens.* ita recte vertunt. sed tamen ἀλλὰ suam & hîc vim habet adversativam. Hæc est loci ἔλλειψις. *Num plorat* &c. *Non. sed irridens intus se abripuit.*

V. 811. Οἴχῃ] De re modo cognita, ut de modo facta loquitur, & abeuntem jam tueri videtur.

V. 855. Δειλαία δειλαίων] Secunda brevi. vide sequentem Antistrophen, &, qui huic respondet, versum.

V. 858. Ἀχαίων] Leg ἀρχαίων. Ed. Aldina ἀχέων exhibet. lectio illa quidem expeditissima, sed non convenit cum quarto sequentis Antistrophes versu. quid si ἀρχαίων sic interpretemur? *Ab ipsis nostræ familiæ initiis huc usque descendentium.*

V. 861. Παραγάγῃς] Extra viam abducas, decipias.

V. 861. Ἰν' ἂν] Pendet sententia imperfecta, ideoque connecte cum proximis verbis πάρεστιν, &c.

V. 870. Ἄσκοπος] *Non provisa sane calamitas,* inquit Chorus, significans *inexpectatam esse*; sed alio vertit Electra. *certe,* inquit, ἄσκοπος ὁ λώβα, *cui nulla adhibita fuit cura, conditus est enim, neque sepulchrum neque luctus nactus debitos.*

V. 887. Ἀλλ' οὐχ] Ἀλλ' abundat hîc loci. *per patrios deos non cum contumelia hæc dico, sed ut illo præsente nobis.* iste accusativus κείνου Attice videtur poni pro genitivo.

V. 902. Ἀνθέων pendet à κύκλῳ. *corona florum.*

V. 906. Nota genitivum τύμβου post πρός. *tumulum versus.*

V. 907. Πυρᾶς] Subaud. ἐπί.

V. 914. Μήτε] Deest λοί.

V. 926. Τῆς ἀνοίας] Ἕνεκα. vel regitur ab ἐποικτείρω.

 V. 957

V. 957. Βία] Subaud. ὄντα. vel βιῶν lege.

V. 968. Γηρασκούσαν] Σὲ nimirum. ἄλεκτρα ἀνυμέναιά τε adverbialiter sumpta sunt.

V. 1015. Muta versionem. priusquam *nos omnes funditus & pereamus, & omne vastetur genus.*

V. 1034. Naogeorgus sic melius: *Patienter illud tempus expectabo, quum & bene mihi dices, ob ea quæ suadeo.*

V. 1035. Μάθῃς] Lege πάθῃς, sic optimæ editiones; & longe præstat.

V. 1068. Ἐπίσης] Id est, ἐπ' ἴσης χάριτος, vel μερίδος.

V. 1077. Τὰ δὲ πρὸς] *Quod ad filias autem.*

V. 1081. Τὸν ἀεὶ] Supple μόρον. vel χρόνον περὶ πατρός.

V. 1087. Sic verte, quoniam de Electra sermo est: *Quæ nata bonis, &c.*

V. 1094. Φέρεσθαι] Subaud. ὥστε.

V. 1100. Verte. *forte mala oppressam.* trampled on.

V. 1107. Nota syntaxin. Αἴγισθον ἔνθ' ᾤκηκεν, pro ἔνθα Αἴγισθος ᾤκ. sed de hac supra sæpe.

V. 1109. *Iis qui intus sunt.*

V. 1122. Πρόχειρον] Latine. *manifestum.*

V. 1123. Τῶν Ὀ. ἐς.] Vel περὶ subaud. vel pendet ex τι.

V. 1144. Φίλαισι] Dudum statuere viri docti φίλος apud poëtas poni pro ἐμός· nec ultra dubitandi locus.

V. 1149. Τροφῆς] Ἕνεκα.

V. 1160. Ἢ] Περὶ. post, πρόπεμψεν, *ante diem, immature, misit.*

V. 1174. Ἴσων] Μερῶν.

V. 1180. *Ubi sermonum perplexus feror:* sum dubius animi, ubi incipiam, & quo sermones dirigam.

V. 1182. Verte. *cur hoc dicis?*

V. 1185. Συμφορᾶς] Ἕνεκα. proximo τάδε subaud. σώματα.

V. 1195. Τᾶνδ' ἔτ] Lege τᾶνδ' ἔτ'. pro ἔτι.

V. 1200. Vide Schol. ined.

V. 1201. Δρῶσα] Subaud. προτρέπει.

V. 1203. Οὐ παρ.] Id est, ὁ ἐπαρήξων· futurum primum τῦ ἐπαρήγω.

V. 1215. *Nego me permissurum te habere.* proximo σέθεν subaud. ἕνεκα.

V. 1219. *Quomodo ob, &c.*

V. 1239. Ἔχεις] Forte ἔχοις legendum.

V. 1257. Post Ἄρης insere hunc versum. sic enim Ald. exhibet Editio, sic omnes veteres. ἔνεστιν· νῦν δ' ἔχοισθα παρασθεῖσά τι.

V. 1269. Τόδε] Στόμα ἐλεύθερον.

V. 1277. Θεοί] Unius est syllabæ.

V. 1281. Θεοὶ] Sub. ὀτρυνον μολεῖν.

V. 1285. Ὁδὸν] Sub. διά.

V. 1290.

1290. Muta versionem. *ne me privaveris voluptate ex tui conspectu nata, ut amitterem.* ὥστ μεθεῖναι.

V. 1038. Ὀδῷ] Naogeorgus. *ejicere præsenti queamus è statu.* malo, *præsenti molimine & agendi methodo.*

V. 1309. Οὕτως] *Sic igitur te geras, ut.*

V. 1336. Χωροῦντος] Supple τινός.

V. 1352. Ἀπηλλάχθαι] *Defungi, peragere.* alii subintelligunt ἀπὸ μακρῶν λόγων. sic enim versu supra tertio. ideo tamen forte improbandum est.

V. 1355. Τεθνηκότα] Subaud. ἐμέ.

V. 1380. Τοὺς γὰρ] Κατά. versu abhinc secundo ταῦτα pro τούτους. præcedit enim λόγους.

V. 1395. Ἐξ οἵων ἔχω] Verte. *quæ sola valeo,* vel *quantum valeo.*

V. 1401. Τὸ δυσέριστον αἷμα] Potest verti. *malo fato contendentium sanguinem.* τὸ τῶν δυσερίστων αἷμα.

V. 1407. Παράγεται] *Abit.* Ἐτέρων] Agamemnonis.

V. 1410. Νεακόνητον αἷμα] Audax metaphora, & quæ vereor ut stare possit. scio quidem *Vulnus* apud Gratium v. 109. poni pro *hastili vulnifico.* Sed nemo unquam vidit quempiam *sanguinem manibus tenentem, eumque recens acutum.* Locum aliqua emendatione sanandum puto, nec longe à specie veri, quam tibi jam dabo. lege igitur loco τοῦ, αἷμα χεροῖν ἔχων, ἐν μάχαιραν ἔχων. *recens acutum bene gladium tenens.* Invitus quidem tollo istud χεροῖν (à Sophocle enim studiose adhibetur, etiam rebus non cogentibus) sed sententia aliud postulare videtur.

V. 1415. Nota mutationem numeri. γυναῖκες πρόσθεν, ἀντὶ τοῦ προσθέντε. sed Chorus pro una habetur.

V. 1426. *Adeo ut horream.* tota nim.

V. 1441. Τελοῦσιν] Id est, τελοῦνται. vel (active si sumas) τελοῦσιν τὸ ἑαυτῶν ἔργον. ἀραὶ enim Deæ ultrices, pœnarum administræ.

V. 1475. Ἔξοιδα] Electra paulo supra dixerat se blandiloquis dictis ducturam Ægisthum, id quod nunc exequitur: rogata enim, ubi erant hospites sciret necne, respondet; pernovi, non solum ubi sint, sed & qui sint illi Phocenses, ut tu putas, hospites pernovi. quidni enim scirem? alioqui ignorarem illum eventum ex omnibus, qui mihi evenerunt, gratissimum; nempe fratrem vivere, & paternæ necis ultorem adesse. quod aliter accepit Ægisthus quam illa voluit, ambiguitate deceptus τοῦ συμφορᾶς & τῶν ἐμῶν & τῆς φιλτάτης· συμφορὰ enim quivis eventus est, bonus malusve. τῶν ἐμῶν vel *cognatorum,* vel *casuum qui mihi acciderunt.* φιλτάτης autem vel *gratissimus,* vel *charissimus* denotat. Illa Clytemnestræ cædem & Orestis vitam designat; ille mortem Orestis significari credit.

V. 1478. Προξένου] Πρόξενος est ille qui legatos hospitio excipit, quærenti igitur Ægistho ubinam essent hospites, respondet illa; *Intus sunt: amicam enim hospitam nacti sunt.* vel, *amicam suam hospitam confecerunt.*

V. 1479. Ἐπητύμως] Potest ἐπητύμως conjungi, vel cum ἤγγειλαν, adeoque intelligendum hoc modo, *estne verum quod nunciarunt, Orestem esse mortuum?* Vel, fuitne verus eorum nuncius de morte Orestis? Illud voluit Ægisthus, huic respondet Electra.

V. 1480. Οὐκ] Id est, *non. sed & re demonstrarunt, non verbis modo*; nuncium esse falsum voluit Electra, Orestem esse mortuum intelligit Ægisthus; hinc paulo lætior rogat, *Adestne ergo, ita ut liceat coram manifesto videre*, nempe Orestem. *Adest sane* (inquit Electra) *& spectaculum prorsus inamabile*, utpote mortuus; at revera quia vivus Ægistho coram se sisteret.

V. 1486. Ὁρᾶν] Ὥστε ὁρᾶν. 1488. Ἀνδρὸς] Orestis.

V. 1540. Κτείνειν] Passive pro κτείνεσθαι.

Finis Notarum in Electram.

V A-

Variæ Lectiones in Electram *è Codd.* MSS.

Verf. 3. Λ Εύστ' Bar. 1. 4. οὐ πόθεις Bar. 1. ὁ ὑπόθεις L. 17 ἡμῖν L. 42. μακρῷ χρόνῳ L. B. Bar. 1. 2. 43. ὑποστεύσωσιν L Bar. 1. 45. Φανοτέως Bar. 1. 2. 47. ἄγγελε Bar. 1. 52. λοιβαῖς τε Omn. 73. γέρον L. B. Bar. 2. 102. ἀείκως Bar. 1. 105. λιύσσω Bar. 2. 107. τεκνολέτις Bar. 2. 109. θύραν Bar. 1. 2. 113. αἳ τοὺς ἀδίκως Omn. 114. τοὺς τ' Bar. 1. 2. τὰς deeſt in B. L. 120 'Ιὼ L. Bar. 2. 122. ἀκόρεστον L. B. 125. χειρὶ L. 126. τάδε L. Bar. 1. 2. 127. ὄλοιτο Bar. 1. 2. 131. οὐδ' ἐθέλω L. τόδε B. Bar. 1. 2. 134. ἀμειβόμεναι Bar. 1. 2. 137. οὔτι Bar. 1. 2. ἀΐδα L. 138. ἀναστάσεις Bar. 1. 139. γόοις οὔτε λιταῖς Omn. 145. τις deeſt in B. Bar. 1. 2. 149. ἀτυζομένα Omn. 150. παντλάμον Bar. 1. 2. 151 γε deeſt in Bar. 1. 2. 153. αἳ αἱ Bar. 1. 163. δέξαιτο Bar. 1. 2. 181. Κρίσαν Bar. 2. 182. Βουνόμον Omn. 191. ὥσπερεί τις Bar. 1. 2. 202. πράσσων ὄλοιτο Bar. 1. 2. 203. ἀμέρα verſum claudit, 'Ελθοῦσ' incipit ſequentem in Omn. 211. Θεὸς ὁ μέγας Omn. 220. ἀεὶ B. 223. ἐν δεινοῖς ἠναγκάσθην, ἐν δεινοῖς B. Bar. 1. 2. 224. ἔξοιδα. Bar. 1. 2. οὐ γὰρ B. L. 227. ὄφρα με βίος ἔχῃ Omn. 228. φιλία Omn. 232. τάδε γὰρ B. Bar. 2. 240. ἔπλασεν L. B. 252. θνητῶν L. B. Bar. 2. 281. ἀμὸν B. 290. ἐξονειδίζειν Bar. 2. 305. ἐγὼ δ' B. 325. πέποιθα Bar. 1. 2 ἐπεί γ' ἂν Bar 1. 327. ταύτου φεῖσαι Bar. 2. 340. οὐχὶ 'γὼ Bar. 2. 347. ἔπειθ' Bar. 1. θάτερ' Bar. 1. 2. 373. αὐτὴ Bar. 1. 2. 380. τι, πᾶν Bar. 2. 381. λήξεις Bar. 2. 395. ὑμὸς βίος Bar. 1. 2. 396. εὐφρονεῖν Bar. 2. 401. τιμωρούμενοι Bar. 1. 2. 404. σπεύσεις Bar. 2. 413. συγγένοιτο νῦν ἀλλὰ Bar. 2. 415. λέγεις L. Bar. 2. 421. εἰς φῶς Bar. 2. 424. Θάλλον Bar. 1. 429. μ' ἐκείνη B. Bar. 1. 2. 432. μήτε Bar. 2. 443. ἔκλαυε. Bar. 1. 445. τάδ' ἦν L. Bar. 1, 454. ζῶσμα Bar. 2. 463. σύ θ' Bar. 1. 2. 464. ἐμοί τ' Bar. 1. 2. 481. θάρσος Omn. 495. ἀμπλήματα Bar. 1. 2. 507. πολύπονος Bar. 1. 2. 509. τῆδε Bar. 1. 2. 513. δυστάνοις Omn. 517. πολύπονος Bar. 1. 2. 520. γ' deeſt in Bar. 1. 2. 526. λέγω κλύουσ' ἄτιμα πρὸς Bar. 2. 527. ἄλλό σοι B. 534. Θεῖσαι θεοῖσιν Bar. 2. 535. τέκνον L. Bar. 1. 2. 536. τίνος L. 556. τεθνηκότος γ' L. 558. ἐφίημι L. 568. ὑμὸς Θεὰς Bar. 2. 574. αὐτοῦ B. Bar. 2. 577. μόγις L. B. 583. τίθης Bar. 1. 2. 585 τυγχάνεις Bar. 2. 597. ἔξεστί σοι Bar. 2. 598. εἰς L. Bar. 1. 604. βίον τρίβει Bar. 1. 2. 612. πείνουσαν Bar. 2. 625. τἄργα B. 638. ἂν νῦν ἔχω B. Bar. 1. 2. 642. ἀναπλέξας Bar. 1. 646. τῇδε νυκτὶ L. B. 651. βουλεύουσιν Bar. 2. 673. ὁποῖον B. 675. συνθεὶς L. B. λόγῳ Bar. 2. 676. οἳ ἐγὼ L. B. τάλαινα Bar. 2. 682. κἀπιπεμπόμενον L. 686. δρόμου L. 690. πολλοῖς Bar. 1. 703. Ἀχαιῶν Bar. 1. 2. 708. Αἰνιᾶν L. 715. ἐν δὲ B. 718. ὑπερβάλλῃ Bar. 2. 723. ἔγχριπτ' Bar. 2. 726.

726. Αἰγίαλον Bar. 2. 730. ἄλλος ἄλλοθεν ἐξ L. 732. ἐμπέπλαντο Bar. 2. 741. τότ' ἄλλος L. Bar. 1. 750. ἐς L. B. 759. κήαντες L. B. Bar. 2. 785. φόνε Bar. 1. 2. 791. συμφορὰν L. B. 794. Νηρεῦσι B. 816. πατρός. ἤδη δὴ Bar. 1. 820. ξύναικος Bar. 2. 826. ἀξέλιος Bar. 1. 2. 827. ἢ ταῦτ' Bar. 2. 823. μοι deest in Omn. 836. ἐς Omn. 841. χρυσοδέτοις Ἕρκεσι κρυφθέντα Γυναικῶν ἀπάταις B. χρυσοδέτοις L. 847. δῆτα Bar. 1. 2. 848. γὰρ deest in Omn. 850. οὐδ' οἶδα Bar. 1. 2. 853. ἔτ' ἦν, ᾤχετο δὴ Bar. 1. 2. 857. πασσύρτῳ Bar. 2. 858. ἀχέων Omn. 862. τί φῂς; αὐδᾷς δὲ παῖν Omn. 868. δυστήνῳ Omn. 872. ἐμῶν χερῶν Omn. 873. παπαῖ L. B. 883. Ὀρέστης ἢ μοῦν L. 908. εὐθὺς L. 913. τοδ' ἐξεπίσαμαι Bar. 2. 921. ἀλλ' ἐς' totus hic versus deest in Bar. 1. 924. νῶϊν δ' Bar. 1. 934. Θαῦμά τι μ' Bar 2. 940. δυστυχὴς Bar. 2. L. 949. σ' deest Bar. 2. 954. παρουσία Bar. 2. 962. κατοκνήσεις L. B. 965. ἔτι ὀρθὴν Bar. 1. 973. ἀλλ' ἣν Bar. 2. 989. ἀνδρείας Omn. 991. μὴ, λιπεῖν Bar 2. 1010. κλησόμεθα Bar. 2. 1014. ἔχει L. 1024. ἀπερρίψασαν ἃ ἐπηγγελλόμην Bar. 1. 1027. φεῦ sola totam lineam occupat. 1028. πάντα γὰρ ἂν Bar. 2. 1031. οὐχὶ δράσουσα Bar. 2. 1042. δὲ σοῦ L. 1059. οὐδ' ἦν Bar. 2. τυγχάνης L Bar. 2. 1061. ἐπίσας B. Bar. 1. 2. 1069. οὐ μὰ τὰν B. Bar. 1. 2. 1071. γὰρ deest. L. B. λώβητοι B. Bar. 2. 1076. σφίσιν Omn. 1077. δὴ deest L. B. 1087. τίς ἂν οὖν B. Bar. 1. 1091. ὡς καὶ σὺ Bar. 2. πάγκλαυστον Omn. 1094. γε deest Omn. 1097. καὶ πλούτῳ τῷ L. B. Bar. 2. 1100. ἐν ἐσθλᾷ L. B. Bar. 2. 1103. Διὸς Omn. 1107. εὖ θ' ἱκάνεις L. B. Bar. 1. 1119. μακρὰ B. 1121. ἢ ἐγὼ B. 1123. Ὀρεστείων Bar. 2. 1124. τὸ κεῖνου Bar. 2. 1130. γ' deest Bar. 2. τάδε B. Bar. 2. 1134. ὥσπερ Bar. 2. 1137. ὤφελες Bar. 2. 1139. κἀναστώσασα Bar. 2. 1147. ξένοισι L. B. Bar. 2. 1148. μικρῷ B. Bar. 2. 1154. σοὶ L. B. Bar. 1. προσπευδόμενον Bar. 1. 2. 1158. Θανόντι L. B. 1162. ἀλλὰ ταῦθ' B. 1166. οἴμοι μοι. Omn. 1168. οἴμοι, μοι Bar. 1. 2. L. 1174. ξὺν σοὶ Bar. 2. 1180. ποίων λόγων L. 1203. οὐδ' ὁ καλ. L. ὁ παρήξων Bar. 2. 1204. ὡς γὰρ ἦν μοι B. σποδὸν Bar. 1. 2. 1206. ἐποικτείρεις μοι σύ Bar. 1. 1252. οὐ μὰ τὴν B Bar. 1. 2. 1257. ἄρης Ἐνεστιν· οὐ ἔξοισθα πεφρασθεῖσά που Omn. 1258. Ὀτλοτοί. Omn. 1262. ἡμέτερον Omn. 1266. ἐπέπεσ Bar. 1. 2. 1267. δίκαια L. B. 1272. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος Μεταβάλοιτ' Omn. 1277. ὅταν Θεοί μ' B. Bar. 2. 1278. ὀτλοτοὶ deest in Omn. 1281. εἴ σε Θεὸς ἐπῶρσεν ἁμέτερα πρὸς μέλαθρα Omn. 1284. σε deest. L. B. Bar. 2. 1295. ἤλπισα B. 1310. νῶϊν Bar. 1. 1312. σίνεζε Bar. 1. 2. 1323. Φαιδρὸν L. Bar. 2. 1361. ξυνίεις L. B. 1362. γ' deest L. 1381. κυκλοῦσι L. B. Bar. 1. 1383. σφῶϊν Bar. 1. 2. 1384. ἔρδειν Bar. 2. 1393. ἢ σε Bar. 2. 1396. προσπιτνῶ Bar. 2. 1397. ἀρρωγὸς Bar. 2. 1402. βεβῶσιν, ἄρτι Bar 1. 2. 1405. γ' deest. B. Bar. 1. 2. 1408. σίγας L Bar. 1. 1409. ἀρχιόπλυτα Bar. 1. 2. 1410. χερῶν Omn. 1412. Ἑρμῆς ἐπάγει B Bar. 2. 1421. αὐτὸς deest L. B. 1423. ἀπολύονται Bar. 1. 1425. ἀπίκας'

ἀ

ἀ δύστανος Bar. 1. 2. 1429. ὦ τέκνον, ὦ τέκνον L. Bar. 2. 1431. ἐκ deest. B. 1435. καθημέρια Bar. 2. 1436. φθίνε, semel. L. Bar. 1. 2. 1441. τελῶσιν B. Bar. 1. 2. 1443. γὰρ deest Bar. 1. 2. 1447. γε deest B. L. Bar. 2. 1451. ἀτιμάσει B. 1454. ἄψοφοι Bar. 1. 1455. ἡμῶν Bar. 1. προσαστεῖν L. B. Bar. 1. 1458. ὅσον Omn. 1461. ἢ νοῦς L. 1464. τἀνθένδ' Bar. 1. 2. μέλοι τ' L. Bar. 1. 2. 1466. ἠπίως ἐνέπειν L. ὑ πίον Bar. 2. 1476. ἡμῶν τε φιλτάτων Bar. 1. 2. 1481. πάρεστιν ἡμῖν Bar. 2. 1483. μ' deest. B. 1492. κρείττοσιν Bar. 1. 2. 1496. συγγενὴς τοι κατ' B. Bar. 2. 1497. βάσταζε Bar. 1. 2. 1498. φίλος Bar. 1. 2. 1502. λεύσσω Bar. 1. 2. 1510. ἀσφαλῆ Bar. 1. 2. 1511. μοι Bar. 1. 2. 1514. μὴ κύνει Bar. 2. 1515. μεμιγμένων B. Bar. 2.

Variæ Lectiones in Electram *ex edd. Ald. & Turneb.*

Verſ 43. Υπεκλύουσιν Ald. & Turn. in Margine 56. Θνήσκοντες Turn. in Marg. 113. αἳ τοὺς Ald. 114. deest τὰς Ald. 128. τοκέων. Turn. in marg 139. γόοις Ald. 145. ὃς τὸν Ald. 182. βουνόμοι Turn. in marg. 211. Θεὸς ὁ μέγας Ald. 218. ἐμπίπτ. Ald. 223. ἠναγκάσθην, ἐν δεινοῖς Ald. 227. μοι βίος ἔχῃ Ald. 228. φιλία Ald. 347. θάτερ' Ald. Turn. in marg. 407. ἐκπορεύῃ Ald. & Turn. in marg. 416. σμικρὰ Turn. in marg. 464. ἐμοῦ τ' Ald. 514. ἐκριφθεὶς Turn. in marg. 528. ἐξ ἐμοῦ. καλῶς ἐξοιδα Ald. 530. εἶλεν, σὺν Ald. 535. τεκοῦσ' Ald. 536. τε χάριν τίνος Ald. 556. γ' ὑπὲρ Ald. 598. εἰς Turn. in marg. 638. ἂν Ald. 678. πάλαι λέγω Turn. in marg. 708. Αἰνιᾶν Ald. 691. ἔργα οὐδὲ κράτη Turn. in marg. 705. ἄγων Turn. in marg. 759. κἠαντες Ald. 786. μείζω Ald. 729. συμπλαίουσι Turn. in marg. 797. ἔχειν -- παύσατε Turn. in marg. 825. π. π. κ. δ. η. τ. φαέθων Ald. 826. ἀλ. εἰ. τ. ἔφορ. Ald. 842. ἔκνισι κρ. Ald. 843. γυναικῶν ἀπάταις Ald. 852. -- ἐτ' ἰσθ', ὡς Ald. 857. παντύφετων Turn. in marg. 858. ἀχέων. ἀρχαίων Turn. in marg. 862. τ. φ. αὐδᾶς δὲ ποῖον Ald. 863. π. ε. ε. ποινοτόκων Ald. 872. ἡμῶν χερῶν Ald 874. κ. ε. τ. τ. ἀντιάσεις Ald. 904. ἐγχείρητε Ald. 1004. Χερὶ Ald. 1068. ἐπίστας. post paulo, λήνητοι Ald. 1077. δὴ abest Ald. 1087. τίς ἂν εὖ Ald. 1090. ὡς abest, & incipit ſequenti fine τε Ald. 1091. πάγκλαυστον Ald. 1094. γε abest Ald. 1096. -- πέρθε Καὶ κλύτα τὸν Ald. 1100. ἐν ἰσθ λᾶ Ald. 1103. Διὸς Ald. 1123. 'Ορέστου Ald. 1130. τάδε Ald. 1156. θανόντι 1199. ἀνάγκῃ Ald. 1245. 'Ιὼ γοναὶ σωμάτων ἐμοὶ φιλτάτων Ald. 1252. 'Αλλ' οὐ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν Ald. 1255. περ. ἀχ. ἔνδον γυναικῶν ὂν ἀεί. Ald. 1258. ἔπεστιν. εὖ δ' ἐξοιδα περαθεῖσά τε. Ald. "Ο τιο τοῦ Ald. 1262. 'Αμέτερον Οἶον ἔφυ κακὸν Ald. 1264. ἔργων Ald. 1265.

1265. ὁ πᾶς ἐμοὶ Ald. 1266. ὁ πᾶς ἂν πρέποι παρ. ειν. Ald. 1267. τάδε δίκαια χρόνος Ald. 1272. τίς ἦν ἂν ἀξίαν γε σου πεφηνότες Ald. 1278. Ὀτοτότοτοῖ abest Ald. 1281. Εἴ σε Θεὸς ἐπῶρσεν Ἀμύτερα πρὸς μέλαθρα Δαιμόνιον Αὐτὸ τίθημ' ἐγώ Ald. 1284. σε deest Ald. 1328. Φαιδρὸν Furn. in marg. 1408. σέγας Ald. 1410. αἷμα χεροῖν Ald. 1412. Ἑρμῆς ἐπαγῇ Ald. 1421. Αἴγισθος μοὶ λάε. omisso αὐτὸς Ald. 1425. Ἤκουσ' ἀνήκουσα δυ.-σαν Ald. 1433, 1444. ὦ πόλις, ὦ γενεὰ τάλαινα. νῦν σε Μοῖρα καθημερία Φθίνει Ald. 1447. κυρεῖ γε Ald. 1455. Εἰσοράτε που Ald. 1455. τὸν ἄνδρ' ἐφ' ὑμῖν. Οὗτος οὐκ προασίν Ald. 1457. &c. Βᾶτε κ. ἀντί. ὅσον τάχιστα, Νῦν τὰ πρὶν εὖ θέμεθροι, τάδ' ὡς πάλιν.- Ald. 1466. &c. Ἠκίως Πρὸς ἄνδρα τόνδε, συμφέροι Λαθραῖον, ὡς ὀρούσῃ πρὸς Δίκας ἀγῶνα Ald. 1515. --μθειν Ald. 1546. τῇ νῦν ὁρμῇ Ald. 1547. τελευθὲν Ald.

FINIS.



13